ἀναγκαίως: ἀναγκαίως δ' ἔχει βίον θερίζειν ὥστε κάρπιμον στάχυν Eur. 757, 5.

ἀνάγκη: τῶνδ' ἀνάγκη καὶ σιωπώντων κλύειν Soph. 464, 2. νόσους δ' ἀνάγκη τὰς θεηλάτους φέρειν Soph. 619, 3. σιγᾶν ἀνάγκη, κἂν καλὸν φορῇ στόμα Soph. 844, 2. μοχθεῖν ἀνάγκη Eur. 37. τὰ πόλλ' ἀνάγκη διαφέρει τολμήματα Eur. 38. ταῦτα γὰρ σκεθρῶς ὁρᾶν ἡμᾶς ἀνάγκη Eur. 87, 3. πατρὸς δ' ἀνάγκη παισὶ πείθεσθαι λόγῳ Eur. 234. μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν Eur. 701. τίς δ' ἔστ' ἀνάγκη δυστυχεῖν ἐν πλείοσιν Aesch. Alex. 1 p. 824. θεόθεν δὲ πνέοντ' οὖρον ἀνάγκη τλῆναι adesp. 303. ὁσία δ' ἀνάγκη πολεμιωτάτη θεός adesp. 501. φέρειν δ' ἀνάγκη adesp. 546, 10. ἦ τῆς ἀνάγκης οὐδὲν ἐμβριθέστερον Soph. 690, 3. τὸ τῆς ἀνάγκης - ζυγόν Eur. 475. λοιπόν ἐστ' ἴσως ἐμὲ ἐκ τῆς ἀνάγκης τά γε δίκαι' αὐτὴν λέγειν Eur. 953, 5. Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν, οὐκ οἶδ' ἀνάγκης δεσμόν Ari-

starch. 2, 2 p. 728. θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα ἢ τοῖς ἀνάγκης (?) ἐν γένει πεφυκόσιν Dicaeog. 1, 3 p. 775. χρεία δ' ἀνάγκης οὐκ ἀπώκισται πολύ Chaer. 18 p. 788. οὐδεὶς ἀνάγκης μεῖζον ἰσχύει νόμος adesp. 502. τοὺς δὲ δουλείας . . ζυγὸν ἔσχ' ἀνάγκας Soph. 532, 6. εἶκ' ἀνάγκῃ καὶ θεοῖσι μὴ μάχου Eur. 716. ᾗ δ' ἦλθ' ἀνάγκῃ πεδία Φοινίκης λιπών, λέγοιμ' ἄν Eur. 819, 5. ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν βροτῶν Eur. 965. τὰ μέν γε τῇ τέχνῃ πράσσειν, τὰ δὲ ἡμῖν ἀνάγκῃ καὶ τύχῃ προσγίγνεται Agath. 8, 2 p. 765. πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται Soph. 235. πρὸς τὴν ἀνάγκην πάντα τἄλλ' ἔστ' ἀσθενῆ Eur. 299. τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν Eur. 524, 2. εἴτ' οὖν ἀνάγκην εἴτε τῇ μακρᾷ τριβῇ αὐτὴν παρασχὼν τὴν φύσιν διδάσκαλον Mosch. 6, 21 p. 814. λιταῖς ἄτεγκτε δυστήνων βροτῶν πάντολμ' ἀνάγκη Mosch. 2, 3 p. 812. θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει Eur. 339, 6. — cf. Eur. 1022.

ἀναγκόδακρυς Aesch. 413.

ἄναγνος: ἃ δ' *ἄναγν' ἐσθ' ἱερεῦσιν καθαρεύειν φράσομεν Phryn. 15 p. 723.

ἀνάγω: ἄκατοι δ' ἀνάγονται ὑπ' εἰρεσίας Eur. 773, 35. κἀμοὶ γάρ ἄν πατήρ γε δακρύων χάριν ἀνῆκτ' ἂν εἰς φῶς Soph. 513, 7.

ἀναδίδωμι: οὐρανός τε γαῖά τε τίκτουσι πάντα κἀνέδωκαν εἰς φάος Eur. 484, 4.

ἀναδρομαί Eur. 766. 855.

ἀνάθημα: παῖδες δὲ χρηστοὶ - δώμασιν καλόν τι θησαύρισμα τοῖς τεκοῦσί τε ἀνάθημα βιότου Eur. 518, 5.

ἀναθρώσκω v. ἀνθρώσκω.

ἀναίδεια: ἀναιδείας φάρος Soph. 269. ἅπαντ' ἐν ἀνθρώποισι γηράσκειν ἔφυ - πλὴν ὡς ἔοικε τῆς ἀναιδείας μόνης Theod. 12, 3 p. 805. τὸ δεῖσθαι τῶν πέλας - μέγα διδασκαλεῖον τῆς ἀναιδείας ἔφυ adesp. 558, 2.

ἀναιδής: κακὸν γὰρ αἰδώς, ἔνθα τἀναιδὲς κρατεῖ adesp. 528.

ἀναίμων: βροντῆς πνεῦμ' ἄναιμον Eur. 982. πλεκτάναις ἀναίμοσιν Ion. 36 p. 739.

ἀναιρῶ: πενία δὲ συγκραθεῖσα δυσσεβεῖ τρόπῳ ἄρδην ἀνεῖλε καὶ κατέστρεψεν βίον Soph. 858, 2.

ἀναίσχυντος: εἶθε τοῖς πᾶσιν βροτοῖς συνοῦσα τἀναίσχυντον ἐξῆρου φρενῶν Eur. 436, 2. ἡ δ' εὐπραξία ξὺν τοῖς ἀναισχύντοισιν ὥρισται βίου adesp. 557, 3.

ἀνάκειμαι: ἀνακειμένῳ μέσον εἰς τὸν αὐχέν' εἰσαλοίμην Soph. 689.

ἀνακίρνημι: κἀνακίρναται ποτόν Soph. 234, 8.

ἀνακουφίζω: τοὐκείνης κάρα κινεῖ τις αὔρα κἀνακουφίζει πτερόν Soph. 22, 3.

ἀνακρεμάννυμι v. ἀγκρεμάννυμι.

Ἀνακτόρειος: Ἀνακτόρειον τῆσδ' ἐπώνυμον χθονός Soph. 830.

Ἀνακτόριος Soph. 911.

ἀνάκτορον: ἢ τῆς ἀνάγκης οὐδὲν ἐμβριθέστερον, ὑφ' ἧς τὸ κρυφθὲν ἐκφανεῖς ἀνάκτορον (?) Soph. 690, 4. Πυθίων ἀνακτόρων adesp. 262.

ἀνακτῶμαι: ἀνέκτημαι Soph. 331.

ἀναλῶ: ἀναλῶσαι Soph. 473. παῖδας γὰρ οὓς ἔφυσ' ἀναλώσας ἔχει Soph. 806.

ἀναμετρούμενος Eur. 739, 4.

ἀνανδρία: ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀνανδρία οὔτ' οἶκον οὔτε πόλιν ἀνορθώσειεν ἄν Eur. 239. 364, 2.

ἄνανδρος: δόλοι δὲ καὶ σκοτεινὰ μηχανήματα χρείας ἀνάνδρου φάρμαχ' ηὕρηται βροτοῖς Eur. 288, 2. τῆς ἀνάνδρου καὶ διεσκατωμένης τρυφῆς ὑφ' ἡδοναῖσι Diog. Sinop. 1 p. 808. — (cf. ἀνδρεῖος.)

ἀνανομήν Eur. 748.

ἄναντα Soph. 272.

ἄναξ: Λυδῶν τῶν πολυχρύσων ἄναξ adesp. 322. Θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς Eur. 772. Μέροπι τῆσδ' ἄνακτι γῆς Eur. 771. καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους, ἄναξ, ὧδ' ἀντέχεσθαι Soph. 328. πύλης ἄναξ θυρωρέ Soph. 707. ὅθεν δὲ νικᾶν χρῆν σε, δυστυχεῖς, ἄναξ Eur. 47. ἄναξ, διαβολαὶ δεινὸν ἀνθρώποις κακόν Eur. 56. ὦ δέσποτ' ἄναξ adesp. 507. δμωσὶν - ἀνάκτων Eur. 773, 46. — δέσποινα νύμφη, δυσχίμων ὀρῶν ἄναξ Aesch. 342.

ἀναξία: ἀναξίαν Aesch. 283.

ἀνάξιος: εὐγένειαν - τὴν προστάταισι χρωμένην ἀναξίοις Theod. 15, 2 p. 806. ὦ κακοὶ κἀνάξιοι τῆς ἐμῆς σπορᾶς adesp. 126, 2.

ἀναπαιδεύω: Πηλέα τὸν Αἰάκειον - γεροντα γωγῶ κἀναπαιδεύω πάλιν Soph. 447, 2.

ἀνάπαυλα: εὑρεῖν μόχθων ἀνάπαυλαν Eur. 912, 13.

ἀναπαύω: Ἥλιος αἰεὶ χρῶτ' ἀθάνατον κάματόν θ' ἵππων θερμαῖς ὕδατος μαλακοῦ προχοαῖς ἀναπαύει Aesch. 192, 8.

ἀνάπλεως: πάσης μὲν ὠμότητος ἀνάπλεων φόνον adesp. 325.

ἀναποτῶμαι v. ἀμποτῶμαι.

ἀναπτύσσω: πάντ' ἀναπτύσσει χρόνος Soph. 280, 2. δέλτων τ' ἀναπτύσσοιμι γῆρυν ἃν σοφοὶ κλέονται Eur. 369, 6.

ἀναπτυχή: ὑπέρ τε πόντον πάντ' ἐπ' ἔσχατα χθονὸς νυκτός τε πηγὰς οὐρανοῦ τ' ἀναπτυχάς Soph. 870, 2.

ἀνάρατος: λάθα Πιερίδων στυγερὰ κἀνάρατος Soph. 145, 2.

ἀνάρβυλος: τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδός, τὸ δ' ἐν πεδίλοις Eur. 530, 7.

ἄναρθρος Eur. 557.

ἄναρκτον Soph. 27.

ἀναρπάζω: εὐλαβοῦ στρόμβον καταιγίζοντα, μή σ' ἀναρπάσῃ Aesch. 195, 3.

ἀναρροιβδεῖ Aesch. 217. Soph. 407.

ἀναρτῶ: δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος μήτ' αὖ κακώσῃς Eur. 626. ναῦς ὥς τις ἐκ μὲν γῆς ἀνήρτηται βρόχοις adesp. 380.

ἀνασείω: τίς καλλίκαρπον θύρσον ἀνασείει θεῶν adesp. 406.

ἀνασκοπῶ: ἣν θέλῃς ἀνασκοπεῖν adesp. 171.

ἄνασσα: ἄνασσα πράγους τοῦδε καὶ βουλεύματος Eur. 699. ἄνασσα, πολλοῖς ἔστιν ἀνθρώπων κακά Eur. 415.

ἀνάσσω: Οἰνεὺς δ' ἀνάσσει τῆσδε γῆς Αἰτωλίας Eur. 515, 3. κώπης

ἀνάσσων Eur. 705. ἀνάσσων Κρήτης ἑκατομπτολιέθρου Eur. 472, 2. Μίδου γέροντος, ὅστις ὥτ' ἔχων ὄνου ἤνασσε Sosith. 2, 3 p. 822.

ἀνάστασις: κύπρις - τίκτει πόλεμον· εἰς δ' ἀνάστασιν δόμων περαίνει πολλάκις τὰ τοιάδε Eur. 340, 3.

ἀνάστατος: πτωχὸν γενέσθαι καὶ δόμων ἀνάστατον adesp. 394, 2.

ἀναστέφω: οὐδὲ Θρῃξ *ἀναστέψει λεὼς στεφάνοισι Eur. 360, 48. ἐγὼ δὲ τὸν σὸν χρᾶτ' *ἀναστέψαι θέλω Eur. 241.

ἀναστρέφω: οὕτως πέπονθα καί με συμφορᾶς ἀεὶ βαθεῖα κηλὶς ἐκ βυθῶν ἀναστρέφει adesp. 110, 4. ἀναστρέφων Soph. 912. χρὴ τοὺς σοφοὺς *ἀναστρέφειν βουλεύματ' ἀεὶ πρὸς τὸ χρησιμώτερον Eur. 490.

ἀναστροφή: ὁρᾷς δ'" ἀέλπτους μυρίων ἀναστροφάς Eur. 301.

ἀναστρωφῶμαι: ἐν δ' ἀφθόνοισι τοῖσδ' ἀναστρωφωμένη Eur. 1063, 5. βάρος περισσὸν γῆς ἀναστρωφώμενοι Soph. 859, 3.

ἀναστύφω: ἀναστῦψαι Soph. 388.

ἀνασχετός: οὐκ ἀκουστὸν οὐδ' ἀνασχετόν Eur. 334, 4. κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί Aesch. 398.

ἀνατέλλω v. ἀντέλλω.

ἀνατολή v. ἀντολή.

ἄναυδος: ὃς ἀστενακτὶ θύννος ὡς ἠνείχετο ἄναυδος Aesch. 307, 3. λήθην τε - κωφὴν ἄναυδον Soph. 609, 2. τί τὴν ἄναυδον γαῖαν αἰκίζειν πλέον Mosch. 7, 2 p. 815. ὁρᾷς Δίκην ἄναυδον οὐχ ὁρωμένην adesp. 493. χορὸς δ' ἀναύδων ἰχθύων ἐπερρόθει Soph. 695.

ἄναυλος: μέλη βοῶν *ἄναυλα καὶ ῥακτήρια Soph. 637.

ἀναύξητος: ἧς ἀγχιτέρμων ἥλιος διῤῥηλατῶν - συνέστρεψεν κόμας μορφαῖς ἀναυξήτοισι συντήξας πυρός Theod. 17, 4 p. 806.

ἀναφαίνω: ψακαλοῦχοι μητέρες αἶγές τ' ἐπιμαστίδιον γόνον ὀρταλίχων ἀναφαίνοιεν Soph. 725, 3. ἔδειξε κἀνέφηνεν οὐ δεδειγμένα Soph. 399, 7.

ἀναχάζω v. ἀγχάζω.

ἀναχαιτίζειν Soph. 180.

ἀναψυκτήρ: σκύφος πόνων ἀναψυκτῆρα Eur. 146, 3.

ἀναψύχουσα Soph. 913.

ἀνδάνω: πότνια σοφία, σύ μοι ἄνδανε adesp. 130. ἀνδάνοντα δεσπόταις ποεῖν Eur. 93, 3. δεῖ τοῖσι πολλοῖς τὸν τύραννον ἀνδάνειν Eur. 171. δεινόν γε ταὐτὸν τοῖς μὲν ἀνδάνειν βροτῶν, τοῖς δ' ἔχθος εἶναι adesp. 462.

Ἀνδραίμων: Ἀνδραίμονος γένεθλον Aesch. 267.

ἀνδρεία cf. Aesch. 124, 2.

ἀνδρεῖος: τοῦτ' ἐν ἀνδρείᾳ στέγῃ (?) Aesch. 124, 2. γνώμης σόφισμα καὶ χέρ' ἀνδρείαν ἔχων Eur. 842. ἔνεισιν ἐν δειλοῖσιν ἀνδρεῖοι (al. ἐν δειλοῖσι κἄνανδροι) λόγοι adesp. 299. τοὺς γὰρ ἀνδρείους φύσιν καὶ τοὺς δικαίους - εὐγενεστέρους λέγω Eur. 495, 41.

ἀνδροβρώς: εἰς *ἀνδροβρῶτας ἡδονὰς ἀφίξεται Eur. 537.

ἀνδροδάικτος: τί ποτ', ἀνδροδάικτον ἀκούων ἰὴ κόπον, οὐ πλάθεις ἐπ' ἀρωγάν Aesch. 132.

ἀνδροκτόνος: ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς adesp. 358.

Ἀνδρομάχη — Eur. 1094.

Ἀνδρομέδα: τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν μέρος ἐξέλαχον Eur. 115.

ἀνδρομήκης: τὸν ἀνδρομήκη πυρὸν ἠκονημένῃ ἅρπῃ θερίζει Sosith. 2, 18 p. 822.

ἀνδρόπαις: τὸν ἀνδρόπαιδα δεσπότης ἀπώλεσα Soph. 562.

ἀνδρόφρων: κατ' ὀρφανὸν γὰρ οἶκον ἀνδρόφρων γυνή Soph. 857.

ἄνειμι v. ἀνέρχομαι.

ἀνεκτέος: ἄνδρ' ἠδίκησας· ἄνδρ' ἀνεκτέον τόδε adesp. 382.

ἄνεμος: ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτε πλεῖν ἐᾷ Aesch. 250. καὶ θηρσὶν αὐτὸς γίνεται παρεμφερής, ἀνέμῳ νεφέλῃ τε καστραπῇ, βροντῇ, βροχῇ Aesch. 464, 6. ἐν χειμῶνι δ' οἴχεται σὺν τῷ ἀνέμῳ (?) κεκαρμένη Chaer. 41, 2 p. 791. λήθουσι γάρ τοι κἀνέμων διέξοδοι θήλειαν ὄρνιν Soph. 436. πόντου τε χαροπὸν οἶδμα κἀνέμων βίας Soph. 1025, 3. νεύει δὲ τύχα κατὰ πνεῦμ' ἀνέμων Eur. 153, 4. ἅκατοι δ' ἀνάγονται ὑπ' εἰρεσίας ἀνέμων τ' εὐαέσσιν ῥοθίοις Eur. 773, 36. κόμαι δὲ κηροχρῶτες - ξουθοῖσιν ἀνέμοις ἐνετρύφων φορούμεναι Chaer. 1, 7 p. 782.

ἀνεμώδης (Σκῦρος) Soph. 509.

ἀνέρπω: πολὺς δ' ἀνεῖρπε κισσὸς εὐφυὴς κλάδος Eur. 88.

ἀνέρχομαι: πρῶτον δ' ἄνειμι καὶ διαπτύξω λόγῳ ἀρχὴν βροτείου καὶ κατάστασιν βίου Mosch. 6 p. 813. πρόσθε γὰρ κάτω γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' ἐς αἰθέρα Eur. 687, 3.

ἀνέστιος: ἄπαις τε κἀγύναιξ κἀνέστιος Soph. 4.

ἀνετῶς Soph. 583.

ἄνευ: οὗτοι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνου Soph. 365. μὴ ψεῦσον, ὦ Ζεῦ, μή μ' ἔλῃς ἄνευ δορός Soph. 453. Διὸς τυραννεῖ πλευμόνων, ἄνευ δορός, ἄνευ σιδήρου Soph. 855, 15. 16. οὐ γὰρ θέμις· ζῆν πλὴν θεοῖς ἄνευ κακῶν Soph. 860. κακὸν μὲν δρᾶν τι προῖκ' ἐπίσταται, αὐτὸς παρ' αὐτοῦ μανθάνων ἄνευ πόνου Soph. 1019, 7. εὐκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων Eur. 134. κέκτησο δ' ὀρθῶς ἂν ἔχῃς ἄνευ ψόγου Eur. 417. ἄνευ τύχης (?) - πόνος μονωθεὶς οὐκέτ' ἀλγύνει βροτούς Eur. 668. ἄνευ θεοῦ γὰρ οὐδὲ εἷς ἀνὴρ σθένει adesp. 477.

ἀνευρίσκω: δαίμων βροτοῖσι πόλλ' ἀνευρίσκει κακά adesp. 488. χρόνος - πόλλ' ἀνευρίσκει σοφὰ μαιομένοις adesp. 509, 3. δεινὴ πόλις νοσοῦσ' ἀνευρίσκειν κακά Eur. 267.

ἀνέχω: ἄκουε δ' ἀν' οὓς ἔχων Aesch. 126. ἃ δὲ μνᾶστις θνατοῖς εὐποτμοτάτα μελέων, ἀνέχουσα βίου βραχὺν ἰσθμόν Soph. 145, 4. μητρί τ' ὀρείῳ δᾷδας ἀνασχών Eur. 472, 13. ἀνέχου (ἀνάσχου Il.) πάσχων· δρῶν γὰρ ἔχαιρες Eur. 1090. ὃς ἀστενακτὶ θύννος ὡς ἠνείχετο ἄναυδος Aesch. 307, 2. σοὶ δ' ἔγωγε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι Eur. 909, 11. (cf. ἀπέχω.) σύγγνωτε κἀνάσχεσθε σιγῶσαι Soph. 618.

ἀνήκεστος: τῶν ἀνηκέστων κακῶν ἰατρός Aesch. 255, 2.

ἀνηκής: *ἀνηκές Soph. 46.

ἀνηκίδωτοι Aesch. 279.

ἀνημερῶ: ὃς παρακτίαν στείχων ἀνημέρωσα κνωδάλων ὁδόν Soph. 819, 2.

ἀνηνύτως: ταῦτ' ἀνηνύτως ἔχει Soph. 513, 4.

ἀνήρ: a) δίδωσιν Ἀργείαισιν ἔμφρουρον κόραις, εἰς ἀνδρὸς ὄψιν εὐλαβούμενος μολεῖν Eur. 1132, 24. ἐγκύμων εἴληπται χρανθεῖσ' ἄλεκτρος ἀνδρός Eur. 1132, 58. δεινή τις ἀνδρὶ καὶ γυναικὶ συμφορὰ δούλοις γενέσθαι adesp. 376. γυναιξὶ μὲν τέχναι μέλουσι, λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι Eur. 321, 2. εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον, ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα Eur. 321, 4. ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος πέφυκεν ἀνδρῶν Eur. 401, 3. μάτην ἄρ' εἰς γυναῖκας ἐξ ἀνδρῶν ψόγος ψάλλει Eur. 499. εἰ κερκίδων μὲν ἀνδράσιν μέλοι πόνος, γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί Eur. 522. τὰ δ' ἄλλ' ἀφεῖναι μηχανήματ' ἀνδράσιν Eur. 603, 5. Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται οὐδ' αὖ γυναῖκας Eur. 431.

b) α) γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ Eur. 317, 4. πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ Eur. 807. ὁ νῦν ⟨δὴ⟩ λαμβάνειν μέλλων μ' ἀνὴρ Eur. 953, 27. ἀνήρ τ' ἀχρεῖος χἡ γυνὴ διοίχεται Eur. 1063, 16. νέας γυναικὸς - ἥτις ἀνδρὸς ᾖ γεγευμένη Aesch. 243, 2. τεθνᾶσι παῖδες οὐκ ἐμοὶ μόνῃ βροτῶν οὐδ' ἀνδρὸς ἐστερήμεθα Eur. 454, 2. πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή Eur. 545. πᾶσα γὰρ ἀνδρὸς κακίων ἄλοχος Eur. 546. ὅταν δ' ὑπ' ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς Eur. 603, 4. καὶ ποῦ τοσαῦτα χρήματ' ἐστίν - ἃ μᾶλλον ἀνδρὸς εὐφρανεῖ παρόντα με Eur. 953, 23. ὥστε μή με, πρὸς τῆς ἑστίας, ἀποστερήσῃς ἀνδρὸς ᾧ συνῴκισας Eur. 953, 40. ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς. γνώμη δικαία Apollon. 1, 4 p. 825. νόει πρὸς ἀνδρὶ χρῶμα πουλύπους ὅπως πέτρᾳ τραπέσθαι γνησίου φρονήματος Soph. 286. γυναῖκα καὶ ὠφελίαν καὶ νόσον ἀνδρὶ φέρειν Eur. 78, 2. πᾶσα γὰρ ἀγαθὴ γυνὴ ἥτις ἀνδρὶ συντέτηκε σωφρονεῖν ἐπίσταται Eur. 909, 3. ἔστ' ἀνδρὶ καὶ γυναικὶ κείμενος νόμος Eur. 953, 14. τῇ δ' ὅσ' ἂν ἀρέσκῃ τἀνδρὶ ταῦτ' αὐτὴν ποεῖν Eur. 953, 16. σὺ δ' ἀνδρί μ', ὡς φής, ἐκδίδως νῦν πλουσίῳ Eur. 953, 20. ἑτέρῳ με δώσεις ἀνδρί Eur. 953, 31. οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ δοῦναι χαλινούς Eur. 463. τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν δώμασιν δουλοῖ τὸν ἄνδρα Eur. 502, 4. τότε σε χρῆν ζητεῖν ἐμοὶ ἄνδρ' ᾧ με δώσεις Eur. 953, 35. ἄνδρα κωλύει γυνὴ ἐσθλή Eur. 1055. οὔποτ' ἄνδρα χρὴ σοφὸν λίαν φυλάσσειν ἄλοχον Eur. 1063, 2. (cf. ἄλοχος.) τὰ δ' εἰς γάμους οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν Eur. 493, 5. ὠθούμεθ' ἔξω καὶ διεμπολώμεθα - ξένους πρὸς ἄνδρας Soph. 524, 9.

β) οὗτοι γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν κακῆς ἀνὴρ κτήσαιτ' ἄν Soph. 621, 2. ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή Eur. 164. μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή Eur. 543. ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω τέκνων θ' ἁμαρτεῖν - ἀλόχου τε κεδνῆς Eur. 543, 2. ὡς μόνον τῶν χρημάτων ἢ κρεῖσσόν ἐστιν ἀνδρὶ Eur. 543, 5. μοχθηρόν ἐστιν ἀνδρὶ πρε-

σβύτῃ τέκνα Eur. 804. γάμος κρατιστός ἐστιν ἀνδρὶ σώφρονι Hippoth. 6 p. 828.

c) ὡς ἦν τραφῇ τις μὴ κακῶς, αἰσχύνεται ἀνὴρ γενόμενος αἰσχρὰ δρᾶν Eur. 1027, 3.

d) οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ Eur. 788. ἀνὴρ δ' ὃς εἶναι φής, ἀνδρὸς οὐκ ἄξιον δειλὸν κεκλῆσθαι Eur. 829. γνώμαις γὰρ ἀνδρὸς (al. ἀνδρῶν) εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος Eur. 200. ἐχθροὺς κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος Eur. 1092. ἄνδρ' ἠδίκησας· ἄνδρ' ἀνεκτέον τόδε adesp. 382. ἐν ἑκατόν ἐστιν εὑρεῖν ἄνδρ' ἕνα Astyd. 8, 4 p. 780. πολλοὶ γεγῶτες ἄνδρες οὐκ ἔχουσ' ὅπως δείξουσιν αὑτούς Eur. 738. κεἰς ἀνδρῶν μὲν οὐ τελοῦσιν ἀριθμόν Eur. 492, 4. ἔμοιγ' εἴη τέκνα ⟨ἃ⟩ καὶ μάχοιτο καὶ μετ' ἀνδράσιν πρέποι Eur. 360, 26. τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον τιμῶμεν ἄνδρας τ' ἐν πόλει νομίζομεν Eur. 788, 3.

e) ἀνὴρ δ' ἐκεῖνος ἦν πεπαίτερος μόρων Aesch. 264. οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ Aesch. 377. οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ Aesch. 394. ἐν δεσμοῖσι δραπέτης ἀνὴρ κῶλον ποδισθείς Soph. 60. χὠπόθεν πένης ἀνὴρ μηδ' ἐντυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν Soph. 85, 7. ἀνὴρ - ὅστις ἥδεται λέγων ἀεί Soph. 99. οὐδ' ἀνὴρ οὐ πρὶν ἂν φάγῃ καλῶς ὅμοια καὶ βοῦς ἐργάτης ἐργάζεται Soph. 138, 2. ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ Soph. 260, 2. Δωτιεὺς ἀνὴρ ἀγχοῦ προσῆψεν Ἔλατος Soph. 349. πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ Soph. 447, 3. κωτίλος δ' ἀνὴρ λαβὼν πανοῦργα χερσὶ κέντρα Soph. 622, 3. γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ Soph. 751. Φοῖνιξ ἀνὴρ Σιδώνιος κάπηλος Soph. 823. οἰνωθεὶς ἀνήρ Soph. 843. ὁλοσχερὴς ἀνήρ Soph. 1026, 4. τὰς δὲ δαιμόνων τύχας ὅστις φέρει κάλλιστ' ἀνὴρ οὗτος σοφός Eur. 37, 2. ἀγλωσσίᾳ - ληφθεὶς ἀνήρ Eur. 56, 2. καὶ δοῦλος ὢν γὰρ τίμιος πλουτῶν ἀνήρ Eur. 142, 2. ἦν Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ Eur. 157. εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτατος Eur. 162, 3. ἀνὴρ γὰρ ὅστις εὖ βίον κεκτημένος τὰ μὲν κατ' οἴκους ἀμελίᾳ παρεὶς ἐᾷ Eur. 187. οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ Eur. 237, 2. εὐγενὴς ἀνὴρ στρατηγῶν Eur. 242, 2. κεῖνο δ' ἰσχύει μέγα, πλοῦτος λαβών ⟨τε⟩ τοῦτον εὐγενὴς ἀνήρ Eur. 249, 3. ἀνὴρ γνάθου τε δοῦλος νηδύος θ' ἡσσημένος Eur. 282, 4. ὠκύπους ἀνήρ Eur. 282, 16. σώφρων καὶ δίκαιος ὢν ἀνήρ Eur. 282, 25. ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε Eur. 296. κρείσσων γὰρ οὔτις χρημάτων πέφυκ' ἀνήρ Eur. 325. ὅταν δέ τις λειτῶν ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνήρ Eur. 327, 3. ὁ μὲν γὰρ ἐσθλὸς εὐγενὴς ἔμοιγ' ἀνήρ Eur. 336, 2. ὧδ' ἀνὴρ κεῖνος σοφός Eur. 372, 3. ἀνὴρ - χρημάτων μὲν ἐνδεής, δρᾶσαι δὲ χειρὶ δυνατός Eur. 389. ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ' ἀνήρ Eur. 425. φωνὴ καὶ σκιὰ γέρων ἀνήρ Eur. 509. νέος καὶ σκαιὸς οἷός ἐστ' ἀνήρ Eur. 510. ἀργὸς πολίτης κεῖνος, ὡς κακός γ' ἀνήρ Eur. 512. κατθανὼν δὲ πᾶς ἀνὴρ γῆ καὶ σκιά Eur. 532. χοὐτός

γ' ἀνὴρ ἄριστος αἵ τε συμφοραὶ ἥσσον δάκνουσιν Eur. 572, 3. οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ Eur. 661. ὡς σκαιὸς ἀνὴρ καὶ ξένοισιν ἄξενος Eur. 736. ὅταν τις ἐκ δόμων ἀνὴρ θάνῃ Eur. 736, 6. ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος Eur. 760. κἀγὼ μὲν οὕτω χὤστις ἔστ' ἀνὴρ σοφὸς λογίζομαι Eur. 812, 4. ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ Eur. 812, 7. ὅστις μὴ δίκαιος ὢν ἀνὴρ βωμὸν προσίζει Eur. 1049. οὐδ' ἂν εἰς ἀνὴρ γυναικὸς αὐδήσειεν, ἀλλὰ τοῦ πατρός Eur. 1064, 6. ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ μέθῃ ταράσσει καὶ γαληνίζει φρένα Eur. 1079, 3. πυκνός τις καὶ σοφὸς γνώμην ἀνήρ Crit. 1, 12 p. 771. εὖ τραφεὶς ἀνήρ Sosith. 1, 2 p. 821. ὁ δισκεύσας ἀνήρ Sosith. 3, 2 p. 823. κακὸς δ' ἀνὴρ σιγηλὸν ἔσχε ζῶν τε καὶ θανὼν βίον Zenod. 1 p. 831. ἐχθρὸς μὲν ἀνήρ, ἀλλὰ τὴν δίκην σέβω adesp. 5. ἀνὴρ δὲ πλουτῶν, κἂν ἄγαν ψευδηγορῇ, δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν σαφές adesp. 119, 5. ἀνὴρ ἐς οὐδὲν χρεῖος adesp. 159. οὐδὲν φρονεῖ δίκαιον .. ἀνήρ adesp. 330. γυναικὶ πρόσφορον γυνή, νοσῶν τ' ἀνὴρ νοσοῦντι adesp. 364, 3. κάλλιστα μουσῶν φθέγγεται πλουτῶν ἀνήρ adesp. 464. ἄνευ θεοῦ γὰρ οὐδὲ εἷς ἀνὴρ σθένει adesp. 477. κακὸν τὸ κεύθειν κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς Soph. 76. πρὸς ἀνδρὸς ἐσθλοῦ πάντα γενναίως φέρειν Soph. 296. οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας ἀνδρός Soph. 588, 2. ἀνδρὸς εὐτυχοῦς τὸ πρίν Soph. 666, 4. ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι Soph. 667. ὁ Τυδεὺς ἀνδρὸς αἷμα συγγενὲς πράξας Soph. 731, 3. ἀμνήμονος γὰρ ἀνδρὸς ὄλλυται χάρις Soph. 834. ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν Soph. 836. ἀνδρὸς ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν Eur. 8. σοφοῦ πρὸς ἀνδρός Eur. 28. ἀτρέκεια δ' ἄριστον ἀνδρὸς ἐν πόλει δικαίου πέλει Eur. 91. ἀνδρὸς δ' ὁρῶντος εἰς Κύπριν νεανίου Eur. 162. ἀνδρὸς φίλου δὲ χρυσὸς ἀμαθίας μέτα ἄχρηστος Eur. 163. κόσμος δὲ σιγὴ στεγανὸς ἀνδρὸς οὐ κακοῦ Eur. 219. εὐτυχίαν κακοῦ ἀνδρὸς ὑπέρφρονά τ' ὄλβον Eur. 303. γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ Eur. 362, 34. εἰς ἀνδρὸς φύσιν σκοπῶν Eur. 812, 5. ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις Eur. 1079, 2. κενὸν θανόντος ἀνδρὸς αἰκίζειν σκιάν Mosch. 3 p. 813. κακοῦ γὰρ ἀνδρός ἐστι τοὺς καινοὺς φίλους τιμᾶν adesp. 37. οὐκ ἦν ἄρ' οὐδὲν πῆμ' ἐλευθέραν δάκνον ψυχὴν ὁμοίως ἀνδρὸς ὡς ἀτιμία adesp. 110, 2. καὶ τοῦτο τοὔπος ἐστὶν ἀνδρὸς ἔμφρονος adesp. 460. ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον adesp. 552. ἦ βραχύ τοι σθένος ἀνέρος Eur. 27. εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος Ion. 41 p. 740. τί γὰρ ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτερον Aesch. 309, 3. ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φηλήτῃ βαρύς Soph. 847. τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός Eur. 6. τούτῳ δ' ἀνδρὶ μήτ' εἴην φίλος μήτε ξυνείην, ὅστις Eur. 29, 2. ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων Eur. 566. ἀνδρὶ γάρ τοι - οὐκ ἔστι τοῦ θρέψαντος ἥδιον πέδον Eur. 817, 2. σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους Eur. 899, 4. ἅπασα δὲ

χθὼν ἀνδρὶ γενναίῳ πατρίς Eur. 1047, 2. πεινῶντι γὰρ ἀνδρὶ μᾶζα τιμιωτέρα χρυσοῦ Ach. 25 p. 752. δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ ζῶντι φθονῆσαι Mimn. 1 p. 829. ὅταν δ' ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακά adesp. 455. ὅτι γὰρ φύσις ἀνέρι δῷ, τόδ' οὔποτ' ἂν ἐξέλοις Soph. 739. κύνες διημάθυνον ἄνδρα δεσπότην Aesch. 244. εἰσὶ δ' οἵτινες αἰνοῦσιν ἄνοσον ἄνδρα Soph. 328, 6. οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας τέρπειν, ὅπου γε μὴ δίκαια τέρψεται Soph. 616. σὺ δ' ἄνδρα θνητὸν εἰ κατέφθιτο στένεις Soph. 761. ἄνδρ' εἰθισμένον ἀκόλαστον ἦθος γαστρός Eur. 201, 3. οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας γνώμας διώκειν Eur. 216. νεανίαν γὰρ ἄνδρα (al. ὄντα) χρὴ τολμᾶν ἀεί Eur. 237. ὅταν ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκῳ Eur. 263, 3. ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει ἧσσον δέδοικα Eur. 290. πρὸς ἄνδρ' εἰπὼν ἕνα πύθοιντ' ἂν ἀστοὶ πάντες Eur. 411, 3. ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας εἰς πάντας ἀμαθὲς Eur. 553. μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτὲ μηδ' αὖξε καιροῦ μείζονα Eur. 626, 3. κόλουε δ' ἄνδρα παρὰ δίκην τιμώμενον Eur. 626, 6. τίς ἄνδρα τιμᾷ ξεναπάτην Eur. 667. οἶδ' ἄνδρα Μυσὸν Τήλεφον Eur. 704. τὸν ἐσθλὸν ἄνδρα, κἂν ἐκὰς ναίῃ χθονός - κρίνω φίλον Eur. 902. εὔξῃ τοιοῦτον ἄνδρα σοι παρεστάναι Eur. 956. κακὸν γὰρ ἄνδρα χρὴ κακῶς πάσχειν ἀεί Eur. 1049, 4. ἀλλ' οὐ πρέπει τύραννον - οὐδ' ἄνδρα χρηστὸν νεῖκος αἵρεσθαι κακοῖς Eur. 1050, 2. ἔπαινός ἐστιν ἀσφαλέστατος κατ' ἄνδρ' ἐπαινεῖν ὅστις ἂν δίκαιος ᾖ Astyd. 8, 2 p. 780. μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα adesp. 28. ἄψυχον ἄνδρα λαμβάνειν συνέμπορον adesp. 337. ταὐτὸ πρὸς τύμβον τε κλαίειν καὶ πρὸς ἄνδρα νήπιον adesp. 440. δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ ἀριθμόν Eur. 519. αἱ γὰρ πόλεις εἶσ' ἄνδρες, οὐκ ἐρημία Eur. 828. ἄνδρες Ἑλλήνων ἄριστοι adesp. 332. ἀνδρῶν γὰρ ἐσθλῶν στέρνον οὐ μαλάσσεται Soph. 196. οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις Soph. 850, 2. ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος Soph. 859. ἀνδρῶν δικαίων κἀγαθῶν ὁμιλίαι Eur. 7, 2. ὥστ' οὔτις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ Eur. 45. οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια, παρ' ἀγαθοῖσι δ' ἀνδρῶν Eur. 53, 2. ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα Eur. 75, 2. ὁρῶ μὲν ἀνδρῶν τόνδε γυμνάδα στόλον Eur. 105. κἀγὼ μετ' ἀνδρῶν ἠνίκ' ηὐτύχουν βίῳ Eur. 285, 20. νείκη γὰρ ἀνδρῶν φόνια καὶ μάχας χρεὼν δόλοισι κλέπτειν Eur. 289. φειδώμεθ' ἀνδρῶν εὐγενῶν Eur. 414. ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος εἵνεκα ἀσκοῦσι χάριτας κερτόμους Eur. 492. ἀνδρῶν τάδ' ἐστὶν ἐνδίκων τε καὶ σοφῶν Eur. 1078. ὦ φίλτατ' ἀνδρῶν Phryn. 20 p. 725. νέων γὰρ ἀνδρῶν πολλὰ κάμπτονται φρένες Agath. 26 p. 768. σοφῶν γὰρ ἀνδρῶν τὰς ἁμαρτίας καλῶς κρίνειν Chaer. 31 p. 790. εἰς σώματ' ἀνδρῶν Theod. 17, 3 p. 806. τίς ὧδε μῶρος καὶ λίαν ἀνειμένος εὔπιστος ἀνδρῶν adesp. 118, 2. τοίων γὰρ ἀνδρῶν σπέρμ' ἔδωκεν Ἑλλάδος adesp.

197. τὴν μὲν μυῖαν ἀλκίμῳ σθένει πηδᾶν ἐπ' ἀνδρῶν σώμαθ', ὡς πλησθῇ φόνου adesp. 295, 2. ἰὼ τυραννὶ βαρβάρων ἀνδρῶν φίλη adesp. 359. ἐν οἷσιν ἀνδράσιν τιμὴν ἔχεις Soph. 192. ἅπαντα τοῖς καλοῖσιν ἀνδράσιν πρέπει adesp. 133. ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους Aesch. 37. βοτῆρα νικᾶν ἄνδρας ἀστίτας Soph. 90. φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους Soph. 510. ἄνδρας χρὴ σοφούς τε κἀγαθοὺς φύλλοις στέφεσθαι Eur. 282, 23. πολλάκις σοφωτέρους πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων Eur. 327, 5. ἄνδρας δ' ὁπλίτας πολέμιον ταρβεῖν δόρυ adesp. 295, 3. ἄνδρες Ἑλλήνων ἄκροι Eur. 703. — ἀνέρος Eur. 27 et Ion. 41 p. 740. ἀνέρι Soph. 739.

ἀνήρης (?) Aesch. 218.

ἀνθηρός: ἀνθηροῦ τέκνα ἔαρος πέριξ στρώσαντες Chaer. 9 p. 784.

ἀνθίσταμαι: πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται Soph. 235.

ἀνθοβοσκόν Soph. 28.

ἄνθος: νέῳ στίλβοντες ἄνθει καρτερὰς ἐπωμίδας Ach. 4, 3 p. 747. πόθεν ποτ' ἄλυπον ὧδε ἡύρον ἄνθος ἀνίας Soph. 174, 2. ἥλιος διφρηλατῶν σκοτεινὸν ἄνθος ἐξέχρωσε λιγνύος εἰς σώματ' ἀνδρῶν Theod. 17, 2 p. 806. οὕνεκ' ἐκεῖ ἄνθεα λειμώνια Aesch. 374. ἕτερον ἐφ' ἑτέρῳ αἱρόμενος ἄγρευμ' ἀνθέων Eur. 754, 2. ἀπείρονα στρατὸν ἀνθέων ἄλογχον Chaer. 10, 2 p. 784.

ἄνθραξ: κατέπινε καὶ τὰ κᾶλα καὶ τοὺς ἄνθρακας Ion. 29, 2 p. 737.

ἀνθρώπειος: γίγνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν Aesch. 159, 3. γίγνωσκε τἀνθρώπεια μηδ' ὑπερμέτρως ἄλγει Eur. 418.

ἀνθρώπινος: ἄνθρωπον ὄντα δεῖ φρονεῖν ἀνθρώπινα adesp. 308.

ἀνθρωποειδής: ἀνθρωποειδὲς θηρίον ὕδατι συζῶν Aesch. 26.

ἄνθρωπος: ἢ βαρὺ φόρημ' ἄνθρωπος εὐτυχῶν ἄφρων Aesch. 392. ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον Soph. 12. ὅστις ἄνθρωπος γεγὼς δῆμον κολούει Eur. 92. μὴ σκυθρωπὸς ἴσθ' ἄγαν πρὸς τοὺς κακῶς πράσσοντας, ἄνθρωπος γεγώς Eur. 406, 2. οὐδεὶς οἶδεν ἄνθρωπος γεγὼς οὔτ' εὐτυχοῦς ἀριθμὸν οὔτε δυστυχοῦς Eur. 843. θεοῦ βίον ζῆν ἀξιοῖς ἄνθρωπος ὤν Eur. 1075, 2. ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης Hippoth. 1 p. 827. ἄνθρωπος ἐγένου καὶ τὸ δυστυχὲς βίου ἐκεῖθεν ἔλαβες adesp. 112, 2. τὰν γὰρ ἀνθρώπου ζόαν ποικιλομήτιδες ἄται πημάτων πάσαις μεταλλάσσουσιν ὥραις Soph. 533. χῶρος γὰρ αὐτός ἐστιν ἀνθρώπου φρενῶν, ὅπου Soph. 824. βωμὸς αὐτῆς ἔστ' ἐν ἀνθρώπου φύσει Eur. 170, 2. βαρὺ τὸ φόρημ' οἴησις ἀνθρώπου κακοῦ Eur. 643. πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει Eur. 834. σοὶ Ζῆν' ἐς εὐνὴν ὥσπερ ἄνθρωπον μολεῖν Eur. 210, 3. ἄνθρωπον ὄντα δεῖ φρονεῖν ἀνθρώπινα adesp. 308. τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι Eur. 462, 2. οὐ τῶνδε χειρώνακτες ἄνθρωποι λόγων Eur. 795, 3. κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους θέσθαι κολαστάς Crit. 1, 5 p. 771. ἀλλ' Ἄρης φιλεῖ ἀεὶ τὰ λῷστα πάντα τἀνθρώπων στρατοῦ Aesch. 100, 2. ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ Soph.

74. αἳ νέαι μὲν ἐν πατρὸς ἥδιστον, οἶμαι, ζῶμεν ἀνθρώπων βίον Soph. 524, 4. ἓν φῦλον ἀνθρώπων μί' ἔδειξε πατρὸς καὶ ματρὸς ἡμᾶς ἀμέρα Soph. 532. οὐ χρή ποτ' ἀνθρώπων μέγαν ὄλβον ἀποβλέψαι Soph. 535. ζῴη τις ἀνθρώπων τὸ κατ' ἦμαρ ὅπως ἥδιστα πορσύνων Soph. 536. ἄκων δ' ἁμαρτὼν οὔτις ἀνθρώπων κακός Soph. 604. ὁ φόβος - τό τε στόμ' εἰς ἔκπληξιν ἀνθρώπων (?) ἄγει Eur. 67, 3. ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως Eur. 136. εἴ τις ἀνθρώπων θέλει μὴ τῷ παλαιῷ μῶρος ὢν χρῆσθαι λόγῳ Eur. 286, 2. χρόνος - δείκνυσιν ἀνθρώπων κακότητας ἐμοί Eur. 303, 5. οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν νοσοῦσ' ὁμοίως τοῖς ἄγαν θηρωμένοις Eur. 428. πολλοῖς ἔστιν ἀνθρώπων κακά Eur. 415. ἀνθρώπων δὲ μαίνονται φρένες, δαπάνας ὅταν θανοῦσι πέμπωσιν κενάς Eur. 640. βίοτος ἀνθρώπων πλάνη Eur. 659, 8. Διὸς Αἰθήρ - ἀνθρώπων καὶ θεῶν γενέτωρ Eur. 839, 2. κρινεῖ τίς αὐτὸν πώποτ' ἀνθρώπων μέγαν Eur. 1041. ὦ γῆρας - πᾶς τις εἰς σὲ βούλετ' ἀνθρώπων μολεῖν Eur. 1080, 2. τύμβῳ γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος Eur. 1081. ἦν χρόνος ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος Crit. 1 p. 771. ἦν ἄρα τρανὸς αἶνος ἀνθρώπων ὅδε Mosch. 8 p. 815. μόνος γάρ ἐστιν ἀνθρώπων κριτής adesp. 512, 2. οὐδεὶς ἂν εἴποι κεῖνον ἀνθρώπων κακῶς adesp. 534. καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα Soph. 321. προμηθία γὰρ κέρδος ἀνθρώποις μέγα Soph. 864, 3. διαβολαὶ δεινὸν ἀνθρώποις κακόν Eur. 56. τί πλέον εἶναι παῖδας ἀνθρώποις, πάτερ Eur. 84. πολλά τοι θεὸς κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις τελεῖ Eur. 100, 2. δεινόν τι τέκνων φίλτρον ἐνῆκεν θεὸς ἀνθρώποις Eur. 103, 2. πάντα δ' ἀνθρώποις (?) Eur. 252, 2. τὸν μέγιστον ἀνθρώποις θεόν Eur. 269, 4. ἡ δόκησις ἀνθρώποις κακόν Eur. 277, 2. ὡς ἔμφυτος μὲν πᾶσιν ἀνθρώποις κάκη Eur. 297. εἷς γάρ τις ἔστι κοινὸς ἀνθρώποις νόμος Eur. 346. οὐκ ἔστιν οὐδὲν χωρὶς ἀνθρώποις θεῶν Eur. 391. μεγίστην τῶν ἐν ἀνθρώποις νόσων Eur. 403, 7. ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν Eur. 437. φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνήν Eur. 439. Ἅιδου σκότος οὐδ' εἰς ὄνειρον ἡδὺς ἀνθρώποις μολεῖν Eur. 533, 2. ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακὰ δέλτος διαιρεῖ Eur. 578; 8. πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν Eur. 632. ὦ παῖδες οἷον φίλτρον ἀνθρώποις φρενός Eur. 652. τόδ' ἤδη θεῖον ἀνθρώποις κακόν Eur. 841. αἰθὴρ τίκτει σε, κόρα, Ζεὺς ὃς ἀνθρώποις ὀνομάζεται Eur. 877, 2. ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν Eur. 1030. οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον Eur. 1048. ἐκ τοῦ γὰρ ἐσορᾶν γίγνετ' ἀνθρώποις ἐρᾶν Sthenel. 1 p. 762. Agath. 29 p. 768. τοίους πέριξ ἔστησεν ἀνθρώποις φόβους Crit. 1, 37 p. 772. οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ὅτι οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται Chaer. 21 p. 788. πάντων μέγιστον τῶν ἐν ἀνθρώποις βάρος Mosch. 8, 4 p. 815. τὰ λαμπρὰ τῆς τύχης τὴν κτῆσιν

οὐ βέβαιον ἀνθρώποις νέμει Mosch. 9, 6 p. 816. ἥλιε ποθεινὸν πᾶσιν ἀνθρώποις σέλας Theod. 10, 2 p. 805. ὡς ἐν ἀνθρώποις ἄρα οὐ χρυσός, οὐ τυραννίς - τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονάς Apollon. 1 p. 825. ἀρετὴ τῶν ἐν ἀνθρώποις μόνη οὐκ ἐκ θυραίων τἀπίχειρα λαμβάνει adesp. 116. τὸ ζηλωτὸν ἀνθρώποις adesp. 354. ὁ γὰρ θεὸς μέγιστος ἀνθρώποις νόμος adesp. 471. μόνη ἐστὶν ἀπαραίτητος ἀνθρώποις Δίκη adesp. 495. γνῶμαι γὰρ ἔργων τῶν ἐν ἀνθρώποις τροφοί adesp. 539. τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους Soph. 85. κακόν τι παίδευμ' ἦν ἄρ' εἰς εὐανδρίαν ὁ πλοῦτος ἀνθρώποισιν Eur. 54, 2. οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ πόλεμος Eur. 173. θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος ἔχει Eur. 176. πόλλ' ἔστιν ἀνθρώποισιν, ὦ ξένοι, κακά Eur. 204. πᾶσιν γὰρ ἀνθρώποισιν - δαίμων βίον ἔσφηλε Eur. 273. οὔτε μήτηρ ἡδονὰς τοίας ἔχει, οὐ παῖδες ἀνθρώποισιν (al. ἐν δόμοισιν) Eur. 324, 3. ἀνθρώποισιν ἔστιν οἷς βίος ὁ μικρὸς εὔκρας ἐγένεθ', οἷς δ' ὄγκος κακόν Eur. 504. ἐξηῦρον ἀνθρώποισι γράμματ' εἰδέναι Eur. 578, 3. ἀνθρώποισι πᾶσιν αἱ τύχαι μορφὴν ἔχουσι Eur. 580. οὐκ ἔστι τὰ θεῶν ἄδικ', ἐν ἀνθρώποισι δὲ κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει Eur. 606. οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτος σκότος Eur. 617. τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει Eur. 642, 2. ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως ζηλωτὸς ἀνθρώποισιν Eur. 672, 2. τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει Eur. 733. εἰ δ' ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι Eur. 978. ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο δειναί Eur. 1038. λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους Eur. 1071. οὐκ ἦν ἂν ἀνθρώποισιν ἐν βίῳ φθόνος Agath. 24 p. 768. πολλῶν γὰρ ἀνθρώποισι φάρμακον κακῶν σιγή Carcin. 7 p. 800. ἅπαντ' ἐν ἀνθρώποισι γηράσκειν ἔφυ Theod. 12 p. 805. θνητοῖσιν ἀνθρώποισι καταφυγὴ θεοί adesp. 481. λύπας μὲν ἀνθρώποισιν - θεοὶ - διδοῦσιν adesp. 489. μόνη γὰρ ἐν θεοῖσιν οὐ δεσπόζεται μοῖρ' οὐδ' ἐν ἀνθρώποισιν adesp. 503, 2. πόλλ', ὦ τέκνον, σφάλλουσιν ἀνθρώπους θεοί Eur. 254. φιλεῖ δὲ θούμόφυλον ἀνθρώπους ἄγειν Eur. 296, 3. μάλιστ' ἂν ἐξέπληξεν ἀνθρώπους Crit. 1, 28 p. 771. παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν adesp. 111, 2. τὸ δὲ θεῶν κράτος μέγα κατ' ἀνθρώπους adesp. 499.

ἄνθρωπος adi.: ἄνθρωπον ἦθος adesp. 451.

ἀνθρώσκω: ἄνθρωσκε Soph. 389.

ἀνθυπουργῶ: ἥ φὴς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν Soph. 315.

ἀνθῶ: ὕβρις - ἐν νέοις ἀνθεῖ τε καὶ πάλιν φθίνει Soph. 718, 3. ἥ ‹τ'› ἄγνος ἀνθεῖ χὠ βότρυς πεπαίνεται adesp. 396. λευκὸν. ἀνθοῦντα στάχυν Soph. 363.

ἀνία: ἄλυπον - ἄνθος ἀνίας Soph. 174, 2. λιμὴν γὰρ Ἅιδας *ἀνιᾶν adesp. 369.

ἀνιαρός: ἡ κρίνουσα καὶ τὰς ἡδονὰς καὶ τἀνιαρὰ - αἴσθησις Mosch. 7, 4 p. 815.

ἀνίερος: ἀμφίπολος Ἄρεος ἀνιέρου Eur. 992.

ἀνίημι: πυρός τ' ἐρινὺς - ἀνίησ' ἀτμὸν ἐμφανῆ Eur. 781, 2. δοκεῖς τὸν Ἅιδην - παῖδ' ἀνήσειν τὸν σόν Eur. 332, 2. οὐ γὰρ δράκων ἀνῆκεν Aesch. 252. συὸς μέγιστον χρῆμ' ἐπ' Οἰνέως γύας ἀνῆκε Λητοῦς παῖς Soph. 369, 2. τίς ὧδε μῶρος καὶ λίαν ἀνειμένος εὔπιστος ἀνδρῶν adesp. 118.

ἀνίστημι: τὸν θανόντα δακρύοις ἀνιστάναι Soph. 513, 2. ψυκτηρίοις πτεροῖς ἀναστήσαντα προσθίαν τρίχα Ach. 10, 2 p. 749.

ἀνίσχω: Ἥλιος ἀνίσχων Eur. 771, 3.

ἀνιῶ: γῆρας - οὐ πάντες ἐπιθυμοῦμεν· ἦν δ' ἔλθῃ ποτέ, ἀνιώμεθα Crat. 3, 4 p. 810.

ἀνόδυρτος: θεόθεν δὲ πνέοντ' οὖρον ἀνάγκη τλῆναι καμάτοις ἀνοδύρτοις adesp. 303, 2.

ἀνόητος: εἰ τἄλλα κρίνειν ἐστὶν ἀνόητον γυνή Eur. 953, 11. θηρῶν ἀνόητα γένη adesp. 129, 8.

ἄνοια s. ἀνοία: τερπνῶς γὰρ ἀεὶ παῖδας ἀνοία τρέφει Soph. 524, 5. ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ Eur. 545, 2.

ἀνοίγω: ψυχῆς ἀνοῖξαι τὴν κεκλημένην πύλην Soph. 360. καὶ μὴν ἀνοῖξαι - σιροὺς οὐκ ἠξίου Eur. 827.

ἀνοικτίρμων: κἂν ἀνοικτίρμων τις οἰκτίρειέ νιν Soph. 598, 8.

ἄνοικτος: ἄνοικτος ὃς τεκὼν σὲ - μεθῆκεν Ἅιδᾳ Eur. 120.

ἀνοιστέος: ἀλλ' ἀνοιστέος λόγος Eur. 970.

ἄνολβος: ἐν ἑσθλοῖς δὲ καθήσεσθ' ἄνολβοι Eur. 960, 2.

ἀνομία: τὴν ἀνομίαν τε τοῖς φόβοις κατέσβεσεν Crit. 1, 40 p. 772.

ἀνόνητος: πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων ἀνόνητος Eur. 502, 6. ἀνόνητον ἄγαλμ', ὦ πάτερ, οἴκοισι τεκών Eur. 386.

ἀνόρεος: ἀνόρεος πόλεμος Soph. 403.

ἀνορθῶ: ὁ δ' ἠδὺς αἰὼν ἡ κακή τ' ἀνανδρία οὔτ' οἶκον οὔτε πόλιν *ἀνορθώσειεν ἄν Eur. 239, 2. 364, 3.

ἀνόσητος Soph. 914.

ἀνόσιος: ἀθέμιστα καὶ ἀνόσια δρᾶν Soph. 676.

ἄνοσος: ἐμοὶ δ' οὐδεὶς δοκεῖ εἶναι πένης ὢν ἄνοσος Soph. 328, 7. εἰσὶ δ' οἵτινες αἰνοῦσιν ἄνοσον ἄνδρα Soph. 328, 6. λῷστον δὲ ‹τὸ› ζῆν ἄνοσον Soph. 329, 2.

ἄνους: ἄνους ἐκεῖνος Soph. 530. γελῶν θεριστὴν ὡς ἄνουν ἠρίστισεν Sosith. 2, 21 p. 822.

ἀνουστέρως: αἳ δ' ἀνουστέρως ἔτι ἐκεῖνον ἠμύναντο Soph. 530.

ἀνταγωνιστής: τῶν εὐτυχούντων ἀνταγωνιστὴς φθόνος adesp. 167.

ἀνταῖος: ἀνταία Aesch. 223. ἀνταίας Soph. 368. ἀνταίαν Soph. 69. τὸν δὲ ἀνταῖον περιδινέοντα οὐχ ὁρᾶτε καὶ δεῖμα προσπαίοντα ἀνταίας θεοῦ Soph. 311.

*ἀνταίρουσιν Soph. 243.

ἀντάρης: ἀντάρης νυκτερὶς ὄψεσιν Soph. 681.

ἀνταυγής: στρέψον ἀνταυγεῖς κόρας adesp. 67.

ἀνταυγῶ: χρῶμα δ' ὄμμασιν λευκὸν μελαίνης ἔργον ἀντηύγει σκιᾶς Chaer. 14, 6 p. 786. κυανωπὸν ὡς

τις Ἶρις ἀντηύγει σέλας adesp. 541, 3.

ἀντεῖπον: οὐκ ἂν ἀντείποιμι Eur. 953, 10. δίκαιά γ' ἀντειπεῖν ἔχων Eur. 706, 3.

ἀντέλλω: πᾶσα δ' εὐθαλὴς Αἴγυπτος - Δήμητρος ἀντέλλει στάχυν Aesch. 300, 7.

ἀντεμμάσασθαι Eur. 611.

ἀντεύφρασμα Agath. 30 p. 769.

ἀντέχω: εἴκει γὰρ ἤδη θυμὸς οὐδ' ἔτ' ἀντέχει adesp. 379. τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον Soph. 75. καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους - ὧδ' ἀντέχεσθαι Soph. 328, 2.

ἀντήλιος: ἀντήλιοι θεοί Eur. 538.

Ἀντήνωρ: τὸ Νεστόρειον εὔγλωσσον μέλος Ἀντήνορός τε τοῦ Φρυγός Eur. 899, 2.

ἀντηρίς: κρίμνη σεαυτὴν ἐκ μέσης ἀντηρίδος Eur. 1111.

ἀντί: εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θηλειῶν στάχυς ἄρσην Eur. 360, 22. *ἀντ' ἐλαίας χρυσέας τε Γοργόνος τρίαιναν ὀρθὴν στᾶσαν Eur. 360, 46. ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ μεῖζον ἐβλάστομεν γυναῖκες Eur. 429. σὺν κόψαντες - ἀντὶ τοῦ κεκομμένου ἐπέμψαμεν βόειον adesp. 458, 5. τίς γὰρ ἀνθ' Ἡρακλέους Sosith. 3, 3 p. 823.—ἀντὶ γὰρ ψυχῆς μιᾶς οὐκ ἔσθ' ὅπως οὐ τήνδ' ἐγὼ σώσω πόλιν Eur. 360, 51. μόνον δ' ἂν *ἀντὶ χρημάτων οὐκ ἂν λάβοις γενναιότητα κἀρετήν Eur. 527. κατεύχομαι κακὰ αὐτοῖσιν *ἀντὶ τῶνδε δὶς τόσα σχεθεῖν adesp. 458, 13.

ἀντίβοιον Soph. 372.

ἀντίδουλος: ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς δοὺς ἀντίδουλα Aesch. 194, 2.

ἀντίζυγος: Ἄρτεμιν σέβειν ψαλμοῖς τριγώνων πηκτίδων ἀντιζύγοις ὀλκοῖς κρεκούσας μάγαδιν Diog. Ath. 1, 9 p. 777.

Ἀντίκλεια: ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος Aesch. 175.

ἀντιλέγω v. ἀντεῖπον.

Ἀντίλοχος: Ἀντίλοχ', ἀποίμωξόν με Aesch. 138.

ἀντίον: *ἀντίον δορὸς ὀρνύμενος Ἀχιλλέως adesp. 23.

ἀντίπαις: κἀντίπαιδα καὶ γένει μέγαν Soph. 139, 2.

ἀντίπλαστος: ποταμὸς Ἴναχος τὸν ἀντίπλαστον νόμον ἔχει κεκμηκότων Soph. 262, 2.

ἀντίπλευρος: Λύκῳ τὸν ἀντίπλευρον κῆπον Εὐβοίας νέμει Soph. 872, 4.

ἀντίπορθμος: Πελοπίας χθονὸς ἐν ἀντιπόρθμοις Eur. 515, 2.

ἀντίσπαστος: πολὺς δὲ Φρὺξ τρίγωνος ἀντίσπαστά τε Λυδῆς ἐφύμνει πηκτίδος συγχορδίᾳ Soph. 378. ψαλμοῖσιν ἀντίσπαστ' ἀείδοντες μέλη Phryn. 11 p. 723.

ἀντιστρέφω Soph. 584.

ἀντιτείνω: ὁ μὴ ἀντιτείνων τοῖς λόγοις Eur. 654, 2.

ἀντίχειρ: γυναῖκας - χαλκοκτύπων βόμβοις βρεμούσας ἀντίχερσι κυμβάλων Diog. Ath. 1, 4 p. 776.

Ἀντίων — Aesch. 89.

ἀντολή: ἀστέρων ἐπ' ἀντολαῖς Eur. 482, 2.

† ἀντόμοιον adesp. 458, 8.

ἀντραῖος Eur. 13.

ἄντρον: ἔδυ δ' ἐς ἄντρον ἀσχέ-

δωρος ὡς Aesch. 261. ἐν *ἄντροις, ἔνθα Σαρπηδὼν πέτρα Soph. 580. προσαυδῶ σὲ τὰν ἐν ἄντροις Eur. 118. κοίλοις ἐν ἄντροις ἄλυχνος, ὥστε θήρ, μόνος Eur. 421. οὐκ ἔστ' ἐν ἄντροις λευκός, ὦ ξέν', ἄργυρος adesp. 389.

ἀνύω et ἄνω: οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων *ἄνοις Aesch. 161, 2. τοιόνδε μὲν Ζεὺς κλέμμα πρεσβύτου πατρὸς αὐτοῦ μένων ἄμοχθον *ἤνυσεν λαβεῖν Aesch. 99, 3.

ἄνω: εἶλκον ἄνω λυκηδόν Aesch. 39. οὐμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει Aesch. 159. ἐκ ποδῶν δ' ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα Aesch. 169. δονοῦσα καὶ τρέπουσα τύρβ' ἄνω κάτω Aesch. 311, 3. ἄνω ποταμῶν Aesch. 335. βομβεῖ δὲ νεκρῶν σμῆνος ἔρχεταί τ' ἄνω Soph. 795. ἐν θηρσίν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω Soph. 855, 12. ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας λέγειν, ἐς ὄγκον δ' οὐκ ἄνω βλέπειν τύχης Eur. 81, 2. μί' ἡμέρα τὰ μὲν καθεῖλεν ὑψόθεν, τὰ δ' ἦρ' ἄνω Eur. 420, 3. καὶ θεῶν ἄνω ψυχὰς χαράσσει Eur. 431, 2. τὸν δ' ἄνω τε καὶ κάτω ῥήτωρ σπαράσσων πολλάκις λυμαίνεται Eur. 597, 3. ἔπεισαν ὡς ἄξουσι τὴν ψυχὴν ἄνω τῆς Πυθιονίκης Pyth. 1, 7 p. 811. ὁ θυμὸς αὐτὸν τῶν φρενῶν ἐξῆρ' ἄνω adesp. 175. — πηδῶν ὁ θυμὸς τῶν φρενῶν ἀνωτέρω adesp. 390.

ἄνωγα: οἰκτρῶς θανεῖν μ' ἄνωγε σύγγαμος πατήρ adesp. 8. γυναῖκ' ἄνωχθι πᾶσι τοῖς θεοῖς χορεῦσαι Eur. 781, 33.

ἄνωθεν: τίσις δ' ἄνωθεν εἶσιν αἱματορρόφος Soph. 677. πέμπται δ' ἄνωθεν ἰσόμετροι ῥάβδοι δύο Theod. 6, 6 p. 803.

ἀνώμαλος: φεῦ, τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι Eur. 684. ἀνώμαλοι πλάστιγγες ἀστάτου τύχης adesp. 179.

ἀνώπια adesp. 587.

ἀνωφελής: οὐδὲ σώμασιν κτῆσις κακίων οὐδ' ἀνωφελεστέρα Eur. 48, 4.

ἄξενος: ὡς σκαιὸς ἀνὴρ καὶ ξένοισιν ἄξενος Eur. 736.

ἄξεστος: ἀξέστους Soph. 298.

ἀξία: νέμουσ' ἡμῶν ἑκάστῳ τὴν κατ' ἀξίαν τύχη [μερίδα] adesp. 505, 2.

ἄξιος: ἄξιος δ' ἐμὸς γαμβρὸς κέκλησαι παιδά μοι ξυνοικίσας Eur. 647. τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον Eur. 275, 3. οὐ γὰρ ἄξιον λεύσσειν φάος κακοὺς ὁρῶντας ἐκδίκως τιμωμένους Eur. 293, 2. κακῶς ὀλοίατ'· ἄξιον γὰρ Ἑλλάδι Eur. 720. ἀνδρὸς (?) οὐκ ἄξιον δειλὸν κεκλῆσθαι Eur. 829. φθόνου μὲν μῦθον ἄξιον φράσω Eur. 387. πολλοῦ σε θνητοῖς ἄξιον τίκτει πατήρ adesp. 410. οἷς οὔτε δαίμων οὔτε τις θεῶν νέμων πλούτου ποτ' ἂν νείμειεν ἀξίαν χάριν Soph. 511, 3. ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεών ἐσθλήν, θύρασι δ' ἀξίαν τοῦ μηδενός Eur. 521, 2. καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν Eur. 949. εἶδος ἄξιον (al. ἀξίους) τυραννίδος Eur. 15, 2. δῶρον ἄξιον δραμήματος Ion. 1 p. 732. κακοὺς δ' ἀποπτύωμεν, ὥσπερ ἄξιοι Eur. 414, 2. ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως Eur. 246, 2.

ἀξιῶ: οὐκ ἀξιῶ μικρῶν σε, μεγά-

λα δ' οὐκ ἔχω adesp. 31. θεοῦ βίον ζῆν ἀξιοῖς ἄνθρωπος ὤν Eur. 1075, 2. εἰ δ' ἀξιοῖς σοι μηδὲν ἀλγεινόν ποτε μηδὲν ἔσεσθαι, μακαρίως ἔχεις φρενῶν Dionys. 2 p. 793. γέγονεν ἐκεῖνος εἰς ἔμ' οἷον ἠξίουν Eur. 953, 17. καὶ βουθυτεῖν γὰρ ἠξίους ἐμὴν χάριν Eur. 268. καὶ μὴν ἀνοῖξαι μὲν σιροὺς οὐκ ἠξίου (al. ἠξίουν) Eur. 827. οὐκ ἠξίουν ⟨δούλους φονεύειν Eur. 495, 37. οὐ πώποτ' ἠξίωσα χρήσασθαι τρόποις Agath. 18 p. 767. οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον, ἄλλην νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν adesp. 297, 2. τίς ἂν προσειπεῖν ἀξιώσειεν λάτριν Theod. 3, 2 p. 802.

ἀξίωμα: τἀξίωμα γὰρ νοσοῦν τὸ πρόσθε πολλοῖς οἶκτον ἐμποεῖ βροτῶν Mosch. 9, 10 p. 816. τὴν εὐγένειαν - τιμῶσι πολλοὶ προσλαβεῖν - τό τ' ἀξίωμα μᾶλλον ἢ τὰ χρήματα Eur. 405, 3. τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο ὅσην ἔχει φρόνησιν ἀξίωμά τε Eur. 739, 2.

ἀξίως: ἀλλ' ἀξίως ἔλεξας Soph. 101. γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι Apollon. 2 p. 825. τὸν παῖδά μοι τόνδ' ἀξίως Ἡρακλέους ἡμῶν τε θρέψαι adesp. 399.

ἀξίωσις: πλείστη γὰρ ἀρετὴ - τὴν ἀξίωσιν τῶν καλῶν τὸ σῶμ' ἔχειν Eur. 15, 4.

ἀξύμβλητος: ἄπλατον ἀξύμβλητον ἐξεθρεψάμην Soph. 355.

ἀξυνεσία: πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν ἡ τ' ἀξυνεσία Eur. 257, 2.

ἀοζῶ: ἀοζήσω Aesch. 54.

ἀοιδή: ἴτω τελεία γάμων ἀοιδά Eur. 773, 58. καλλιχόρους ἀοιδὰς φιλοστεφάνους τε κώμους Eur. 453, 7.

ἀοιδός: κερκίδος ἀοιδοῦ μελέτας Eur. 523. — Λυδαὶ ψάλτριαι, παλαιθέτων ὕμνων ἀοιδοί Ion. 22, 2 p. 736. ἀεὶ δ' ἀοιδῶν μοῦνος ἐν στέγαις ἐμαῖς κωκυτὸς ἐμπέπτωκεν adesp. 387.

ἄοικος: ἄπολις ἄοικος, πατρίδος ἐστερημένος adesp. 284.

ἄορνος: ἔστιν δ' ὅπου μὲν ὁ κάλαμος πέφυχ' ὅδε φέτωμ' (?) ἄορνον Pyth. 1, 2 p. 810.

ἀπάγω: ἀπάγου Eur. 1097.

ἀπαείρω: ἐκτόπιοί τε δόμων ἀπαείρετε Eur. 773, 68. — cf. ἀπαίρω.

ἀπαίδευτος: πόλλ' ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά adesp. 523. ἀπαιδεύτων βροτῶν Soph. 1019, 11.

ἀπαιόλη: τέθνηκεν αἰσχρὸς χρημάτων ἀπαιόλῃ Aesch. 186.

ἀπαιόλημα Soph. 915.

ἀπαίρω: ἀπαίρειν Aesch. 414. τράπεζά γ' ἐκποδὼν ἀπαίρεται Ach. 17, 5 p. 750. — cf. ἀπαείρω.

ἄπαις: ἄπαις τε κἀγύναιξ κἀνέστιος Soph. 4. ὁρᾶτε τὸν τύραννον ὡς ἄπαις γέρων φεύγει Eur. 76. ἄπαιδα καρποῦσθαι βίον Eur. 571, 3. οὐδὲν οὕτω λαμπρὸν οὐδ' ἰδεῖν καλὸν ὡς τοῖς ἄπαισι καὶ πόθῳ δεδηγμένοις παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν θάλος Eur. 316, 6.

ἀπαίων: ἀκτὰς ἀπαίωνάς τε καὶ μελαμβαθεῖς λιποῦσα λίμνης Soph. 480.

ἀπαιώνιστον Eur. 77.

ἀπαλέξασθαι Soph. 282.

ἀπαλλαγή: ὃ δ' ἐσφάδαζεν οὐκ ἔχων ἀπαλλαγάς Eur. 1020.

ἀπαλλάσσω: ὅστις τε μύθοις ἔργ' ἀπαλλάσσει κακὰ μάχας τ' ἀφαιρῶν καὶ στάσεις Eur. 282, 26. βλέπουσά τ' εἰς πᾶν - τὴν ὄψιν ἐμπλήσασ' ἀπήλλακται κακῶν Eur. 1063, 7.

ἀπάνθρωπος Soph. 916.

ἀπανταχῇ: τὸ δοῦλον ὡς ἀπανταχῇ γένος πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός Eur. 218.

ἀπανταχοῦ: τοῖσι γενναίοισιν ὡς ἀπανταχοῦ πρέπει χαρακτὴρ χρηστὸς εἰς εὐψυχίαν Eur. 329. τὸ νικᾶν τἄνδιχ' ὡς καλὸν γέρας, τὰ μὴ δίκαια δ' ὡς ἀπανταχοῦ κακόν Eur. 1034, 2.

ἀπαντῶ: πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον Eur. 687, 4.

ἅπαξ: ἅπαντα τἀγένητα πρῶτον ἦλθ' ἅπαξ Soph. 776. ἐπεὶ δ' ἅπαξ δέδωκας Eur. 953, 36.

ἀπαραίτητος: μόνη ἐστὶν ἀπαραίτητος ἀνθρώποις Δίκη adesp. 495.

ἀπαρθένευτος Soph. 283.

ἀπαρκῶ: Δήμητρος ἀκτῆς πώματός θ' ὑδρηχόου - ὧν οὐκ ἀπαρκεῖ πλησμονή Eur. 892, 4.

ἀπαρτί Aesch. 4.

ἀπαρχή: ὀστῶν ἀσάρκων καὶ χολῆς πυρουμένης - χαίρειν *ἀπαρχαῖς adesp. 118, 5. Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν θύων ἀπαρχάς Eur. 516, 2. ὁπλάς τ' ἀπαρχὰς ἀκροθινιάζομαι Dionys. 1, 3 p. 793. θυσίας γὰρ ἀπαρχὰς κρέας ἐπέμπομεν πατρί adesp. 458, 2.

ἅπας: φροῦδος μὲν ἔσται κυμάτων ἅπας βυθός Soph. 1027, 6. εἰ πένης ἅπας λαὸς πολιτεύοιτο πλουσίων ἄτερ Eur. 21. ἅπας μὲν ἀὴρ αἰετῷ περάσιμος Eur. 1047. ἅπας δὲ χεῖρα καὶ προσήγορον φάτιν ὥρεξε Mosch. 9, 8 p. 816. ἅπας μοι πύργος Ἑλλήνων πατρίς adesp. 392, 2. ἅπασα Πελοπόννησος εὐτυχεῖ πόλις Eur. 730. ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς Eur. 1047, 2. ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν Soph. 84, 2. φεῦ, τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν Eur. 961. ἅπαν τὸ λίαν συνετὸν ἐστ' ἐπίφθονον adesp. 531. τὸ νέον ἅπαν ὑψηλόν ἐστι καὶ θρασύ adesp. 538. πόλεως δ' ἁπάσης τοὔνομ' ἕν, πολλοὶ δέ νιν ναίουσι Eur. 360, 16. οὐνὸς οἶκος οὐ πλέον σθένει πταίσας ἁπάσης πόλεος Eur. 360, 21. ὁ χρόνος ἁπάσης ἐστὶν ὀργῆς φάρμακον Crit. 2 p. 774. κρυφθεὶς δ' ὑπὸ γῆς κεῖται τεθνεὼς τὸν ἅπαντα χρόνον Soph. 518, 3. ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ Eur. 712. τὸ δ' ἄκαιρον ἅπαν ὑπερβάλλον τε μὴ προσείμαν Eur. 893, 3. (cf. αὐτῶν.) ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί Eur. 1042. ἅπαντα τἀγένητα πρῶτον ἦλθ' ἅπαξ Soph. 776. κακὸν δούλων γένος· γαστὴρ ἅπαντα, τοὐπίσω δ' οὐδὲν σκοπεῖ Eur. 49, 2. οὐκ οὖν ἅπαντα τοὐπ' ἐμοὶ σωθήσεται Eur. 360, 41. κακοῖσι δὲ ἅπαντα φροῦδα συνθανόνθ' ὑπὸ χθονός Eur. 734, 3. ἅπαντ' ἐν ἀνθρώποισι γηράσκειν ἔφυ Theod. 12 p. 805. ἅπαντα τοῖς καλοῖσιν ἀνδράσιν πρέπει adesp. 133. ἅπαντ' ἐς Ἅιδην ἦλθε καὶ Λήθης δόμους adesp. 372, 4. ἅπαντα θάλλει καὶ πάλιν μαραίνεται adesp. 574. ἅπαντα τοῖς σοφοῖσιν εὔκολα adesp. 577. δῆμον ἐνδικώτατον ‹βροτῶν› ἁπάντων Aesch. 196, 2. θεὸν - μέγαν καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον Eur. 269, 2. μορφῇ καὶ

μεγέθει μείζων πάλιν ἐστὶν ἁπάντων Theod. 18, 5 p. 807. κεῖνος δ' ἁπάντων ἐστὶ μακαριώτατος Mosch. 10 p. 816. ὁμοίαν χδὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν Eur. 52, 5. καὶ γὰρ ἐν κοινῷ ψέγειν ἅπασι κεῖσθαι δυστυχές Eur. 635, 3. ὅθεν ἅπασιν ἤρξατο τρέφειν ὅδ' αἰθὴρ ἐνδιδοὺς θνητοῖς πνοάς adesp. 112, 3. ἅπαντα τἀπίγεια καὶ μετάρσια Soph. 1027, 4. οὔτις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ Eur. 45. ὁ χρόνος ἅπαντα τοῖσιν ὕστερον φράσει Eur. 112. ἅπαντα τίκτει χθὼν πάλιν τε λαμβάνει Eur. 195. ἅπαντα ταῦτα Eur. 781, 54. ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη Chaer. 19 p. 788. ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα Crat. 4, 2 p. 810. μόνη διοικεῖ γοῦν ἅπανθ' ἡ βούλεται adesp. 506, 3. ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος adesp. 526.

ἁπάσσω: ἁπῇξε πέμφιξ ἡλίου σελασφόρου Soph. 313.

ἀπάτη: ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός Aesch. 301. ἡδὺ κἀπάται (?) φίλων Eur. 822, 4. μετεωρολόγων δ' ἑκὰς ἔρριψεν σκολιὰς ἀπάτας Eur. 913, 3.

ἀπειθής Soph. 47.

ἀπεικάζω: ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι Soph. 153, 2.

ἀπειλῶ: τί δῆτα θνητοὶ πόλλ' ἀπειλοῦμεν μάτην Patrocl. 1, 3 p. 830.

ἄπειμι (εἰμί): δειλοὶ γὰρ ἄνδρες - ἄπεισι κἂν παρῶσ' ὅμως Eur. 519, 2. ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς adesp. 517. κακῶν ἀπέστω θάνατος Ion. 2 p. 732.

ἄπειμι (εἶμι) v. ἀπέρχομαι.

ἀπείργω: ὁ φόβος - τὸν νοῦν τ' ἀπείργει μὴ λέγειν ἃ βούλεται Eur. 67, 4. καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει Ζεύς Eur. 431, 4. πάλαι δή σ' ἐξερωτῆσαι θέλων, σχολή μ' ἀπεῖργε Eur. 579, 2. ἐπειδὴ τἀμρανῆ μὲν οἱ νόμοι *ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ Crit. 1, 10 p. 771.

ἀπειρία: σκαιόν τι χρῆμα πλοῦτος ἥ τ' ἀπειρία Eur. 96. ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ Eur. 619, 3. τοῦ θανεῖν δ' ἀπειρίᾳ πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου Eur. 816, 10.

ἄπειρος: χιτών σ' ἄπειρος ἐνδυτήριος κακῶν Soph. 483. ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα Eur. 941. ἤπειρον εἰς ἄπειρον ἐκβάλλων πόδα Eur. 1010.

ἄπειρος: καλῶν ἄπειρος ὢν οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν Eur. 269, 3. εὐχέσθω δ' ὅμως ἄπειρος εἶναι τῆς νόσου ταύτης ἀεί Eur. 1070, 4. μηδεὶς ἄπειρος τῶν ἐμῶν εἴη φίλων ἔρωτος Zopyr. 1 p. 832. οὗτοι μ' ἄπειρον τῆσδε τῆς προσῳδίας Aesch. 299. τὰς ἐμὰς εὐπαιδίας νόσων τ' ἀπείρους καὶ μακραίωνας βίου Aesch. 350, 2.

ἀπείρων: κύκλῳ περίστητ' ἐν λόχῳ τ' ἀπείρονι εὔξασθε Aesch. 379, 2. ἔνθ' αἳ μὲν αὐτῶν εἰς ἀπείρονα στρατὸν ἀνθέων ἄλογχον ἐστράτευσαν Chaer. 10 p. 784. μόνος ἀθανάτων γαμβρὸς δι' ἀπείρονα γαῖαν θνατὸς ὑμνήσῃ Eur. 781, 30.

ἀπείρων: ἀπείρονας Soph. 244.

† ἀπέλλητοι Aesch. 415.

ἀπεργάζομαι: τά τοι μέγιστα

πάντ' *ἀπείργασται βροτοῖς τόλμ' ὥστε νικᾶν Eur. 426.

ἀπέρρω: *ἄπερρε· μή μοι στέφανον ἀμφιθῇς κάρᾳ adesp. 108.

ἀπέρχομαι: πρὸς μάντιν οὐδεὶς εὐτυχὴς ἀπέρχεται adesp. 439. ἐγὼ δέ, μισεῖ γάρ μ', *ἄπειμ' ἐξ ὀμμάτων Phryn. 21 p. 725. φίλων δ' ὅ τ' ἐλθὼν λυπρὸς ὅ τ' ἀπιὼν βαρύς Ion. 56 p. 743. ὅθεν λαβόντες οἱ κακῶς πεπραγότες σωτηρίαν ἀπῆλθον ἐκ δυσπραξίας adesp. 481, 4. ἄπελθ' ἐκείνης ὕπνον ἰατρὸν νόσου Soph. 198. ἄπελθ' ἄπελθε, παῖ· τάδ' οὐκ ἀκουστά ⟨σοι⟩ Soph. 330. ἄπελθε λαΐνων σταθμῶν adesp. 44. παῖδες ἐκτὸς ὀμμάτων ἀπέλθετε Neophr. 2, 11 p. 731. ἐμοὶ μὲν ὥρισεν πατὴρ ἀκτὰς ἀπελθεῖν τῆσδε γῆς Soph. 872, 2.

ἀπέσκη Soph. 569.

ἀπευθύνω: ὡς ναοφύλακες νυκτέρου ναυκληρίας πλήκτροις ἀπευθύνουσιν οὐρίαν τρόπιν Soph. 143, 2.

ἀπέχω: γάμων ἀπείχεθ'· ὅμως δέ γε τίκτει λαθών Eur. 1132, 18. οὐκ ἀφέξεται τὰ τῶν ἐχόντων χρήμαθ' ἁρπάζειν βίᾳ Eur. 389, 2.

ἀπήνη: οἳ δ' ἐπείγοντο πλωταῖς ἀπήναισι χαλκεμβόλοις adesp. 142.

ἀπιστία: πόλλ' ἀπιστία δέδρακεν ἀγαθὰ ⟨καὶ⟩ πίστις κακά adesp. 113. πρόσεστιν ἀεὶ τῷ πένητ' ἀπιστία adesp. 119.

ἄπιστος: ὡς ἄπιστόν ἐστ' ἔρως κἀν τῷ κακίστῳ τῶν φρενῶν οἰκεῖν φιλεῖ Eur. 1054, 2. πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστα Θεσσαλῶν Eur. 422. νομίζειν χρή σε καὶ τοὐναντίον, ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς Eur. 396, 3. ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα, τὰ δ' ὄντα πίστ' ἄπιστα Eur. 887. — ἄπιστος Soph. 570.

ἀπιστῶ: ἐχθροῖς ἀπιστῶν οὔποτ' ἂν πάθοις βλάβην adesp. 310. — ἀπιστεῖ Soph. 29.

ἄπιχθυς: τοὐνθένδ' ἀπίχθυς βαρβάρους οἰκεῖν δοκῶ Eur. 366.

ἄπλατος: ποτὲ μὲν ὡς πῦρ φαίνεται ἄπλατος ὁρμῇ, ποτὲ δ' ὕδωρ Aesch. 464, 4. ἄπλατον ἀξύμβλητον ἐξεθρεψάμην Soph. 355.

ἀπληγίς: τρύχει καλυφθεὶς Θεσσαλικῆς ἀπληγίδος Soph. 709.

ἄπληστος: τὸ νήπιον ἄπληστον ἔχων Eur. 754, 3.

ἁπλοῦς: ἁπλοῦς ὁ μῦθος, μὴ λέγ' εὖ Eur. 253. προστάτης θ' ἁπλοῦς πόλει σφαλερός, ὑπὼν δὲ κἄλλος οὐ κακὸν πέλει Eur. 774, 2. ἁπλῆ γὰρ οἶμος εἰς Ἅιδου φέρει Aesch. 239. ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη Aesch. 176.

ἄπλουτος: γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ Soph. 751.

ἁπλῶς: μόνην δ' ἔστερξε τὴν ἁπλῶς δίκην Soph. 703, 3.

ἀπό: εὐοδίαν μὲν πρῶτον ἀπὸ στόματος χέομεν Aesch. 36. ὄμβρος δ' ἀπ' εὐνατῆρος οὐρανοῦ πεσὼν ἔδευσε γαῖαν Aesch. 44, 3. ὀρθόκερως βοῦς ἦλασ' ἀπ' ἐσχάτων γαίας Aesch. 74, 2. ἀεὶ δὲ μίσει τῶνδ' ἄπ' (?) ἄλλον εἰς τόπον δρυμοὺς ἐρήμους καὶ πάγους ἀποικιεῖ Aesch. 304, 9. νομὰς δέ τις κεροῦσσ' ἀπ' ὀρθίων πάγων καθεῖρπεν ἔλαφος Soph. 86. ὀμμάτων ἄπο λόγχας ἴησιν Soph. 161. ῥεῖ γὰρ ἀπ' ἄκρας Ἰνδου Λάκμου τ'

ἀπὸ Περραιβῶν εἰς Ἀμφιλόχους Soph. 249. χαλκοσκελεῖς γὰρ . . ἐκπνέουσι πλευμόνων ἄπο Soph. 312, 2. ἀπ' αἰθέρος δὲ κἀπὸ λυγαίου νέφους Soph. 482. οὐρανοῦ δ' ἄπο ἤστραψε Soph. 520. ὠθούμεθ' ἔξω καὶ διεμπολώμεθα θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο Soph. 524, 8. πώλου - ἥτις - θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο Soph. 598, 4. ἥκω δ' ἀτενὴς ἀπ' οἴκων Eur. 65. ὀμμάτων δ' ἄπο αἱμοσταγῆ πρηστῆρε ῥεύσονται κάτω Eur. 384, 2. ὅστις ὢν εὔνους ἐμοὶ φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ Eur. 412, 3. τὰν δ' ἐχθρὰν στάσιν εἶργ' ἀπ' οἴκων Eur. 453, 10. πεσοῦσ' ἀπ' ἰσθμίου Eur. 656. τοὺς μὲν ἀπ' οἴκων † δ' ἐναπίπτοντας Eur. 901, 4. πετρῶν ῥίπτειν ἄπο Eur. 1070, 2. ἀπὸ θηλαμόνων θλίψας κνακῶν Thesp. 4, 2 p. 833. νῦν δ' ἔρρ' ἀπ' οἴκων τῶνδε adesp. 307. ὡς αἰσχρόν ἐστι μὴ καλῶν ἀπ' ὀμμάτων κλαῖον πρόσωπον καὶ δακρυρροοῦν ὁρᾶν adesp. 447. — δύο γὰρ οὖν μορφὰς φανεῖ - νηδύος μιᾶς ἄπο Aesch. 304, 6. δυσσεβεῖς κακῶν ‹τ'› ἄπο βλαστόντας Soph. 103. πέλεται οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς οὔτ' ἀχρείων τὸ λίαν κακός Soph. 606, 2. ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα Eur. 75, 2. ἐσθλῶν ἀπ' ἀλόχων εὐγενῆ σπείρειν τέκνα Eur. 215, 2. ὅταν δέ τις λειτῶν ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνήρ Eur. 327, 3. ὅστις δ' ἀπ' ἄλλης πόλεος οἰκήσῃ πόλιν Eur. 360, 11. ὡς δ' ἥ‹κει μάχη› σιγή τ' ἀφ' ἡμῶν Eur. 495, 14. ἐσθλοῖν δ' ἀπ' ἀμφοῖν ἐσθλὸν ἂν φῦναι γόνον Eur. 520, 3. τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο Eur. 739. τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς εἰς οὐράνιον πάλιν ἦλθε πόλον Eur. 839, 10. νικᾷ δὲ χρεία μ' ἡ κακῶς τ' ὀλουμένη γαστήρ, ἀφ' ἧς δὴ πάντα γίγνεται κακά Eur. 915, 2. οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον ῥᾷον κατασχεῖν οὔτ' ἀπὸ γλώσσης λόγον Eur. 1044, 2. θείων δ' ἀπ' ἀμφοῖν ἔκγονον ῥιζωμάτων τίς ἂν προσειπεῖν ἀξιώσειεν λάτριν Theod. 3 p. 802. ἡ γὰρ τύχη - τοὺς ἀφ' ὕψους εἰς ζόφον κατήγαγεν adesp. 102, 4. Αἴσωνος υἱὸς Κρηθέως ἀφ' αἵματος adesp. 103. — ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται Aesch. 402. τὸ κέρδος ἡδύ, κἂν ἀπὸ ψευδῶν ἴῃ Soph. 749. οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά Soph. 755. κακῆς ‹ἀπ'› ἀρχῆς γίγνεται τέλος κακόν Eur. 32. Κίλιξ, ἀφ' οὗ καὶ Κιλικία κικλήσκεται Eur. 819, 7. — Ἑστίας θ' ἕδος, ἀφ' ἧς γε σώφρων πᾶς ἂν ἄρχεσθαι θέλοι εὐχὰς πο‹εῖσθαι› Eur. 781, 36. ἀπὸ τῶν θεῶν ἀρχὴν δὲ ποιεῖσθαι πρέπον Theod. 7 p. 804. — παῖς ὢν φυλάσσου πραγμάτων αἰσχρῶν ἄπο (?) Eur. 1027. οὐδὲ ἀπο (?) αὐτὸν οὐ γὰρ ἐγγύθεν Aesch. 358.

ἀποβάθρα Soph. 382.

ἀποβαίνω: κώπης ἀνάσσων κἀποβὰς εἰς Μυσίαν ἐτραυματίσθην Eur. 705.

ἀποβάλλω: ἰσαμέριος ‹φύλλοισιν› αἰγείρου βιοτὰν ἀποβάλλει Soph. 535, 3. ἣν οὗτος αὖθις ἀποβάλῃ τὴν οὐσίαν Eur. 953, 30.

ἀποβλέπω: οὐ χρή ποτ' ἀνθρώπων μέγαν ὄλβον ἀποβλέψαι Soph. 535.

ἀποδείκνυμι: μορφὴν ἑτέραν ἀπέ-

δειξεν Eur. 839, 14. ἔστι καὶ πταίσαντ' ἀρετὰν ἀποδείξασθαι θανάτῳ Eur. 11, 2. οὐ γάρ τι νόθος τῷδ' ἀπεδείχθην Soph. 688.

ἀποδηλῶ: πεποικίλωκε κἀποδηλώσας ἔχει θρασὺν πετραῖον ὄρνιν Aesch. 304, 2.

ἀποδημῶ: ἀπαιδεύτων βροτῶν δοκῶμεν εἶναι κἀποδημοῦντος πατρός Soph. 1019, 12.

ἀποδίδωμι: γένοιτό μοι τὰς χάριτας ἀποδοῦναι πατρί Chaer. 33 p. 790.

ἀπόδρομον Soph. 70.

ἀπόθεος: ἀπόθεα Soph. 245.

ἀποθνήσκω: παισίν τ' ἀποθνήσκοντα χρημάτων μέτρον γράψαντας εἰπεῖν Eur. 578, 6.

ἀποικία: οἳ τῆσδ' ἐρῶσι τῆς ἀποικίας Φρυγῶν Soph. 344, 6.

ἀποικίζω: δρυμοὺς ἐρήμους καὶ πάγους ἀποικιεῖ (ἀποικίσει ll.) Aesch. 304, 10. χρεία δ' ἀνάγκης οὐκ ἀπῴκισται πολύ Chaer. 18 p. 788. δοκεῖς - τὴν Δίκην που μάκρ' ἀπῳκίσθαι βροτῶν Eur. 255, 2.

ἀποικῶ: μακρὰν ἀποικῶν κεῖθεν Pyth. 1, 9 p. 811.

ἀποιμώζω: Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον Aesch. 138.

ἀποκλαίω: τῷ δὲ δυστυχοῦντί πως τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν Eur. 563, 2.

ἀποκορσῶ: ἀποκορσωσαμέναις Aesch. 248.

ἀπόκρισις: ἡ γὰρ σιωπὴ τοῖς σοφοῖσιν ἀπόκρισις Eur. 977.

ἀποκρύπτω: τὸ δ' ἀπέκρυψεν θεὸς ἐκ κείνων τῶν ποτε λαμπρῶν Eur. 153. μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία πάρεστιν αὐτῷ κἀποκρύπτεσθαι κακά Soph. 85, 12. τὰς συμφορὰς ζητοῦσ' ἀμαυροῦν *κἀποκρύπτεσθαι κακά Eur. 416, 2.

ἀποκτείνω: ἀποκτείνοντες οὓς ἥκιστα χρῆν› φωρᾶσθε Eur. 495, 16.

ἀπολείπω: εἴης μοι, μέτριος δέ πως εἴης μηδ' ἀπολείποις Eur. 967, 2. τέλος ἀθανάτων ἀπολείψει Aesch. 151, 2. ἀπέλιπεν (?) Aesch. 17, 3.

ἄπολις: ἄπολις (al. πλάνης) ἄοικος, πατρίδος ἐστερημένος adesp. 284.

θᾶσσον ἐκλείπει δέμας Eur. 24, 3. ποῖος δ' ἂν οἶκος - δέμας τὸ θεῖον περιβάλοι τοίχων πτυχαῖς Eur. 1130, 2. πατὴρ δέ μιν κλήσας ἐν παρθενῶσι σφραγῖσι δέμας φυλάσσει Eur. 1132, 59. στρόβιλος ἀμφ' ἄκανθαν εἰλίξας δέμας Ion. 38, 4 p. 739. μύρῳ σε χρίσω πάμπαν εὐόσμῳ δέμας Ach. 17, 3 p. 750. (cf. σέλας.)

δέμω: ἐν παρθενῶσι δ' εὐθὺς οἷς ἐδείματο δίδωσιν Ἀργείαισιν ἔμφρουρον κόραις Eur. 1132, 22.

δενδίλλειν Soph. 937.

δένδρον: ἐπὶ γὰρ Ὀρφείαις μὲν ᾠδαῖς εἴπετο δένδρεα adesp. 129, 7. δένδρων ὁπώρα δ' ἐκ νοτίζοντος γάνους τέλειός ἐστι Aesch. 44, 6. μέλπει δ' ἐν δένδρεσι λεπτὰν ἀηδὼν ἁρμονίαν Eur. 773, 23. τίκτουσι πάντα κἀνέδωκαν εἰς φάος, δένδρη, πετεινά, θῆρας Eur. 484, 5. ψυκτήρια δένδρεα φίλαισιν ὠλέναισι λέξεται Eur. 782, 2.

δεξιός: σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον Eur. 531. εὔδει πιέζων χειρὶ δεξιᾷ ξύλον adesp. 416, 2. τὰ δ' ἐξόπισθε χειρὸς εἰς τὰ δεξιὰ Οἰνωτρία - σε δέξεται Soph. 541.

δεξιοῦμαι: ἐδεξιοῦτο Βιβλίνου μέθης ἐκπώματι Ach. 41 p. 756.

δεξίωμα: ὦ χρυσέ, δεξίωμα (al. δεξίαμα) κάλλιστον βροτοῖς Eur. 324.

δέπας: ἔνθ' ἐπὶ δυσμαῖς ἴσου πατρὸς Ἡφαιστοτυκὲς δέπας Aesch. 69, 3. ὠκεανὸν περάσας ἐν *δέπᾳ χρυσηλάτῳ Aesch. 74, 3.

δέρη: βροχωτὸν ἀγχόνην ἐπισπάσας δέρῃ Neophr. 3, 2 p. 731. cf. δειρή.

δέρκομαι: μύω τε καὶ δέδορκα κἀξανίσταμαι Soph. 706. πᾶσα γὰρ Τροία δέδορκεν Ἕκτορος τύχης διαί Aesch. 296. τὸ χρύσεον δὲ τᾶς Δίκας δέδορκεν ὄμμα Soph. 11. οἳ ταῦτα δερχθέντες τέλη μόλωσ' ἐς Ἅιδου Soph. 753, 2.

δέρμα: ἐκ τοῦδ' ἄκανθα ποντίου βοσκήματος σήψει παλαιὸν δέρμα καὶ τριχορρυές Aesch. 275, 4.

δερμηστής Soph. 411.

δέρος: καταστίκτου κυνὸς σπολὰς Λίβυσσα παρδαληφόρον δέρος Soph. 10, 2.

δέσμιος: τοιγὰρ † ἰώδη φυλάξαι χοῖρος ὥστε δεσμίων Soph. 210.

δεσμός: φιλίας μέγιστος δεσμὸς αἱ τέκνων γοναί adesp. 321. ἥκομεν..τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ, δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι Aesch. 190, 3. ὅταν τις ὅρκῳ θάνατον ἐκφυγεῖν θέλῃ ἢ δεσμὸν ἢ βίαια πολεμίων κακά Eur. 645, 3. ἀρχαῖον στέφος, δεσμῶν ἄριστος ἐκ Προμηθέως λόγου Aesch. 235, 2. λῦσόν με δεσμῶν Eur. 128, 2. ὅσοι τε δεσμοῖς ἐκμεμόχθηνται βροτῶν Eur. 332, 5. ἐν δεσμοῖσι δραπέτης ἀνὴρ κῶλον ποδισθεὶς πᾶν πρὸς ἡδονὴν λέγει Soph. 60. (cf. δεινός.)

δέσμωμα: τετράπτεροι γὰρ νῶτον ἐν δεσμώμασιν σφηκοὶ κελαινόριτες Soph. 26.

δεσπόζω: μόνη γὰρ ἐν θεοῖσιν οὐ δεσπόζεται μοῖρ' οὐδ' ἐν ἀνθρώποισιν adesp. 503.

δέσποινα: δέσποινα πεντήκοντα Νηρήδων κορᾶν Aesch. 174. δέσποινα νύμφη, δυσχίμων ὀρῶν ἄναξ Aesch. 342. δέσποιν' Ἑκάτη Aesch. 388. σὺ δ' ὡς πάρος δέσποινα Δήμητρος κόρη Ἥφαιστέ τ' ἔστε πρευμενεῖς δό-

μοις ἐμοῖς Eur. 781, 59. δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή Eur. 804, 3.

δεσπόσυνος: κόσμον δ' ὑμεναίων δεσποσύνων ἐμὲ καὶ τὸ δίκαιον ἄγειν - ὑμνεῖν Eur. 773, 44.

δεσπότειρα Soph. 938.

δεσπότης: τὸν ἀνδρόπαιδα δεσπότης ἀπώλεσα Soph. 562. Ἥλιε δέσποτα Soph. 492. Φλεγύαντος υἱέ, δέσποτ' Ἰξίων Eur. 424. δέσποτα φιλόδαφνε Βάκχε Eur. 477. ὦ δέσποτ', ἔστρεψ' ἐκ δόμων ταχὺν πόδα Eur. 781, 43. ὦ δέσποτ', οὐδεὶς οἶδεν - οὔτ' εὐτυχοῦς ἀριθμὸν οὔτε δυστυχοῦς Eur. 843. ὦ δέσποτ' ἄναξ ἔστι τοῖς σοφοῖς βροτῶν χρόνῳ σκοπεῖσθαι τῆς ἀληθείας πέρι adesp. 507. ὅταν ἐπιβλέψῃ γοργὸν ὄμμα δεσπότου Aesch. 464, 11. ἠκούσατ' ἀρχὰς δεσπότου στεναγμάτων Eur. 781, 76. βοτῆράς τ' ἀδίκους κατέκτα *δεσπότην τε τρίπτυχον Aesch. 74, 4. κύνες διημάθυνον ἄνδρα δεσπότην Aesch. 244. σὲ τῶν πάντων δεσπότην λέγω Philocl. 1 p. 759. δεσπότην κεκαρμένοι adesp. 206. οὐ γάρ με Νὺξ ἔτικτε δεσπότην λύρας adesp. 405. τούτοις γὰρ ὄντες δεσπόται δου λεύομεν Soph. 464. δειλῶν γυναῖκες δεσποτῶν θρασύστομοι Eur. 3. δούλων ὅσοι φιλοῦσι δεσποτῶν γένος Eur. 50. δούλους γὰρ οὐ καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν Eur. 51, 2. μέτεστι τοῖς δούλοισι δεσποτῶν νόσου Eur. 85. χρὴ τὸν διάκονον - στέγειν τὰ δεσποτῶν Eur. 375, 2. δοῦλε, δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικα adesp. 436. ὑμέναιον ἀεῖσαι φίλον φίλων δεσποτᾶν Eur. 773, 55. κἀφ' ὅτῳ τεταγμένος εἴη τις, ἀνδάνοντα δεσπόταις ποεῖν Eur. 93, 3. οὐχ οἷόν τε τἀληθῆ λέγειν, εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι Eur. 313, 2. ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λαβεῖν καὶ δεσπόταισι δοῦλον εὐμενῆ δόμοις Eur. 529, 1. 2. εὐχαῖς δὲ σῴζοις δεσπότας παιωνίαις Aesch. 144, 2. οὐδεὶς δ' ἐς οἴκους δεσπότας ἀμείνονας αὐτοῦ πρίασθαι βούλεται Eur. 689. δεινή τις - συμφορὰ δούλοις γενέσθαι δεσπότας τε δυσχερεῖς λαβεῖν adesp. 376, 2.

δεσπότις: τίς δεσπότιν ἐμὴν Δανάην βάξις ἔχει κατὰ πτόλιν Eur. 1132, 53.

δεῦρο: ἥκω δὲ δεῦρο πρὸς βίαν Εὐρυσθέως Eur. 591, 5. νῦν δ' ἐκλιπὼν ἦθή τε καὶ νομὸν βίου δεῦρ' ἕπτατο Eur. 636, 8. ἀλλ' ὡς τάχιστα μέλανα δεῦρ' ἀμνὸν φέρειν - χρή Ach. 14 p. 749. ἡ δεῦρ' ὁδός σοι τί δύναται, θεοπρόπε adesp. 106. εἷς μὲν λόγος μοι δεῦρ' ἀεὶ περαίνεται Eur. 363. οὗτος μὲν οὖν μοι δεῦρ' ἀεὶ τείνει λόγος adesp. 183.

δευσοποιός: τοῖς δευσοποιοῖς φαρμάκοις ξανθίζεται adesp. 441.

δεῦτε: δεῦτ' ὦ τέκν', ὦ στερχθέντ' ὅσον πλεῖστον θέμις Pomp. 1 p. 831.

δεύτερος: τίς οὐχὶ τῆσδε δεύτερος θεοῦ (τῆσδε τῆς θεοῦ βορός vel τῆς θεοῦ βορός ll.) Soph. 855, 8. τυραννίδ' ἣ θεῶν δευτέρα νομίζεται Eur. 250. τὸ δεύτερον δὲ (γράμμα) πρῶτα μὲν γραμμαὶ δύο Eur. 382, 5. θοίνῃ σε πρῶτον τέρψομεν - ⟨ΗΦ.⟩ τὸ δεύτερον ⟨δὲ⟩ τῷ με κηλήσεις τρόπῳ Ach. 17, 2 p. 750. πέφυκε γάρ πως παισὶ πολέμιον γυνὴ τοῖς πρόσθεν ἡ ζυγεῖσα δευτέρῳ πατρί Eur. 4, 2.

τὴν δευτέραν δὲ κρᾶσιν ἥρωσιν νέμω Aesch. 55, 3. ἔσπεισα βαιᾶς κύλικος ὥστε δεύτερα (?) Soph. 39. κἄστι πρὸς τὰ χρήματα θνητοῖς τἄλλα δεύτερα Soph. 328, 5.

δεύω: ὄμβρος δ' ἀπ' εὐνατῆρος οὐρανοῦ πεσὼν ἔδευσε (ἔκυσε l.) γαῖαν Aesch. 44, 4. καὶ πεπτὰ καὶ κροτητὰ τῆς ξουθοπτέρου πελάνῳ μελίσσης ἀφθόνως δεδευμένα Eur. 467, 5.

δέχομαι: ἡ δὲ - ὀπὸν ἀργινεφῆ στάζοντα τομῆς χαλκέοισι κάδοις δέχεται Soph. 491, 3. μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος adesp. 456. σφύρας δέχεσθαι κἀπιχαλκεύειν μύδρους Aesch. 307. τὰ δ' ἐξόπισθε χειρὸς εἰς τὰ δεξιὰ Οἰνωτρία τε πᾶσα - σε δέξεται Soph. 541, 3. ἐδεξάμην, ἔτικτον, ἐκτρέφω, φιλῶ adesp. 121. χθονίας θ' Ἑκάτης κῶμον ἐδέξω adesp. 375, 2. τὸν μὲν τρίπους ἐδέξατ' οἰκεῖος λέβης Aesch. 1. ἐδέξατο ῥαγεῖσα Θηβαία κόνις Soph. 873. ἔτ' ἔμπνουν Ἅιδης μ' ἐδέξατο Eur. 936. κόλποισι τὸν θεὸν εἰσρέοντ' ἐδέξατο Eur. 1132, 34. καὶ προσκυνῶ γε χώραν τε πᾶσαν Κέκροπος ἥ μ' ἐδέξατο adesp. 62, 3. (cf. ἐνδέχομαι.) τίς δ' ἂν σε νύμφη, τίς δὲ παρθένος νέα δέξαιτ' ἄν adesp. 10, 2. ἃ γ' οὖν παραινῶ, ταῦτά μου δέξαι, γύναι Eur. 757. σὺ δέ μοι θυσίαν ἄπυρον παγκαρπείας δέξαι πλήρη προχυθεῖσαν Eur. 912, 5. δέξαι κυνῆν μοι Astyd. 2 p. 778. τί τούτων οὐχὶ δέξασθαι καλόν Eur. 360, 37. ὡς νεόζυγα πῶλον χαλινὸν ἀρτίως δεδεγμένον Eur. 821, 4.

δέω: ὅπλων ὅπλων δεῖ Aesch. 140. πολλῶν καλῶν δεῖ τῷ καλόν τι μωμένῳ Soph. 852. ἀλλ' ὧν πόλει δεῖ μεγάλα βουλεύοντες εὖ Eur. 16, 3. τί δεῖ καλῆς γυναικός, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι Eur. 212. καὶ δεῖ γὰρ αὐτῆς κἄστιν αὖ κακὸν μέγα Eur. 365, 2. καθῆσθ' ἂν ἐν δόμοισιν; ἢ πολλοῦ γε δεῖ Eur. 709. οὐκ ἂν πίθοιμι γαστέρ', ἀλλὰ δεῖ βίου adesp. 546, 12. ἐπεὶ τί δεῖ βροτοῖσι πλὴν δυοῖν μόνον Eur. 892. σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια Aesch. 208. ἀλλὰ τῷ γήρᾳ φιλεῖ χὠ νοῦς ὁμαρτεῖν καὶ τὸ βουλεύειν ἃ δεῖ Soph. 239, 2. σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλές, ὁρᾶν θ' ἃ δεῖ με κοὐχ ὁρᾶν ἃ μὴ πρέπει Eur. 413, 2. 3. καὶ γὰρ ἁρμόζει φρονεῖν σε μᾶλλον ἢ ἐμὲ καὶ λέγειν ὅπου τι δεῖ Eur. 953, 3. ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα Aesch. 354. τὸ γὰρ γυναιξὶν αἰσχρὸν δεῖ γυναῖκ' ἀεὶ (ἐν γυναικὶ δεῖ vel ἐν γυναικὶ χρὴ vel σὺν γυναικὶ δεῖ ll.) στέγειν Soph. 618, 2. πολλὰ καὶ μαθεῖν σε δεῖ καὶ πόλλ' ἀκοῦσαι καὶ διδάσκεσθαι μακρά Soph. 632. οἴκοι μένειν δεῖ τὸν καλῶς εὐδαίμονα Soph. 848. εἰ δεινὸν ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ (al. ἔδει) Soph. 877. παιδεύματα προσλαμβάνειν δὲ δεῖ καθ' ἡμέραν ἀεί Soph. 1019, 4. ὅμως δ' ἀγῶνα τόνδε δεῖ μ' ὑπεκδραμεῖν Eur. 67, 6. τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γένος φρουροῦντας Eur. 111. δεῖ τοῖσι πολλοῖς τὸν τύραννον ἀνδάνειν Eur. 171. δεῖ γὰρ ἄνδρ' εἰθισμένον ἀκόλαστον ἦθος † γαστρὸς ἐν ταὐτῷ μένειν Eur. 201, 3. τῶν πολλῶν βροτῶν δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς Eur. 208,

3. τί δ' ἢν λυθείς με διαβάλῃς, παθεῖν σε δεῖ Eur. 435. κοὐ δεῖ τύραννα σκῆπτρα καὶ θρόνους λαβεῖν› πρεσβεῖ' ἔχοντας δυσγενεῖς τῶν εὐγενῶν› Eur. 495, 20. δεῖ γάρ με δόξαι πτωχὸν [εἶναι τήμερον] Eur. 698. τί ταῦτα δεῖ στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν Eur. 757, 7. 8. τίνα δεῖ μακάρων ἐκθυσαμένους εὑρεῖν μόχθων ἀνάπαυλαν Eur. 912, 12. ἃ δ' εἰς ἔμ' ἡμάρτηκεν αἰσθέσθαι με δεῖ Eur. 953, 8. τὴν δ' ἐμὴν ἐγὼ τύχην πειράσομ' ὡς δεῖ μὴ μετ' αἰσχύνης φέρειν Eur. 953, 44. τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον Eur. 1061, 3. δεῖ πυνθάνεσθαι γάρ σε νῷν (ἐκπυνθάνεσθαί τ' ἀρσένων Il.) χήμᾶς σέθεν Eur. 1063. (cf. ἀεί.) ἐνιαυσίαν γὰρ δεῖ με τὴν ἑορτὴν ἄγειν Ion. 21 p. 736. πολλὰ δεῖ μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον † εὐκλεῶς Theod. 11 p. 805. νυνὶ δεῖ (?) γ' ὀργήν, ἡνίκ' ἠδικοῦ, λαβεῖν Sosiph. 2, 2 p. 820. παίδων κρατεῖν δεῖ τῶν νεωτέρων σοφούς Hippoth. 4 p. 828. ἄνθρωπον ὄντα δεῖ φρονεῖν ἀνθρώπινα adesp. 308. τί δῆτα θύειν δεῖ σε κατθανούμενον adesp. 350. ἐν τῷ λαλεῖν δεῖ μηδὲ μηκύνειν λόγον adesp. 457. ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς adesp. 517. τοὺς εὖ γεγονότας - κἂν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας adesp. 545, 2. τοῖς καιρίοις γὰρ δεῖ λέγειν τὰ καίρια adesp. 572. ἃ δεῖ γενέσθαι, ταῦτα καὶ γενήσεται adesp. 583. (cf. δίδωμι.) ἔδει γὰρ ἡμᾶς τοῖς θεοῖς θύειν Eur. 1112. πρῶτα γὰρ θῆλυν σποράν φῦσαι δεήσει Eur. 1132, 13. ἐνήλατα ξύλα τρίγομφα διατορεῦσαί σε δεῖται Soph. 293, 2. θεὸς - ὡς λέβης τις μείζονος δεῖται πυρός adesp. 448, 2. τὸ δεῖσθαι τῶν πέλας θνητοῖς μέγα διδασκαλεῖον τῆς ἀναιδείας ἔφυ adesp. 558.

δή: τί τοῦτο δὴ τὸ χρηστόν Eur. 908, 7. τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς τυραννίς, οὐχ εὕροις ἂν ἀθλιώτερον Eur. 605. καὶ πρὸς κακοῖσι τοῦτο δὴ μέγας γέλως Eur. 1063, 15. † ὠνητέραν δὴ τήνδ' ἐγὼ δίδωμί σοι πληγήν Eur. 456. ἐνταῦθα *δὴ τῶν βαρβάρων τινὲς μάγοι - ἔπεισαν Pyth. 1, 5 p. 811. ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται Aesch. 402. τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδός, τὸ δ' ἐν πεδίλοις - ὃς δὴ πᾶσιν Αἰτωλοῖς νόμος Eur. 530, 9. γάμων τέλος, τὸ δή ποτ' εὐχαῖς ἐγὼ λισσομένα προσέβαν ὑμέναιον ἀείσαι Eur. 773, 52. (cf. ὅσπερ.) γαστήρ, ἀφ' ἧς δὴ πάντα γίγνεται κακά Eur. 915, 2. ὁ κλεινὸς ναός, ὃν δὴ Παλλίδης τεύξας κατέγνω - αὐτοῦ φυγήν Pyth. 1, 3 p. 811. οἷα δὴ φιλοῦσιν ἰατροὶ λέγειν Mimn. 2 p. 830. Θήβας λέγεις μοι - οὐ δὴ μόνον τίκτουσιν αἱ θνηταὶ θεούς Soph. 705, 2. σοφόν γέ τοί τι πρὸς τὸ βουλεύειν ἔχει τὸ γῆρας ὡς δὴ πόλλ' ἰδόν τε καὶ παθόν Antiph. 3, 2 p. 793. τίς δή ποτ' ὄλβον ἢ μέγαν θείη βροτῶν ἢ σμικρόν Soph. 102. ποῦ δὴ τὸ σαφὲς θνατοῖσι βιοτᾶς Eur. 304. ὁρᾷς σὺ νῦν δή μ' ὡς ἐπράυνας, τύχη Eur. 535. φέρ' ἴδω ὁ νῦν ‹δὴ› λαμβάνειν μέλλων μ' ἀνὴρ - αὖθις ἀποβάλῃ τὴν οὐσίαν Eur. 953, 27. πάλαι πάλαι δή σ' ἐξερωτῆσαι θέλων, σχολή μ' ἀπεῖργε Eur. 579. Ἴδης δή ποτε

μηλοτρόφῳ Soph. 469. εἶτα δὴ θυμούμεθα παθόντες οὐδὲν μεῖζον ἢ δεδρακότες Eur. 711. εἰ - μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν Eur. 821, 2. τὸ δ' ὠκὺ τοῦτο - εἰς συμφορὰς καθῆκε πολλὰ δὴ βροτούς Eur. 1032, 2. σκαιόν τι δὴ τὸ χρῆμα γίγνεσθαι φιλεῖ, θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει Eur. 339, 5. χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ Eur. 911. πλούτῳ χλιδῶσα θνητὰ *δὴ γύναι φρόνει Eur. 986. γέλωτα δή με ποιοῦνται κόροι θύοντες ὕβρει adesp. 458, 9. θοίνῃ σε πρῶτον τέρψομεν· πάρεστι δή (δέ ll.) Ach. 17 p. 750. ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως Eur. 388. ἐς ταὐτὸν ἥκειν φημὶ ταῖς βροτῶν τύχαις τόνδ' ὃν καλοῦσιν αἰθέρ', ᾧ τάδ' ἔστι δή (?) Eur. 330, 2. ἀλλ' ἀγνοῶ δὴ τυχὸν ἴσως ἄφρων ἐγὼ οὖσα Eur. 953, 9. κἀν τῷδ' ἐξεφαινόμεσθα δή - ἐπείγοντες φόν⟨ον⟩ Eur. 495, 5. ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη Aesch. 58. δέδοικα δὴ μή τοι νοήσῃς, Οἰδίπου adesp. 104. δρᾶν τι δὴ δοκῶν σοφὸν μάταιός ἐστι Eur. 1063, 10. βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρῶναξ λεώς Soph. 760. εἶα δή, [φίλον] ξύλον, ἔγειρέ μοι σεαυτὸ καὶ γίγνου θρασύ Eur. 693. ἀλλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ θνητοῖς ὀδυρμοί Eur. 573. ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς πρὸ δόμων κῆρύξ θ' ἱερὸς - βαίνουσι Eur. 773, 59. μαλθακοὶ δὲ δὴ τοιαῦτά γιγνόμεσθα πάσχοντες κακά Neophr. 2, 7 p. 731. καὶ δή τι καὶ παρεῖκα τῶν ἀρτυμάτων ὑπὸ τοῦ δέατος Soph. 305. καὶ δὴ φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι Soph. 333. τειχέων καὶ δὴ τοὺς Ποσιδείους .. θριγκοὺς ἀποσεισαμένη Soph. 465. καὶ νίπτρα δὴ χρὴ θεοφόρων ποδῶν φέρειν Aesch. 225. πολλοῖς παρέστην κἀφθόνησα δὴ βροτῶν ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ᾖ Eur. 334. εὐνὴν κρυφαίαν γνοῦσα καὶ μὴ γνοῦσα δή Eur. 1132, 14. Ῥῖπαι μὲν δὴ πατρὸς Aesch. 68. ἀλλ' οὐδὲ μὲν δὴ κάνθαρος τῶν Αἰτναίων πάντως Soph. 165. ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλούμενον κράτιστον εἶναι φημὶ μὴ φῦναι βροτῷ Eur. 285. γαμεῖ δ' ὃ μὲν δὴ Τυνδάρεω κόρην μίαν adesp. 195. σιαγόνας τε δὴ μαλθακὰς τίθησι Soph. 108. τὸ δή γε (?) σῦν κόψαντες (συγκόψαντες l.) - ἀντὶ τοῦ κεκομμένου ἐπέμψαμεν βόειον adesp. 458, 4.

δῆγμα: ὅτῳ δ' ἔρωτος δῆγμα παιδικοῦ προσῇν Soph. 757.

δῆθεν: ὤφειλε *δῆθεν, εἴπερ ἔστ' ἐν οὐρανῷ Ζεύς, μὴ τὸν αὐτὸν δυστυχῆ καθιστάναι Eur. 900.

δήκτης: οὐ δῆκταί πως κύνες οἱ θεοί (?) Eur. 555.

δήλημα: ὁδοιπόρων δήλημα, χωρίτης δράκων Aesch. 123.

δῆλος: δῆλον γάρ· ἐν δεσμοῖσι δραπέτης ἀνὴρ κῶλον ποδισθεὶς πᾶν πρὸς ἡδονὴν λέγει Soph. 60. ἀλγεινά, Πρόκνη, δῆλον· ἀλλ' ὅμως χρεὼν τὰ θεῖα - εὐπετῶς φέρειν Soph. 526. καί μοι τὸ τέρθρον δῆλον εἰσπορεύομαι Eur. 371, 2.

δηλῶ: καὶ τῷδε δηλώσαιμ' ἂν - τἀληθές adesp. 515.

Δημήτηρ: Αἴγυπτος - φερέσβιον Δήμητρος ἀντέλλει στάχυν Aesch. 300, 7. σὺ δ' ὡς πάρος δέσποινα

Δήμητρος κόρη Ἥφαιστέ τ' ἔστε πρευμενεῖς Eur. 781, 59. ἐπεὶ τί δεῖ βροτοῖσι πλὴν δυοῖν μόνον Δήμητρος ἀκτῆς πώματός θ' ὑδρηχόου Eur. 892, 2. Δήμητρος λάτριν Eur. 955. λέγουσι Δήμητρός ποτ' ἄρρητον κόρην Ηλούτωνα - ἁρπάσαι Carc. 5 p. 799. τόθ' ηὑρέθη μὲν καρπὸς ἡμέρου τροφῆς Δήμητρος ἀγνῆς Mosch. 6, 24 p. 814. — cf. Aesch. Ἱέρειαι. Aesch. 333. Soph. 541. adesp. 134.

Δημήτριος: ἣ δὲ τίκτεται βροτοῖς μήλων τε βοσκὰς καὶ βίον Δημήτριον Aesch. 44, 5.

δημιουργός: σὺ δ' ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως - τοῖς ἐρῶσιν εὐτυχῶς συνεκπόνει μοχθοῦσι μόχθους ὢν σὺ δημιουργὸς εἶ Eur. 136, 4. εἰ δέ του θεῶν τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν μέγιστος ἴστω Eur. 1059, 7.

δημόκοινος: οἷος γὰρ ἡμῶν δημόκοινος οἴχεται Soph. 712. ὅ τ' ἁλιτήριος καὶ *δημόκοινος ἐπεχόρευε δαψιλὴς θέρμος Lycophr. 2, 4 p. 817.

δῆμος: οὔτε δῆμος οὔτ' ἔτης ἀνὴρ Aesch. 377. δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος μήτ' αὖ κακώσῃς · μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτὲ Eur. 626, 1. 3. ἔπειτα δ' ἦξεις δῆμον ἐνδικώτατον - Γαβίους Aesch. 196. ἔνθεν ἐς Ἄργος διὰ κῦμα τεμὼν ἥκει δῆμον τὸν Λυρκείου Soph. 249, 6. ἴστω τ' ἄφρων ὢν ὅστις - δῆμον κολούει χρήμασιν γαυρούμενος Eur. 92, 2. στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν adesp. 41. δήμους τ' ἔσωσα καὶ τύραννος ἰζόμην Eur. 861, 2.

δημότης: αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν Eur. 362, 25.

δῆτα: τί δῆτ' ἐπ' αὐτοῖς ὄνομα θήσονται βροτοί Aesch. 6. πῶς δῆθ' ὁδουρὸν ὅμοιος ἐξέβης λαθών Soph. 21. πῶς δῆτ' ἔγωγ' ἂν θνητὸς ἐκ θνητῆς τε φὺς Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος Soph. 481, 6. ὦ γλῶσσα, σιγήσασα τὸν πολὺν χρόνον, πῶς δῆτα τλήσῃ πρᾶγμ' ὑπεξελεῖν τόδε Soph. 690, 2. τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γένος φρουροῦντας Eur. 111. τί δῆτ' ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες οὐ ζῶμεν ὡς ἥδιστα Eur. 196, 4. ἡμῶν τί δῆτα τυγχάνεις χρείαν ἔχων Eur. 231. τί με δῆτ', ὦ μελέα μᾶτερ, ἔτικτες Eur. 385. πότερα γενέσθαι δῆτα χρησιμώτερον συνετὸν ἄτολμον ἢ θρασύν τε κἀμαθῆ Eur. 552. τί δῆτα καὶ σὲ κωλύει ⟨λαβεῖν⟩ κέρδος Eur. 794, 3. τί δῆτα θάκοις μαντικοῖς ἐνήμενοι σαφῶς διόμνυσθ' εἰδέναι τὰ δαιμόνων Eur. 795. τί δῆτα θνητοὶ πόλλ' ἀπειλοῦμεν μάτην Patrocl. 1, 3 p. 830. τί δῆτα χεῖρες οὐκ ἂν ἐργασαίατο adesp. 46. ποίαν δῆθ' ὁρμάσω; ταύταν ἢ κείναν adesp. 137. τί δῆτα θύειν δεῖ σε κατθανούμενον adesp. 350. φησίν τις εἶναι δῆτ' ἐν οὐρανῷ θεούς Eur. 286.

*Δηώ cf. Soph. 687.

διά: τῆς εἰνοδίας Ἑκάτης ἔγχος, τὸ δι' Οὐλύμπου πωλοῦσα φέρει Soph. 492, 3. ἀστεροειδέα νῶτα διφρεύουσ' αἰθέρος ἱερᾶς τοῦ σεμνοτάτου δι' Ὀλύμπου Eur. 114, 5. διὰ μέσου γὰρ αἰθέρος τέμνων κέλευθον πόδα τίθημ' ὑπόπτερον Eur. 124, 2. βαρεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ μόλις

δι' ὠτὸς ἔρχεται τρυπωμένου Soph. 774, 2. ἢ δι' ἀσπίδων χερὶ θείνοντες ἐκβαλοῦσι πολεμίους πάτρας Eur. 282, 20. ‹λό›γχῃ πλατείᾳ συοφόνῳ δι' ἴπατος ‹παίσ›ας Eur. 495, 29. ἀλλ' ἡ Δίκη γὰρ καὶ διὰ σκότου (κατὰ σκότους ll.) βλέπει Eur. 555, 2. δι' ἁρμῶν ἐξαμείβεται πύλης καπνοῦ μέλαιν' ἄησις ἔνδοθεν στέγης Eur. 781, 45. ὡς ἄπυρος χρυσὸς γεγὼς - διὰ στέγους ῥεύσειεν ἐν χερσὶν κόρης Eur. 1132, 32. κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ Eur. 273, 3. διὰ τέλους δὲ δυστυχῶν τοσῷδε νικᾷ Eur. 285, 15. ἔστ' ἀνδρὶ καὶ γυναικὶ κείμενος νόμος, τῷ μὲν διὰ τέλους ἣν ἔχει στέργειν ἀεί Eur. 953, 15. ὃς διὰ τέλους ζῶν ὁμαλὸν ἤσκησεν βίον Mosch. 10, 2 p. 816. ὁρᾷς τυράννους διὰ μακρῶν ηὐξημένους, ὡς μικρὰ τὰ σφάλλοντα Eur. 420. εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν Eur. 821, 2. ἵν' οὖν τὰ πολλὰ κεῖνα διὰ παύρων λέγω Aesch. 99, 4. διὰ ψήκτρας σ' ὁρῶ ξανθὴν καθαίρονθ' ἵππον Soph. 434. βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς Soph. 520, 2. δι' ἐλπίδος ζῇ καὶ δι' ἐλπίδος τρέφου Eur. 826. φύουσιν ἡμῖν πάντα καὶ τρέφουσ' ἅμα, δι' ὧν βρότειον ζῇ τε καὶ θάλλει γένος Eur. 898, 13. ὅστις δὲ μοχλοῖς καὶ διὰ σφραγισμάτων σῴζει δάμαρτα Eur. 1063, 9. πάντα δι' ἡδονῆς γίγνεται Eur. 1115. ὁ τῆς Δίκης ὀφθαλμὸς ὡς δι' ἠσύχου λεύσσων προσώπου Dionys. 5 p. 795. ἥλιος, ὅτου δι' *αὐγῆς πάντα βλαστάνει βροτοῖς φθίνει τε adesp. 452, 2. ἐξευλαβοῦ δὲ μή σε προσβάλῃ - πέμφιξ· πικρὰ γὰρ κοὐ διὰ ζόης ἀτμοί Aesch. 206, 2. καὶ ξηραλοιφῶν εἵματος διὰ πτυχῶν Soph. 454. — καὶ μόνος ἀθανάτων γαμβρὸς δι' ἀπείρονα γαῖαν θνατὸς ὑμνήσῃ Eur. 781, 30. θανοῦμαι διὰ τὸ χρήσιμον φρενῶν Eur. 58. οἵας ἔλαχες τιμάς - διὰ σωφροσύνην Eur. 446, 2. διωθοῦνται χάριν αὐτοὶ δι' αὐτοὺς εὐτυχεῖν ἡγούμενοι Eur. 608, 3. πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ συγγενές Eur. 641, 3. γυνή τοι σώματος δι' ἀργίαν ψυχῆς φρόνησιν ἐντὸς οὐκ ἀργὸν φορεῖ Agath. 14 p. 766. πολλοὶ διὰ φόβον κοὐ δι' εὐσεβῆ τρόπον θεοὺς ἂν ηὔξον Theod. 8, 5 p. 804. κατέγνω διὰ τὸ πρᾶγμ' αὐτοῦ φυγήν Pyth. 1, 4 p. 811. δι' ἔνδειαν φρενῶν adesp. 207. — ἔνθεν ἐς Ἄργος διὰ κῦμα τεμὼν ἥκει Soph. 249, 5. ἐδαΐσατο τὸν Ἀστάκειον παῖδα διὰ κάρα τεμών Soph. 731, 6. ὅτ' ἐγενόμεθα, διὰ δ' ἔκρινεν ἁ τεκοῦσα γᾶ βροτούς Eur. 52, 4. — τρία † διὰ τῆς σάκη προτείνων Aesch. 74, 6. — cf. διαί.

διαβάλλω: Ἡφαιστοτυκὲς δέπας, ἐν τῷ διαβάλλει Aesch. 69, 3. τί δ' ἦν λυθείς με διαβάλῃς, παθεῖν σε δεῖ Eur. 435. cf. Eur. 646 et 859.

διαβιῶναι: τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη Eur. 1052, 9.

διαβολή: ἄναξ, διαβολαὶ δεινὸν ἀνθρώποις κακόν Eur. 56.

διαβρέχω: διαβρέχεις τἀρτύματα Aesch. 306.

διαγιγνώσκω: καθ' Ἑλλάδα φήμη πλανᾶται καὶ διέγνωσται πάλαι, τὸ μὴ βεβαίους τὰς βροτῶν εἶναι τύχας Theod. 16, 2 p. 806.

διαγωγή: κακᾶν (?) βίων διαγωγήν Eur. 1117.

Διάδες: κἄπειτ' Ἀθήνας Διάδας παρεκπερῶν Aesch. 31.

διάδοχος: Ἅβαντα φύει διάδοχον τυραννίδος adesp. 454, 2.

διαθρῶ: καὶ γὰρ τὸν ἄλλον ὧδε θνητοῖσιν νόμον ὄψει διαθρῶν (διαιρῶν ll.) adesp. 26, 2. σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας πάντες διαθρεῖν (διαιρεῖν ll.) ἢ τύχας τὰς οἴκοθεν Eur. 102, 2.

διαί: πᾶσα γὰρ Τροία δέδορκεν Ἕκτορος τύχης διαί Aesch. 296.

διαιρῶ: ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακὰ δέλτος διαιρεῖ Eur. 578, 9. (cf. διαθρῶ.)

δίαιτα: φαύλῃ διαίτῃ προσβαλὼν ἤσθη στόμα Eur. 213, 4. εἰς ἀνδρὸς φύσιν σκοπῶν δίαιτάν θ' ἥντιν' ἡμερεύεται Eur. 812, 6. τὸν ἠγριωμένον εἰς ἥμερον δίαιταν ἤγαγον βίον Mosch. 6, 29 p. 814. ἐκ γὰρ πατρὸς καὶ μητρὸς ὅστις ἐκπονεῖ σκληρὰς διαίτας οἱ γόνοι βελτίονες Eur. 525, 5. πρὸς τὰς φύσεις χρὴ καὶ τὰ πράγματα σκοπεῖν καὶ τὰς διαίτας τῶν κακῶν τε κἀγαθῶν Eur. 759, 2. πρὸς τὰς διαίτας τῶν ἐνοικούντων πόλιν - τὰς νόσους σκοπεῖν χρεών Eur. 917, 2. ἣν ποθ' ἡνίκα θηρσὶν διαίτας εἶχον ἐμφερεῖς βροτοί Mosch. 6, 4 p. 813.

διάκειμαι: ὁρῶντες αὐτὸν παγκάκως διακείμενον Pyth. 1, 6 p. 811.

διάκονος: ὄρνιθα καὶ κήρυκα καὶ διάκονον Soph. 133. πιστὸν μὲν οὖν εἶναι χρὴ τὸν διάκονον τοιοῦτον εἶναι Eur. 375.

διακρίνω: διακρινόμενον (al. διακρινόμενα vel μεταμειβόμενα) δ' ἄλλο πρὸς ἄλλου μορφὴν ἑτέραν ἀπέδειξεν Eur. 839, 13. τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθα, διὰ δ' ἔκρινεν (?) ἃ τεκοῦσα γᾶ βροτούς Eur. 52, 4.

διαλαμβάνω: ἀλλὰ διαλαβόντα χρὴ σκοπεῖν Theod. 2, 2 p. 801.

διαλλάσσω: ἀλλὰ ταῦτ' ἐποίησεν λαβὼν ὁ καιρὸς αἰσχρὰ καὶ διαλλάξας καλά adesp. 26, 4.

διάλυσις: πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων ἀνόνητος· αἱ γὰρ διαλύσεις ⟨οὐ⟩ ῥᾴδιαι Eur. 502, 6.

διαμαθύνω: κύνες διημάθυνον ἄνδρα δεσπότην Aesch. 244.

διαμείβω: δελφινοφόρον πεδίον πόντου διαμειψάμεναι Aesch. 150, 2.

διάμετρος: ἔπειτα δισσοὶ κανόνες ἰσόμετροι πάνυ, τούτους δὲ πλάγιος διαμέτρου συνδεῖ κανών Theod. 6, 3 p. 803.

διαπάλλω: ὃς ἦρι μὲν φανέντι διαπαλεῖ (διαπάλλει ll.) πτερὸν κίρκου λεπάργου Aesch. 304, 4.

διαπέμπω: καὶ μὴν ἀκούω μυριάδας τὸν Ἅρπαλον αὐτοῖσι - σίτου διαπέμψαι Pyth. 1, 16 p. 811.

διαπερῶ: ὕδωρ τε ποταμοῦ σῶμα διεπεράσαμεν Chaer. 17, 2 p. 787.

διαπρεπής: στίλβοντα λευκῷ χρώματι διαπρεπῆ Chaer. 1, 2 p. 781.

διαπρέπω: ψυχῆς φύσιν ⟨γὰρ⟩ ὧδε γενναίαν ⟨λαχών⟩ γυναικομίμῳ διαπρέπεις μορφώματι Eur. 185, 3.

διαπτύσσω: πρῶτον δ' ἄνειμι καὶ διαπτύξω λόγῳ ἀρχὴν βροτείου καὶ κατάστασιν βίου Mosch. 6 p. 813.

διαρρέω: σελήνης ὄψις - πάλιν διαρρεῖ κἀπὶ μηδὲν ἔρχεται Soph. 787, 9.

διαρροή: οἶνος περάσας πλευμόνων διαρροάς Eur. 983.

διαρτάζω: τοσαῦτα, κῆρυξ, ἐξ ἐμοῦ διάρτασον Aesch. 318.

διασκατῶ: οἱ τῆς ἀνάνδρου καὶ διεσκατωμένης τρυφῆς ὑφ' ἡδοναῖσι σαχθέντες κέαρ Diog. Sinop. 1 p. 808.

διαστρέφω: τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου· τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ λόγος δύναιτο Eur. 597, 2.

διαστροβῶ: θύννος βολαῖος πέλαγος ὡς διαστροβεῖ (al. διεστρόβει) adesp. 391.

διατελῶ: τοῦ γὰρ δικαίου κἂν βροτοῖσι κἂν θεοῖς ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου Eur. 585, 2.

διατέμνω: ἔνθεν ἐς Ἄργος διὰ κῦμα τεμὼν ἥκει Soph. 249, 5. ὁ Τυδεὺς - ἐδαίσατο τὸν Ἀστάκειον παῖδα διὰ κάρα τεμών Soph. 731, 6.

διατίθημι: διετίθουν Antiph. 1 p. 792.

διατίλλω: ὑπὸ κουραῖς ἀτίμως διατετιλμένης φόβης Soph. 598, 7.

διατορεύω: ἐνήλατα ξύλα τρίγομφα διατορεῦσαί σε δεῖται Soph. 293, 2.

διατριβή: χρόνου τε διατριβὰς σοφωτάτας ἐφηῦρε Soph. 438, 2.

διαφέρω: τὰ πόλλ' ἀνάγκη διαφέρει τολμήματα Eur. 38. διαφέρουσι δ' αἱ φύσεις Eur. 494, 3.

διαφεύγω: πολλοὶ μὲν οἶδμα διέφυγον θαλάσσιον Eur. 301, 2.

διαφθείρω: φθόνος δ' ὁ πολλῶν φρένα διαφθείρων βροτῶν Eur. 551. διέφθειρε Eur. 280. οὐ τοὔνομ' αὐτοῦ τὴν φύσιν *διαφθερεῖ Eur. 377, 3. δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ Eur. 511. τοῦτ' ἔστιν ἀρετή· τὸ δ' ὄνομ' οὐ *διαφθερεῖ Eur. 526, 2. ἢ πολὺν πόνον βραχεῖ διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ Neophr. 2, 15 p. 731. τούτους πῶς διαφθεῖραί με χρή Eur. 360, 17. λέξω δ' ἐγώ, κἄν μου διαφθείρας δοκῇ λόγους ὑποστὰς αὐτὸς ἠδικηκέναι Eur. 797.

διαφορά: αἱ δ' ἄλλαι πόλεις πεσσῶν ὁμοίως διαφοραῖς ἐκτισμέναι (al. διαφορηθεῖσαι βολαῖς) ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι Eur. 360, 9.

διάφορος: οὐ τυραννίς, οὐ πλούτου χλιδὴ τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονάς Apollon. 1, 3 p. 825.

διαφρουρῶ: διαπεφρούρηται βίος Aesch. 265.

διαψαίρω: γλώσσῃ διαψαίρουσα μυκτήρων πόρους Eur. 926.

δίγονος: ἰδοὺ δὲ φοίνιον μάσθλητα δίγονον Soph. 125.

δίδαγμα: ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον Eur. 291, 3. τοὐσδε τοὺς λόγους λέγων διδαγμάτων ἥδιστον εἰσηγήσατο Crit. 1, 25 p. 771.

διδακτός: τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ ζητῶ Soph. 759.

διδασκαλεῖον: χωρῶμεν ἤδη παῖδες εἰς τὰ τῶν σοφῶν διδασκαλεῖα μουσικῆς Soph. 1019, 3. τὸ δεῖσθαι τῶν πέλας θνητοῖς μέγα διδασκαλεῖον τῆς ἀναιδείας ἔφυ adesp. 558, 2.

διδάσκαλος: ὥσπερ ἁλιεὺς πλῆγείς.. ⟨φρ⟩ενῶν διδάσκαλος Soph. 111. διδάσκαλος γὰρ ἡ τελεία τῶν σοφῶν καὶ τῶν ἀρίστων γίγνεται βου-

λευμάτων adesp. 522, 3. καὶ τὸν θεὸν τοιοῦτον ἐξεπίσταμαι, σοφοῖς μὲν - σκαιοῖς δὲ φαῦλον κἀν βραχεῖ διδάσκαλον Soph. 704, 3. τὰ χρηστὰ δ' οὐδ' ἦν τὸν *διδάσκαλον λάβῃ, ἐμνημόνευσεν Soph. 1019, 8. ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον Ἔρωτα Eur. 430. εἴτε τῇ μακρᾷ τριβῇ αὐτὴν παρασχὼν τὴν φύσιν διδάσκαλον Mosch. 6, 22 p. 814. πολλοὶ μαθηταὶ κρείσσονες διδασκάλων adesp. 107.

διδάσκω: γῆρας διδάσκει πάντα καὶ χρόνου τριβή Soph. 603. ποιητὴν δ' ἄρα Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν Eur. 663, 2. χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν Eur. 715, 2. σὺ δ' ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως, ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλά, ἢ Eur. 136, 2. διδάξεις τ' ἄλλους μυρίους ἐφημέρους θεῶν ὕπερθε μήποτ' αἴρεσθαι βροτοῖς Neophr. 3, 4 p. 731. γυναῖκα - καὶ νόσον ἀνδρὶ φέρειν μεγίσταν ἐδίδαξα τώμῳ λόγῳ Eur. 78, 3. αἰνῶ· διδάξαι δ' ὦ τέκνον σε βούλομαι Eur. 603. πολλὰ καὶ μαθεῖν σε δεῖ καὶ πόλλ' ἀκοῦσαι καὶ διδάσκεσθαι μακρά Soph. 632, 2. μὴ δρῶν δ' ὑπ' αὐτοῦ τοῦ διδάσκεσθαι φιλεῖν ἀφαιρεθήσῃ χάριτας, αἷς τιμῶσί σε Eur. 136, 6.

δίδυμος: πῇ μὲν δίδυμον χθονὸς Εὐρώπης μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν Aesch. 191. δίδυμοί τ' ἄρκτοι - τὸν Ἀτλάντειον τηροῦσι πόλον Eur. 594, 3.

δίδωμι: † ὠνητέραν δὴ τήνδ' ἐγὼ δίδωμί σοι πληγήν Eur. 456. πατέρων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γεγώς Eur. 231, 2. ὕδωρ δὲ νίψαι χεῖρας οὐ πρόσθεν δίδως Ach. 17, 4 p. 750. ἃ μὴ γὰρ ἔστι τῷ πένητι πλούσιος δίδωσι Eur. 21, 6. τὸ φρόνιμον εὐγένεια καὶ τὸ συνετὸν ὁ θεὸς δίδωσιν Eur. 52, 10. τοῦτο γὰρ τό τ' εὐγενὲς καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν Eur. 362, 15. τό τ' εὐγενὲς πολλὴν δίδωσιν ἐλπίδ' ὡς ἄρξουσι γῆς Eur. 404, 2. μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ τέκνα δίδωσιν (?) ὅστις οὐκέθ' ὡραῖος γαμεῖ Eur. 804, 2. σῶσαι γὰρ ὁπόταν τῷ θεῷ δοκῇ, πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν Eur. 1089, 2. ἐν παρθενῶσι δ' εὐθὺς οἷς ἐδείματο δίδωσιν Ἀργείαισιν ἔμφρουρον κόραις Eur. 1132, 23. πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν φρενῶν μεγάλα δίδωσιν εὐτυχήματα adesp. 82, 2. λύπας μὲν ἀνθρώποισιν - θεοὶ τοῖσιν διδοῦσιν οὓς ἂν ἐχθαίρωσι adesp. 489, 2. καὶ τὰς μὲν ἄξῃ, πῶλον ἦν διδῷς ἕνα, τὰς δ' ἦν ξυνωρίδα Eur. 675. χρὴ δ' ὅσ' ἂν θεοὶ διδῶσι, φεύγειν μηδένα Soph. 879, 2. ᾧ γὰρ θεοὶ διδῶσι μὴ φῦναι τέκνα, οὐ χρὴ μάχεσθαι πρὸς τὸ θεῖον Eur. 491, 4. ὄλβου δ' ἐμοὶ μὴ χρυσέου φαεννὰν ἀκτῖνα δαίμων διδοίη πάρος σοφίας ἢ τυραννίδα adesp. 130, 3. τῷ πλουσίῳ τε τῷ τε μὴ διδοὺς μέρος ἴσον σεαυτὸν εὐσεβεῖν πᾶσιν δίδου Eur. 362, 7. 8. διψῶντι - πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς Soph. 696, 2. τὸν βαλόντα δὲ στέφειν ἐγὼ ἐτετάγμην, ἆθλα κοσσάβων διδούς Eur. 562, 3. οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης, μή μ' ἄφρονα κρίνῃς

ἢ διδοὺς αἰτεῖν δοκῶ Eur. 969, 2. μέλλων τ' ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον ἰάσατ' ἤδη μᾶλλον Eur. 1072. ἀλλ' ἓν διδοῦσα πάντα μαλθάσσει τάδε adesp. 367. μὴ ἐπιτάξ τὰ φάρμακα διδόντα Eur. 292, 3. ὁρῶσι δ' οἱ διδόντες εἰς τὰ χρήματα Eur. 607. ἐγὼ δὲ δώσω παῖδα τὴν ἐμὴν κτανεῖν Eur. 360, 4. τὴν οὐκ ἐμήν.. πλὴν φύσει δώσω κόρην θῦσαι πρὸ γαίας Eur. 360, 38. ἑτέρῳ με δώσεις ἀνδρί Eur. 953, 31. ἄνδρ' ᾧ με δώσεις Eur. 953, 35. τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ ὀδύναισι δώσει Eur. 176, 4. χρόνῳ γὰρ οὗτος ὕστερον δώσει δίκην Eur. 1131, 5. ἰσαργύρου τ' εἰς χεῖρα Κυπρίου λίθου δώσουσι κόσμον χριμάτων τ' Αἰγυπτίων Ach. 5, 2 p. 747. ἄγαν κρατοῦντες κοὐ νομίζοντες δίκην δώσειν Eur. 564, 3. ὡς σοὶ τὰς τύχας μὲν ἀσθενεῖς ἔδωχ' ὁ δαίμων Eur. 140, 2. ⟨λό⟩γχῃ - δι' ἥπατος ⟨παίσ⟩ας ἔδωκε νερτέροις καλὸν νεκρόν Eur. 495, 30. πολλάς γ' ὁ δαίμων τοῦ βίου μεταστάσεις ἔδωκεν ἡμῖν μεταβολάς τε τῆς τύχης Eur. 554, 2. θεὸς ἔδωκε, χρόνος ἔκρανε λέχος ἐμοῖσιν ἀρχέταις Eur. 773, 56. τί σεμνύνεσθε ταῖς ἐξουσίαις, ἃς ἓν τ' ἔδωκε φέγγος ἓν τ' ἀφείλετο Sosiph. 3, 3 p. 820. φαγεῖν τ' ἔδωκεν εὖ Sosith. 2, 13 p. 822. τοίων γὰρ ἀνδρῶν σπέρμ' *ἔδωκεν Ἑλλάδος adesp. 197. χεῖρας δὲ Τρώων ὅπλ' ἔδωκαν Ἑλλάδος adesp. 192. ὅτι γὰρ φύσις ἀνέρι δῷ, τόδ' οὔποτ' ἂν ἐξέλοις Soph. 739. εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον μέλος - δοίη θεός Eur. 899, 2. τούτῳ δέ, τέκνον, πολλὰ κἀγάθ' οἱ θεοὶ.. δοῖεν adesp. 32, 2. τοῖς γὰρ κακῶς πράσσουσιν οἱ σεμνοὶ λόγοι κόσμον μὲν ἂν δοίησαν (ἐνδοίησαν ll.) adesp. 557, 2. ἀλλ' ὦ τέκνον μοι δὸς χέρ', ὡς θίγῃ πατήρ Eur. 362, 32. ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς δοὺς ἀντίδουλα Aesch. 194, 2. οὐδ' ἡ τάλαινα δοῦσα ταριχηροῦ γάρου Soph. 549. ξείνια δούσαις Phryn. 14 p. 723. οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ δοῦναι χαλινούς Eur. 463, 2. δοῦναι δὲ πᾶς τις μᾶλλον ὀλβίῳ κακῷ πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ Eur. 326, 6. ἐπεὶ δ' ἅπαξ δέδωκας, ἤδη ἐστίν, πάτερ, ἐμὸν σκοπεῖν τοῦτο Eur. 953, 36. ⟨οἱ⟩ πεῖραν οὐ δεδωκότες Eur. 809. ἀεὶ δὲ (γαστὴρ) τοῦ δοθέντος (δέοντος ll.) ἐνδεῖται πλέον Char. 1, 3 p. 826.

διείργω: τὸ δεύτερον δὲ πρῶτα μὲν γραμμαὶ δύο, ταύτας διείργει δ' ἐν μέσαις ἄλλη μία Eur. 382, 6.

διείρω: ἁλίας στραβήλου τῆσδε - εἴ τινα δυναίμεθ' εὑρεῖν ⟨ὃς διείρειεν λίνον⟩ Soph. 301, 2.

διεκπερῶ: τί ταῦτα δεῖ στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν Eur. 757, 8. πρὶν αὐτῷ παντελῶς ἤδη βίος διεκπερᾶθῇ (διεκπερανθῇ ll.) καὶ τελευτήσῃ βίον Soph. 588, 3.

διεμπολῶ: ὠθούμεθ' ἔξω καὶ διεμπολώμεθα (διεμπολούμεθα ll.) θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο Soph. 524, 7.

διεξέρχομαι: τὸ δαιμόνιον οὐχ ὁρᾷς ὅπῃ μοίρας διεξέρχεται Eur. 152, 2.

διέξοδος: λήθουσι γάρ τοι κἀνέμων διέξοδοι θήλειαν ὄρνιν Soph. 436.

διέρπω: χρόνος διέρπων πάντ' ἀληθεύειν φιλεῖ Eur. 441.

διέρχομαι: τῷ λόγῳ μὲν εὖ διέρχῃ πάντα, τῷ δ' ἔργῳ κακῶς adesp. 514. κλῆθρον γὰρ οὐδὲν ὧδ' ἂν εὐπαγὲς λάβοις, γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται (?) Soph. 849, 3. ἣν οὐδ' ἂν εἴποις οὐδὲ μετρήσειας ἂν ὅση πέφυκε κἀφ' ὅσον διέρχεται Eur. 898, 3. πολλάκι μοι πραπίδων διῆλθε φροντίς Eur. 901. εἰ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον Eur. 806, 4.

διηλιφής: γένειον ὧδε - διηλιφὲς φοροῦντα Soph. 139.

διθύραμβος: μιξοβόαν πρέπει διθύραμβον ὁμαρτεῖν σύγκωμον Διονύσῳ Aesch. 355, 2. (cf. θρίαμβος.)

διίημι: ἔλα δὲ μήτε Λιβυκὸν αἰθέρ' εἰσβαλών· κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων, ἀψῖδα σὴν κάτω διήσει Eur. 779, 3.

διιπετής: πυρίδες καὶ *διιπετῆ κτεῖναι (?) Eur. 815, 2.

διίστημι: γραμμαὶ γάρ εἰσιν ἐκ διεστώτων δύο Eur. 382, 11.

δικάζω: Ζῆνα δ' εἰσορῶντά νιν θνητοῖς δικάζειν Eur. 506, 4.

δίκαιος: δίκαιος γόνος Soph. 1013. σώφρων καὶ δίκαιος ὢν ἀνήρ Eur. 282, 25. ὁ δ' οὐ δίκαιος κἂν ἀμείνονος πατρὸς Ζηνὸς πεφύκῃ, δυσγενὴς εἶναι δοκεῖ Eur. 336, 3. εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων κρατεῖ Eur. 584. ὅστις μὴ δίκαιος ὢν ἀνὴρ βωμὸν προσίζει Eur. 1049. ὅστις ἂν δίκαιος ᾖ τρόπους τ' ἄριστος Astyd. 8, 2 p. 780. καὶ γὰρ δικαία γλῶσσ' ἔχει κράτος μέγα Soph. 77. ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς γνώμη δικαία καὶ φρονοῦσα τἄνδικα Apollon. 1, 5 p. 825. οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας τέρπειν, ὅπου γε μὴ δίκαια τέρψεται Soph. 616, 1. 2. ἐμὲ δ' ἄρ' οὐ μοχθεῖν δίκαιον Eur. 240, 2. θάρσει· τό τοι δίκαιον ἰσχύει μέγα Eur. 343. τὰς οὐσίας γὰρ μᾶλλον ἢ τὰς ἁρπαγὰς τιμᾶν δίκαιον Eur. 354, 2. οὐδὲν δικαιόν ἐστιν ἐν τῷ νῦν γένει Eur. 695, 2. κόσμον δ' ὑμεναίων δεσποσύνων ἐμὲ καὶ τὸ δίκαιον ἄγει καὶ ἔρως ὑμνεῖν Eur. 773, 45. τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον ξύμμαχον ἕσται Eur. 918, 4. ἢ πῶς δικαιόν ἐστιν ἢ καλῶς ἔχον τῶν μὲν ἀγαθῶν με τὸ μέρος - λαβεῖν, τοῦ συναπορηθῆναι δὲ μὴ λαβεῖν μέρος Eur. 953, 24. καλῶς ἔχειν δίκαιόν ἐστιν Eur. 1058, 2. δίκαιόν ἐστιν ἥτις ἂν κτείνῃ πόσιν Theod. 5 p. 803. παῖδα γάρ, κἂν ᾖ γέρων, καλεῖν δίκαιον, ὅστις ἄν adesp. 68, 2. εἴπερ γὰρ οὐδὲ τοῖς κακῶς δεδρακόσιν ἀκουσίως δίκαιον εἰς ὀργὴν πεσεῖν adesp. 80, 2. τὸ μὴ δίκαιον ἔργον οὐ λήθει θεούς adesp. 487. ἀτρέκεια δ' ἄριστον ἀνδρὸς ἐν πόλει δικαίου πέλει Eur. 91. τοῦ γὰρ δικαίου κἂν βροτοῖσι κἂν θεοῖς ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου Eur. 585. καὶ τοῦ δικαίου καὶ τόκων τῶν σῶν χάριν Eur. 1064, 3. τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο adesp. 4. ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός Aesch. 301. οὐ γὰρ ἔσθ' ὅπως σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε Soph. 236, 2. ἔρως ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς Eur. 388, 2. χρὴ δὲ τὸν στρατηλάτην ὁμῶς δίκαιον ὄντα ποιμαίνειν στρα-

τόν Eur. 744, 2. λόγων δίκαιον μισθὸν ἂν λόγους φέροις Eur. 890. χάριν δικαίαν καὶ φιλάνθρωπον - αἰτῶ σε ταύτην Eur. 953, 41. ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται Eur. 410, 2. οὐδὲν φρονεῖ δίκαιον οὐδὲ βούλεται Eur. 425, 2. ἓν δρᾷ μόνον *δίκαιον ὢν ποιεῖ φθόνος Carc. 8, 2 p. 800. ὅμως τό γ' ὀρθὸν καὶ δίκαιον οὔποτε σιγῇ παρήσω Mosch. 4 p. 813. οὐδὲν φρονεῖ δίκαιον adesp. 330. ἄφρονες δ' ὁπόσοι τὸ δίκαιον ἄγουσ' ὑπὸ τᾶς ἀδίκου βιοτᾶς ἀφανές adesp. 499, 2. πόλις, ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα λάγδην πατεῖται Soph. 622, 2. κρεισσόνων γὰρ καὶ δίκαια κἄδικ' ἔστ' ἀκουστέα adesp. 437. ἀνδρῶν δικαίων κἀγαθῶν ὁμιλίαι Eur. 7, 2. ἐκ τῶν δικαίων γὰρ νόμοι τ' αὐξήματα μεγάλα φέρουσι Eur. 252. τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον Soph. 75. τοῖς μὲν δικαίοις ἔνδικος, τοῖς δ' αὖ κακοῖς - μέγιστος πολέμιος Eur. 692. πειθὼ δὲ τοῖς μὲν σώφροσιν πολλὴν ἔχειν, τοῖς μὴ δικαίοις δ' οὐδὲ συμβάλλειν χρεών Eur. 759, 4. ὁ γὰρ οὐδενὸς ἐκφὺς χρόνος δικαίους ἐπάγων κανόνας δείκνυσιν ἀνθρώπων κακότητας ἐμοί Eur. 303, 4. τοὺς γὰρ ἀνδρείους φύσιν καὶ τοὺς δικαίους τῶν κενῶν δοξασμάτων - εὐγενεστέρους λέγω Eur. 495, 42. μέμφεται τὰ θεῖ', ὅτι οὐκ εὐθὺς - μετέρχεται τοὺς μὴ δικαίους Theod. 8, 3 p. 804. τὰ μὲν δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου Soph. 25, 3. ἀγλωσσίᾳ δὲ πολλάκις ληφθεὶς ἀνὴρ δίκαια λέξας ἧσσον εὐγλώσσου φέρει Eur. 56, 3. καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι, σύμμικτα μὴ δίκαια καὶ δίκαι' ὁμοῦ Eur. 419, 3. οὐδ' εἰ - σιγήσομαι δίκαιά γ' ἀντειπεῖν ἔχων Eur. 706, 3. δίκαι' ἔλεξε Eur. 823. λοιπόν ἐστ' ἴσως ἐμὲ ἐκ τῆς ἀνάγκης τά γε δίκαι' αὐτὴν λέγειν Eur. 953, 5. φεῦ φεῦ, τὸ νικᾶν τἄνδιχ' (τὰ δίκαια ll.) ὡς καλὸν γέρας, τὰ μὴ δίκαια δ' ὡς ἁπανταχοῦ κακόν Eur. 1034, 2. ἀτὰρ σιωπᾶν τά γε δίκαι' οὐ χρή ποτε Eur. 1037. δοῦλε, δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικα adesp. 436.

δικαιοσύνη: δικαιοσύνας τὸ χρύσεον πρόσωπον Eur. 486.

δικαίως: ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί Aesch. 353. κἀπὶ φροντίδων βίον οὕτω δικαίως ζῶσιν αἰσχύνης ἄτερ Eur. 684, 5.

δικαστής: κυαμοβόλως *δικαστήν Soph. 266.

δίκελλα: ἵν' οὔτ' ἄροτρον οὔτε γατόμος τέμνει *δίκελλ' ἄρουραν Aesch. 196, 4.

δίκερως: μέλιτι χθύπτην τυρὸν μίξας - κατὰ τῶν σῶν, Πὰν δίκερως, τίθεμαι βωμῶν Thesp. 4, 5 p. 833.

δίκη s. Δίκη: καὶ τοῦ θανόντος ἡ Δίκη πράσσει κότον Aesch. 266, 5. ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη, ποία ξυνωρὶς τῆσδε καρτερωτέρα Aesch. 381. ἡ πατροκτόνος δίκη κέκλητ' ἂν αὐτῷ Soph. 634. ἀλλ' ἡ Δίκη ἐνταῦθά ποὔστιν ἐγγύς Eur. 506, 7. ἀλλ' ἡ Δίκη γὰρ καὶ διὰ σκότου βλέπει Eur. 555, 2. ὅταν σχολὴν ἄγουσα τυγχάνῃ Δίκη Eur. 835, 4. οὗτοι προσελθοῦσ' ἡ Δίκη σε - παίσει πρὸς ἧπαρ Eur. 979. δοκοῦσιν ἄνθρωποι νόμους θέσθαι κολαστάς, ἵνα δίκη τύραννος ᾖ Crit.

1, 6 p. 771. ἀλλ' ἡμέρας ἢ νυκτὸς ἡ Δίκη ποτὲ τῷ δυσσεβοῦντι σῖγ' ἔχουσ' ἐνήλατο adesp. 486, 3. μόνη ἐστὶν ἀπαραίτητος ἀνθρώποις Δίκη adesp. 495. ὀπισθόπους δίκη adesp. 564. Δίκα τοι Δίκα χρόνιος, ἀλλ' ὅμως ὑποπεσοῦσ' ἔλαθεν Eur. 223. κἂν ἔξω δίκης χωρεῖν κελεύῃ Soph. 226, 2. τῆς δίκης ἀποστερεῖν Eur. 89, 2. οὐ τῶν κακούργων οἶκτος ἀλλὰ τῆς δίκης Eur. 270. ἤδη γὰρ εἶδον καὶ δίκης παραστάτας ἐσθλοὺς πονηρῷ τῷ φθόνῳ νικωμένους Eur. 295. ἢ τἀπιεικῆ πρόσθεν ἡγοῦνται δίκης Eur. 645, 6. κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον Eur. 758. ὁ τῆς Δίκης ὀφθαλμὸς ὡς δι' ἠσύχου λεύσσων προσώπου πάνθ' ὅμως ἀεὶ βλέπει Dionys. 5 p. 795. ἔστιν Δίκης ὀφθαλμός, ὃς τὰ πάνθ' ὁρᾷ adesp. 421. τὸ χρύσεον δὲ τᾶς Δίκας δίδορκεν ὄμμα Soph. 11. Δίκας δ' ἐξέλαμψε θεῖον φάος adesp. 500. πῶς ἂν οὐκ ἂν ἐν δίκῃ θάνοιμ' ἄν Soph. 673. (cf. ἔνδικος.) ἦν καὶ δίκῃ θνήσκῃ τις Eur. 834, 2. τοὺς δ' ὄντας ἀδίκους τούσδε τὴν ἐναντίαν δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν Soph. 103, 9. οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι οὔτ' ἐξεπομβρῶν οὔτ' ἐπαυχμήσας φίλος· βροτοῖς ‹δ'› ἂν ἐλθὼν ἐς λόγον δίκην (ἐς δίκην λόγων ll.) ὅρλοι Soph. 481, 5. μόνην δ' ἔστερξε τὴν ἁπλῶς δίκην Soph. 703, 3. πατρὶ πείθεσθαι χρεὼν παῖδας νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην Eur. 110, 3. τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διός Eur. 151. τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι χρόνου Eur. 222. δοκεῖς - τὴν Δίκην που μάκρ' ἀπωκίσθαι βροτῶν Eur. 255, 2. ἄγαν κρατοῦντες κοὐ νομίζοντες δίκην δώσειν Eur. 564, 2. εἰς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων κρατεῖ τὸ θεῖον τὴν δίκην τε συλλαβών Eur. 584, 2. κόλουε δ' ἄνδρα παρὰ δίκην τιμώμενον Eur. 626, 6. οὐκ ἐμὲ προσήκει λαμβάνειν τούτων δίκην Eur. 953, 7. ἐγὼ γὰρ ὅστις μὴ δίκαιος ὢν ἀνὴρ βωμὸν προσίζει - πρὸς τὴν δίκην ἄγοιμ' ἄν Eur. 1049, 3. χρόνῳ γὰρ οὗτος ὕστερον δώσει δίκην Eur. 1131, 5. ἐχθρὸς μὲν ἀνήρ, ἀλλὰ τὴν δίκην σέβω adesp. 5. ὁρᾷς Δίκην ἄναυδον οὐχ ὁρωμένην εὔδοντι καὶ στείχοντι καὶ καθημένῳ adesp. 493. ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην adesp. 498. παρά τ' ἐλπίδα καὶ παρὰ δίκαν Eur. 901, 3. ὁρῶ γὰρ χρόνῳ δίκαν πάντ' ἄγουσαν εἰς φῶς βροτοῖς adesp. 483, 2. — τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην Aesch. 308. παῦ' ὕδωρ δίκην πυρός Aesch. 360. κόμης δὲ πένθος λαγχάνω πώλου δίκην, ἥτις Soph. 598. σειρίου κυνὸς δίκην Soph. 735.

δίκρα (?): δίκρα ὄψις Aesch. 52.

δίκτυον: μολυβδὶς ὥστε δίκτυον κατέσπασεν Soph. 756. δικτύου δ' εὑήτρια Aesch. 47. ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται πρὸς τοῦ παρόντος ἰμέρου νικωμένη Soph. 846, 3. ἐν τοῖς ἐμαυτοῦ δικτύοις ἁλώσομαι adesp. 300.

διμάτωρ: διμάτωρ Βρόμιος adesp. 21.

δίνη: δαίμονος πεδαρσίου δίνης πτερωτὸς φθόγγος ἐξακούεται adesp. 47, 2.

Διόθεν: ὅταν ἔλθῃ κρυερὰ Διόθεν

θανάτου πεμφθεῖσα τελευτή Eur. 916, 6.

διοίγω: παγκάλως δ' ἀλγύνεται ὄλβου διοίγων θάλαμον ἥδιστον χερί Eur. 285, 8.

διοικῶ: πάντων τύραννος ἡ τύχη ἐστὶ τῶν θεῶν - μόνη *διοικεῖ γοῦν ἅπανθ' ἡ βούλεται adesp. 506, 3. πάσης Ἑλλάδος καὶ ξυμμάχων βίον διῴκησ' ὄντα πρὶν πεφυρμένον adesp. 470, 2.

διοίχομαι: ἀποίμωξόν με - τἀμὰ γὰρ διοίχεται Aesch. 138, 2. ἀνήρ τ' ἀχρεῖος χἡ γυνὴ διοίχεται Eur. 1063, 16.

διόλλυμι: ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας Eur. 541, 2. εἶθ' ὤφελεν τὸ κάλλος ὅ με διώλεσεν κακῶς ὀλέσθαι adesp. 174. ἢ ἔσωσαν ἀκέρδαναν ἢ διώλεσαν Soph. 511, 6. ἀλλ' οὐκ οἶσθα σὺ ὁπόταν ἄφνω μολοῦσα διολέσῃ κακούς (ἡ Δίκη) Eur. 255, 5. τοῦ παιδὸς ὄντος τοῦδ' ἐγὼ διόλλυμαι Soph. 168, 2. σκαιοῖσι πολλοῖς εἷς σοφὸς διόλλυται Soph. 835.

Διομήδης — Eur. Οἰνεύς. Eur. Φιλοκτ. p. 614. Theod. Αἴας p. 801.

διόμνυμι: τί δῆτα - σαφῶς διόμνυσθ' εἰδέναι τὰ δαιμόνων Eur. 795, 2.

διονομάζω: τὰς διωνομασμένας ναίειν Κελαινὰς ἐσχάτοις Ἴδης τόποις Eur. 1085.

Διονύσιος: Δωρὶς τέθνηκεν ἡ Διονυσίου γυνή Dionys. 9 p. 796.

Διόνυσος: Διόνυσος, ὃς - Παρνασὸν κάτα πηδᾷ χορεύων παρθένοις σὺν Δελφίσιν Eur. 752. ὦ παῖ Διώνης, ὡς ἔφυς μέγας θεός, Διόνυσε Eur. 177, 2. Διονύσου τοῦ ταυροφάγου Soph. 607. *Θύσαν Διονύσου κόραν Eur. 586. μιξοβόαν πρέπει διθύραμβον ὁμαρτεῖν σύγκωμον Διονύσῳ Aesch. 355, 3. — cf. Aesch. Βασσάραι. Aesch. 50. 58. 61. Eur. 178. Ach. 20 p. 751. Ioph. 3 p. 762. Philisc. 2 p. 819.

διοπετής: διοπετὴς ὅπως ἀστὴρ ἀπέσβη Eur. 971.

δίοπος Aesch. 232. Eur. 447.

διορίζω: σῖτον δ' εἰδέναι διώρισα Aesch. 182, 2.

Διόσκουροι — Soph. iun. 1 p. 781. Patrocl. 2 p. 830. adesp. 14. 463.

Διοτρεφής: πένθεσιν δὲ παρθένου σίτων ἄμοιρον Διοτρεφὲς φθίνειν γένος Carc. 5, 9 p. 799.

διπλάζω: δίπλαζ' (διπλασιαζ' l.) ἕκαστον κῶλον ἐν τάχει τάφου adesp. 166, 3.

διπλάσιος: μικρόν γ' ἔλεξας βασιλικοῦ σηκὸν τάφου· διπλάσιος ἔστω adesp. 166, 2. κάμακος εἶσι κάμακος γλώσσημα διπλάσιον Aesch. 152.

διπλοῦς: τὸν Σπαρτιάτην γραπτὸν κύρβιν ἐν διπλῷ ξύλῳ Ach. 19, 3 p. 751. ταύρου μεμῖχθαι καὶ βροτοῦ διπλῇ φύσει Eur. 997. μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα adesp. 28. ὥστε διπλόοι (?) λύκοι νεβρὸν φέρουσιν ἀμφὶ μασχάλαις Aesch. 39. παραυτίχ' ἡσθεὶς ὕστερον στένει διπλᾶ Eur. 1079, 5.

δίπολος: δίπολοι Aesch. 209.

δίπτυχος: τὼ δ' εἰσιδόντε δίπτυχον (διπτυχοιν l.) θείοιν κάρ⟨α⟩ ἥσθησαν Eur. 495, 7. ἐς Οἰδίπου δὲ παῖδε, διπτύχω κόρω, Ἄρης κατέσκηψε adesp. 72. δίπτυχοι γὰρ ὀδύναι μιν ἦρικον Ἀχιλληίου δόρατος

Soph. 156, 2. φίλης τ' ὀπώρας διπτύχους ἠρός τ' ἴσους Eur. 990.

Δικαῖος: Δικαῖον οἰκήσας πέδον Eur. 819, 4.

Δίρκη: ναρᾶς τε Δίρκης Aesch. 347. cf. Eur. Ἀντιόπη p. 412.

δίρρυμία: ἐν δίρρυμίᾳ πῶλοι Aesch. 324.

δίς: θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς Soph. 64, 2. εἰς ἀριθμὸν ἑξήκοντα δίς Soph. 348, 4. καὶ δὶς ἑπτ' αὐτῆς τέκνα Eur. 455. πολλοῖσι πολλήν, δὶς τόσοις δὲ πλείονα Eur. 995. δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως Eur. 1131, 2. κατεύχομαι κακὰ αὐτοῖσιν ἀντὶ τῶνδε δὶς τόσα σχεθεῖν adesp. 458, 13.

δισκεύω: ἦν δ' ὁ δισκεύσας ἀνὴρ † πυθιο Sosith. 3, 2 p. 823.

δίσκημα: καί μοι τρίτον ῥίπτοντι Δωτιεὺς ἀνὴρ ἀγχοῦ προσῆψεν (?) Ἔλατος ἐν δισκήματι Soph. 349, 2.

δίσκος: (cf. σόλος.) τίς ὠκύπους ἀνὴρ ἢ δίσκον ἄρας ἢ γνάθον παίσας καλῶς πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών Eur. 282, 17. πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν δίσκους ἔχοντες Eur. 282, 20.

δισσός: ἔπειτα *δισσοὶ κανόνες ἰσόμετροι πάνυ Theod. 6, 2 p. 803. εἰσὶ κασίγνηται δισσαί, ὧν ἡ μία τίκτει τὴν ἑτέραν Theod. 4 p. 802. ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων ἀγῶνα θεῖτ' ἄν Eur. 189. δισσὰ γὰρ φυλάσσεται, φίλων τε μέμψιν κεἰς θεοὺς ἁμαρτάνειν Soph. 431, 2. δισσὰ πνεύματα πνεῖς, Ἔρως adesp. 187.

δίστομος: πελέκεως δὲ δίστομον γένυν ἔπαλλ' Ἀγκαῖος Eur. 530, 5.

δισχιδής: δισχιδὴς ὁδός adesp. 338.

διφθέρα: εἰσὶν γὰρ εἰσὶ διφθέραι μελεγγραφεῖς πολλῶν γέμουσαι Λοξίου γηρυμάτων Eur. 627. Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας adesp. 446.

διφρεύω: ἀστεροειδέα νῶτα διφρεύουσ' αἰθέρος ἱερᾶς Eur. 114, 3.

διφρήλατος: νῦν εὐσέληνον φέγγος ἡ διφρήλατος Eur. 1108.

διφρηλατῶ: ἧς ἀγχιτέρμων ἥλιος διφρηλατῶν Theod. 17 p. 806.

δίφρος: δίφρου τέτυκται βλῶσις εὔζυγον τέρας adesp. 150. ἐδέξατο ῥαγεῖσα Θηβαία κόνις αὐτοῖσιν ὅπλοις καὶ τετράορῳ δίφρῳ Soph. 873, 2.

διφυής: οὐδ' ὅ γε σῶμα τυπεὶς διφυεῖς τε κόρας ἐπιλάθεται ἀλκᾶς Ion. 53 p. 743.

δίχα: πανταχοῦ λελείμμεθα πᾶσαι γυναῖκες ἀρσένων ἀεὶ δίχα Eur. 319, 2. ἐπεὶ δ' ἐχωρίσθησαν ἀλλήλων δίχα Eur. 484, 3. νῦν οὐκέτι μοι δίχα θυμός, ἀλλὰ σάφ' οἶδα adesp. 482.

δίχολος: δίχολοι γνῶμαι Ach. 39 p. 756.

διχόρροπος: διχόρροπος γνώμη adesp. 341.

διχοστατῶ: ἦν διχοστατῇ πόλις Eur. 173, 2. εὖ γὰρ καὶ διχοστατῶν λόγος σύγκολλά τ' ἀμφοῖν ἐς μέσον τεκταίνεται Soph. 783.

διχόστομος: ἡ δορὸς διχόστομον πλᾶκτρον Soph. 156.

δίψιος: δίψιον Soph. 274.

διψῶ: διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς Soph. 696. ἴσχειν κε-

λεύω χεῖρα διψῶσαν φόνου adesp. 96. τὸ πρὸς βίαν πίνειν ἴσον πέφυκε τῷ διψῆν κακόν Soph. 669, 2.

διωθῶ: *διώσεις ῥᾳδίως Λίγυν στρατόν Aesch. 199, 9. ἐν τοῖσι μὲν δεινοῖσιν ὡς φίλοι φίλων· ὅταν δὲ πράξωσ' εὖ, διωθοῦνται χάριν Eur. 608, 2.

διωκτός Soph. 939.

διώκω: ὦ νὺξ ἱερά, ὡς μακρὸν ἵππευμα διώκεις Eur. 114, 2. πτηνὰς διώκεις, ὦ τέκνον, τὰς ἐλπίδας Eur. 271. ἔλα, δίωκε μή τι μαλκίων ποδί Aesch. 332. οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας γνώμας διώκειν Eur. 216, 2. τὰς ὁμιλίας ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε Eur. 609, 4. αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν Eur. 362, 25.

Διώνη: ὦ παῖ Διώνης, ὡς ἔφυς μέγας θεός, Διόνυσε Eur. 177. Βάκχου Διώνης adesp. 204.

δμῳή: καὶ γὰρ αἰδ' ἔξω δόμων δμῳαὶ περῶσιν Eur. 773, 11.

δμωίς: ἥδε μοι τροφός, μήτηρ, ἀδελφή, δμωίς, ἄγκυρα στέγης Eur. 866, 2. ἄγου δέ μ', ὦ ξεῖν', εἴτε πρόσπολον θέλεις εἴτ' ἄλοχον εἴτε δμωίδα Eur. 132, 2. ἐπείγετ' εἶα, *δμωίδες Eur. 781, 8.

δμώς: δμωσὶν γὰρ ἀνάκτων εὐαμερίαι προσιοῦσαι μολπᾶν θράσος αἴρουσ' ἐπὶ χάρματα Eur. 773, 46. δμωσὶν δ' ἐμοῖσιν εἶπον Eur. 815.

δόκημα: τὰ φύντα γὰρ κρείσσω νομίζειν τῶν δοκημάτων χρεών Eur. 359, 2.

δόκησις: γένοιτό τἂν πόλλ', ὧν δόκησις οὐκ ἔνι Eur. 131, 2. ἡ γὰρ δόκησις πατράσι παῖδας εἰκέναι Eur. 167. ἡ δόκησις ἀνθρώποις κακόν Eur. 277, 2. τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο adesp. 4.

δοκός: ναοὺς προλιπών, οὓς αὐθιγενὴς τμηθεῖσα *δοκὸς στεγανοὺς παρέχει Eur. 472, 5.

δοκῶ: δοκῶ μέν, οὐδείς Soph. 82. οὐδὲ γὰρ λάθρᾳ δοκῶ - σοὶ ζῆν' ἐς εὐνὴν ὥσπερ ἄνθρωπον μολεῖν Eur. 210. τοὐνθένδ' ἀπίχθους βαρβάρους οἰκεῖν δοκῶ Eur. 366. χαῖρ', εἰ τὸ χαίρειν ἔστι τοῖς κάτω χθονός· δοκῶ δέ Astyd. 5, 2 p. 779. σύ τοί μ' ἔφυσας, σύ με καταίθειν δοκεῖς Aesch. 359. συνοπάζεται δὲ πλῆθος οὐχ ὅσον δοκεῖς, οἳ (δοκεῖ σοι ll.) τῆσδ' ἐρῶσι τῆς ἀποικίας Soph. 344, 5. δοκεῖς τὰ τῶν θεῶν ξυνετὰ νικήσειν ποτέ Eur. 255. δοκεῖς τὸν Ἅιδην σῶν τι φροντίζειν γόων Eur. 332. εἰ δ' ἄτερ πόνων δοκεῖς ἔσεσθαι Eur. 392, 2. θεῶν γὰρ ἄξειν βίοτον, οὐ θνητῶν δοκεῖς Dionys. 2, 3 p. 793. ἐμοὶ δ' οὐδεὶς δοκεῖ εἶναι πένης ὢν ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν Soph. 328, 6. ὁ δ' οὐ δίκαιος - δυσγενὴς εἶναι δοκεῖ Eur. 336, 4. τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ λέγειν τ' ἀγάλματα Eur. 372, 2. ἄριστος εἶναι σωφρονεῖν τ' ἐμοὶ δοκεῖ Eur. 505, 2. δοκεῖ πονηρὰ καὶ δοκῶν ἁλίσκεται Eur. 835, 3. τηνικαῦτά μοι δοκεῖ - σοφὸς γνώμην ἀνὴρ γνῶναι θεοὺς θνητοῖσιν ἐξευρεῖν Crit. 1, 11 p. 771. σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ Chaer. 26 p. 789. οὐχ ὡς δοκεῖ γυναῖκα λαμβάνει μόνον Theod. 13, 2 p. 805. ἔμοιγε νῦν τε καὶ πάλαι δοκεῖ· παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν adesp. 111. δοκεῖ

τι φράζειν τοῖς ἀκούουσιν σαφές adesp. 119, 3. 6. δοκεῖτ' ἄν οἰκεῖν γαῖαν, εἰ Eur. 21. δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς πτεροῖσι Eur. 506. πλούτῳ δ' ἀρετὰν κατεργάσασθαι δοκεῖτε Eur. 960, 2. (cf. νομίζω.) τὰ δ' εἰς γάμους οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν Eur. 493, 5. κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους θέσθαι κολαστάς Crit. 1, 5 p. 771. μή μ' ἄφρονα κρίνῃς ἢ διδοὺς αἰτεῖν δοκῶ Eur. 969, 2. μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός Char. 3 p. 826. ὅταν μεταστῇ καὶ θεοῖς δοκῇ τάδε Soph. 588, 6. τί δ' αἰσχρὸν ἦν μὴ τοῖσι χρωμένοις δοκῇ Eur. 19. λέξω δ' ἐγώ, κἄν μου διαφθείρας δοκῇ λόγους ὑποστὰς αὐτὸς ἠδικηκέναι Eur. 797. σῷσαι γὰρ ὁπόταν τῷ θεῷ δοκῇ Eur. 1089. δεινὸν δ' ὅταν τις μὴ φρονῶν δοκῇ φρονεῖν Crit. 4 p. 774. μοχθητέον - ὡς ἂν μήτ' ἀπαιδεύτων βροτῶν δοκῶμεν εἶναι Soph. 1019, 12. χώριζε θνητῶν τὸν θεὸν καὶ μὴ δόκει ὅμοιον ἑαυτῷ σάρκινον καθεστάναι Aesch. 464. πλουτεῖς, τὰ δ' ἄλλα μὴ δόκει ξυνιέναι Eur. 641. συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δόκει Eur. 645. θνητὸς γὰρ ὢν καὶ θνητὰ πείσεσθαι δόκει Eur. 1075. δοκῶν cf. Eur. 568. δοκεῖ πονηρὰ καὶ δοκῶν ἁλίσκεται Eur. 835, 3. δρᾶν τι δὴ δοκῶν σοφὸν μάταιός ἐστι Eur. 1063, 10. ⟨οἱ⟩ πεῖραν οὐ δεδωκότες μᾶλλον δοκοῦντες ἢ πεφυκότες σοφοί Eur. 809, 2. λήσειν δοκοῦντες, ἀντὶ τοῦ κεκομμένου ἐπέμψαμεν βόειον adesp. 458, 5. Ζεὺς ἐπικάρσια τέμνει, καθελὼν μὲν δοκέοντ', ἀδόκητον δ' ἐξαείρων adesp. 482, 4. καὶ ταῦτα - χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν Soph. 524, 12. τἀληθέστατα κλέπτουσιν, ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν Eur. 439, 4. κἂν ἄμορφος ᾖ πόσις, χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ Eur. 909, 5. εὖ λέγειν δ', ὅταν τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ Eur. 909, 7. οὐ χρή ποτ' ὀρθαῖς ἐν τύχαις βεβηκότα ἕξειν τὸν αὐτὸν δαίμον' εἰς ἀεὶ δοκεῖν Eur. 1073, 2. ⟨οὐ⟩ τοῦ δοκεῖν μοι, τῆς δ' ἀληθείας μέλει Astyd. 1 p. 778. τοιαῦτ' ἄειδε καὶ δόξεις φρονεῖν Eur. 188, 3. ἐδοξάτην μοι τὼ δύ' ἠπείρω μολεῖν Soph. 1018. εἰς γάρ τις ἔστι κοινὸς ἀνθρώποις νόμος καὶ θεοῖσι τοῦτο δόξαν Eur. 346, 2. δεῖ γάρ με δόξαι πτωχὸν [εἶναι τήμερον], εἶναι μὲν ὅσπερ εἰμί, φαίνεσθαι δὲ μή Eur. 698. ὀργῇ βαρύς, ὡς δόξαι, κέαρ Eur. 1132, 63. οἴμοι δέδοκται Neophr. 2, 10 p. 731.

δόλιος: ὅστις καθ' ἑτέρου δόλια μηχανεύεται adesp. 573.

δόλος: ἡ δ' ἀγνοοῦσα τὸν κεκρυμμένον δόλον Eur. 1132, 33. δόλοι δὲ καὶ σκοτεινὰ μηχανήματα χρείας ἀνάνδρου φάρμαχ' ηὕρηται βροτοῖς Eur. 288. θνήσκετε ἢ φαρμάκοισιν ἐκ γυναικὸς ἢ δόλοις Eur. 464, 2. νείκη γὰρ ἀνδρῶν φόνια καὶ μάχας χρεὼν δόλοισι κλέπτειν Eur. 289, 2. εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον, ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα Eur. 321, 3.

δόμος: πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα Crat. 1, 2 p. 809. πῶς

ἂν γένοιτο σπέρμα παιδὸς ἐν δόμῳ Eur. 1132, 8. δόμον Ἀρτέμιδος Aesch. 87. ἴθι μοι, δόμον, οἰκέτα, κλῄσον ὑπόπτερος Ion. 14 p. 734. οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον, ἄλλην νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν adesp. 297. ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον adesp. 311. δόμοι μὲν οἵδ' εὔπυργά τ' ἐρύματα χθονὸς οὐκ ἐν πολυχρύσοισιν ἤσκηται χλιδαῖς Eur. 1132. γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων οὐ τῶν τεκόντων ἐστίν Eur. 318. εἰς δ' ἀνάστασιν δόμων περαίνει πολλάκις τὰ τοιάδε Eur. 340, 4. πολὺν γὰρ πέλανον ἐκπέμπεις δόμων Eur. 350. σκιρτῶσιν, ἀδόκητ' εὐτυχησάντων δόμων Eur. 362, 31. τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων Eur. 449, 4. τὰ ναυστολούμενα ἔσω δόμων σῴζουσι Eur. 492, 7. ὅταν τις - παισὶν αὐθένταισι κοινωνῇ δόμων Eur. 645, 4. οὐ γὰρ θέμις βέβηλον ἅπτεσθαι δόμων Eur. 648. ὅταν τις ἐκ δόμων ἀνὴρ θάνῃ Eur. 736, 6. καὶ γὰρ αἵδ' ἔξω δόμων δμῳαὶ περῶσιν, αἳ πατρὸς - σαίρουσι δῶμα καὶ δόμων κειμήλια - φοιβῶσι κἀπιχωρίοις ὀσμαῖσι θυμιῶσιν εἰσόδους δόμων Eur. 773, 10. 12. 14. ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς πρὸ δόμων κῆρύξ θ' ἱερὸς - βαίνουσι Eur. 773, 59. εὐφαμεῖτ', ὦ, ἐκτόπιοί τε δόμων ἀπαείρετε Eur. 773, 68. θεᾶς προσελθεῖν τέμενος ἐξ ἐμῶν δόμων Eur. 781, 42. ὦ δέσποτ', ἔστρεψ' ἐκ δόμων ταχὺν πόδα Eur. 781, 43. λάτρις πενέστης ἀμὸς ἀρχαίων δόμων Eur. 830. οὔποτ' ἄνδρα χρὴ σοφὸν λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων Eur. 1063, 3. ἀλλ' εἰσορῶ γὰρ - Ἀκρίσιον πρὸ δόμων στείχοντα Eur. 1132, 62. τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων adesp. 57. ὑπερβαλλόμενοι δόμων (?) δόμους adesp. 127, 4. πτωχὸν γενέσθαι καὶ δόμων ἀνάστατον adesp. 394, 2. ξανθὴ δ' Ἀφροδισία λάταξ πᾶσιν ἐπικτυπεῖ δόμοις Soph. 255, 2. τίς ποτ' ἐν δόμοις βοή Soph. 1014. ᾧ δ' ἂν ἐν δόμοις χρόνον συνοικῇ πλεῖστον, οὗτος εὐγενής Eur. 22, 4. χρυσὸν μάλιστα βούλομαι δόμοις ἔχειν Eur. 142. κενοῖσιν ἐγκατοικήσεις δόμοις Eur. 188, 6. παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν θάλος Eur. 316, 7. τὸ δ' ἄρσεν ἔστηκ' ἐν δόμοις ἀεὶ γένος θεῶν πατρῴων καὶ τάφων τιμάορον Eur. 318, 3. καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις Eur. 338, 2. εἴπερ τροφὴ δόμοις παρῆν Eur. 402, 3. ⟨οὐδ' ἡδόμεσθ' ἀγῶνι δυστυ⟩χεῖ δόμοις Eur. 495, 45. δοῦλον εὐμενῆ δόμοις Eur. 529, 2. ἰώ, πύλαισιν ἤ τις ἐν δόμοις Eur. 623, 2. χρημάτων πολλῶν κεκλῆσθαι βούλεται πάτωρ δόμοις Eur. 659, 4. μή τιν' Ἥφαιστος χόλον δόμοις ἐπεισφρεὶς μέλαθρα συμφλέξῃ πυρί Eur. 781, 50. σὺ δ' ὡς πάρος - Δήμητρος κόρη Ἥφαιστέ τ' ἔστε πρευμενεῖς δόμοις ἐμοῖς Eur. 781, 60. ἐγκατάκλειστον δόμοις ἔργει Eur. 1132, 39. σοφῆς δὲ πενίας σκαιότητα πλουσίαν κρεῖσσον σύνοικόν ἐστιν ἐν δόμοις ἔχειν Crit. 5, 2 p. 774. μήτε κρωσσοὺς - λιπεῖν ἀφνεοῖσι δόμοισιν Aesch. 96, 3. τῆς αὐτῆς ὑός, ἣ πολλά μ' ἐν δόμοισιν εἴργασται κακά Aesch. 311, 2. εἰ δ' εὐτυχῶν τις - μηδὲν δό-

ἐμός: *οὐμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει Aesch. 159. Ζεὺς ἐμὸς ἄρχων, θνητῶν δ' οὐδείς Soph. 688, 3. οὐμὸς δ' ἀλέκτωρ αὐτὸν ἦγε πρὸς μύλην Soph. 767. ἀλλ' οὐμὸς αἰεὶ πότμος ἐν πυκνῷ θεοῦ τροχῷ κυκλεῖται Soph. 787. γαμβρὸς νομίζῃ καὶ πατὴρ σωτήρ τ' ἐμός Eur. 72, 2. κοὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα Eur. 484. Τυδεύς, τόκος μὲν Οἰνέως, πατὴρ δ' ἐμός Eur. 558, 3. ἄξιος δ' ἐμὸς γαμβρὸς κέκλησαι Eur. 647. ἐγὼ δ' ἐμός εἰμι Eur. 1005. Ποσειδῶ παῖς, πατὴρ δ' ἐμός Aristiae 1 p. 726. ἀσπὶς μὲν ἡμὴ λίγδος ὡς πυκνομματεῖ Soph. 32. οἶδεν δ' ἐμὴ τάδ' ἢ οὐκ ἐπίσταται δάμαρ Eur. 781, 55. ἦν μὲν γὰρ αὐτῷ σκοπὸς ἀεὶ *τοὐμὸν κάρα Aesch. 179, 3. ἤδη ἐστίν, πάτερ, ἐμὸν σκοπεῖν τοῦτο Eur. 953, 37. ὄρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ Aesch. 95. ἑκούσης τῆς ἐμῆς ψυχῆς Eur. 360, 44. φυγάς τ' ἐμαυτῷ προστιθεὶς πάτρας ἐμῆς Eur. 964, 3. ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας Eur. 1109, 8. οὐ τῆς ἐμῆς ἕκατι καρδίας φέρεις λόγους προσηνεῖς Serap. 1 p. 831. ἃ δ' ἐκπυθέσθαι τῆς ἐμῆς χρῄζεις φρενός adesp. 114. ὦ κακοὶ κἀνάξιοι τῆς ἐμῆς σπορᾶς adesp. 126, 2. ἐδίδαξα τῷμῷ λόγῳ Eur. 78, 3. ἔνθ' ἐμῷ κεῖται πόσει χρυσός Eur. 781, 9. μέχρι πόσου τὴν τῆς τύχης - σὺ λήψῃ πεῖραν ἐν τῷμῷ βίῳ Eur. 953, 33. τῇμῇ δὲ παιδὶ στέφανος εἰς μιᾶ μόνῃ πόλεως θανούσῃ τῆσδ' ὑπερδοθήσεται Eur. 360, 34. ἐμῇ γὰρ ἦλθε μητρὶ κεδνὸν εἰς λέχος Ζεύς Eur. 591, 3. περὶ δ' ἐμῷ κάρᾳ πληγεῖσ' ἐναυάγησεν Aesch. 180, 3. περὶ δ' ἐμῷ κάρᾳ κατάγνυται τὸ τεῦχος Soph. 140, 2. φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι Soph. 333. τίνος κατέκτας ἕνεκα παῖδ' ἐμὸν βλάβης Aesch. 181. αὐτός ἐστιν ὁ κτανὼν τὸν παῖδα τὸν ἐμόν Aesch. 350, 9. τοιόνδ' ἐμὸν Πλούτωνα Soph. 261. ἀλλ' ἴθι χαίρων καὶ πράξειας κατὰ νοῦν τὸν ἐμόν Soph. 278, 2. μέν' εἰς σοφιστὴν ἐμόν Soph. 820. μὴ τὸν ἐμὸν οἴκει νοῦν Eur. 144. εἰς τράχηλον ἐμβαλεῖν ἐμόν Eur. 706, 2. ἢ πολὺν πόνον βραχεῖ διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ Neophr. 2, 15 p. 731. τὸν δ' ἐμὸν δῆμον ποθῶν adesp. 41. ψυχὴν γὰρ ἄθλα κειμένην ἐμὴν ὁρῶ Eur. 67, 7. μητέρα κατέκταν τὴν ἐμήν Eur. 68. καὶ βουθυτεῖν γὰρ ἠξίους ἐμὴν χάριν Eur. 268. τάχ' ἂν - φιλημάτων ὄχλῳ ψυχὴν ἐμὴν κτήσαιτο Eur. 323, 3. ἐγὼ δὲ δώσω παῖδα τὴν ἐμὴν (τὴν ἐμὴν παῖδα ll.) κτανεῖν Eur. 360, 4. τὴν οὐκ ἐμὴν.. πλὴν φύσει δώσω κόρην θῦσαι πρὸ γαίας Eur. 360, 38. ἔνθα μητέρ' ὠδίνων ἐμὴν ἔλυσεν Εἰλείθυια Eur. 696, 6. τὴν δ' ἐμὴν ἐγὼ τύχην πειράσομαι - μὴ μετ' αἰσχύνης φέρειν Eur. 953, 43. τίς ὁ καινότροπος οὑτος μῦθος κατ' ἐμὰν ἦκεν ἀκουάν Eur. 1132, 50. τίς δεσπότιν ἐμὴν Δανάην βάξις ἔχει κατὰ πτόλιν Eur. 1132, 53. ψυχὴν ἐμὴν ὁρῶσ' ἔρημον Neophr. 2, 5 p. 731. τὴν ἐμὴν κάμνειν νόσον adesp. 334. πρὸς κέρδος ἕλκων τὴν ἐμὴν ἀτιμίαν adesp. 401,

2. φιλῶ τέκν', ἀλλὰ πατρίδ' ἐμὴν μᾶλλον φιλῶ adesp. 411. σὺ δ' εἰ τίς ὅστις τοὐμὸν ὤκτιρας πάθος Eur. 127, 2. τίς τοὐμὸν ὄνομα τοὐπονείδιστον βροτοῖς οὐκ οἶδε Eur. 922. βάυζε τοὐμὸν σῶμα βάλλουσα ψόγῳ adesp. 66. εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ, ἔχει λόγον καὶ τοῦτο Eur. 208. τἀμὰ γὰρ διοίχεται Aesch. 138, 2. τἀμὰ γὰρ καλῶς ἔχει adesp. 513, 2. Ῥαδάμανθυν, ὅς περ ἄφθιτος παίδων ἐμῶν Aesch. 99, 12. τί παίδων τῶν ἐμῶν μέτεστί μοι Eur. 360, 40. ἐξ ἐμῶν δόμων Eur. 781, 42. ὦ πατρῷα χθὼν ἐμῶν γεννητόρων Eur. 817. ἐκ δ' ἐμῶν (ἐκ δὲ τῶν ll.) λόγων ἑλοῦ τὰ βέλτιστα Eur. 1054. μηδεὶς ἄπειρος τῶν ἐμῶν εἴη φίλων ἔρωτος Zopyr. 1 p. 832. αἱ τύχαι δέ με μισθὸν λαβοῦσαι τῶν ἐμῶν τὰ φίλτατα σοφὴν ἔθηκαν Eur. 458, 2. μὴ ἐπὶ τοῖς ἐμοῖς λόγοις γνώμην ἔχοντες Eur. 286, 4. χρόνος ἔκρανε λέχος ἐμοῖσιν ἀρχέταις Eur. 773, 57. ἔστε πρευμενεῖς δόμοις ἐμοῖς Eur. 781, 60. δμωσὶν δ' ἐμοῖσιν εἶπον Eur. 815. λόγοισι τοῖς ἐμοῖς ἐναντίως πέπτωχ' ὁ τλήμων Eur. 816, 5. ἀλλ' οὐκ ἐν αὐγαῖς ταῖς ἐμαῖς ζόας ἔχει Aesch. 99, 13. ἐν στέγαις ἐμαῖς κωκυτὸς ἐμπέπτωκεν adesp. 387. τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς πηδῶν ἀθύροι Eur. 323. χρῆσθ', ὦ πολῖται, τοῖς ἐμοῖς λοχεύμασιν Eur. 360, 50. πρίν τινα συντυχίαν ἢ κτεάτεσσιν ἐμοῖς ἢ σώματι τῷδε γενέσθαι Eur. 791, 3. θὲς δ' ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους Soph. 540. σκάλμη γὰρ ὄρχεις βασιλὶς ἐκτέμνουσ' ἐμούς Soph. 563. ἄκουε τὰς ἐμὰς ἐπιστολάς Aesch. 293. ὃ δ' ἐνδατεῖται τὰς *ἐμὰς εὐπαιδίας Aesch. 350. ξύμπαντά τ' εἰπὼν θεοφιλεῖς ἐμὰς τύχας Aesch. 350, 3. ὃς μὴ πέπονθε τἀμά, μὴ βουλευέτω Soph. 814. ἐξ ἐμοῦ γὰρ τἀμὰ † μαθήσῃ κλύων Eur. 797, 3.

ἐμπαιδεύω: καὶ γὰρ ἐν κακοῖσιν ὧν ἐλευθέροισιν ἐμπεπαίδευμαι τρόποις Eur. 413, 5.

ἐμπαίζω: αὐτοῖς γὰρ ἐμπαίζουσιν οἱ μωροὶ βροτῶν Dionys. 11 p. 796.

ἔμπαλιν: ἐπεὶ δ' ὁ τίκτων πάντα καὶ τρέφων χρόνος τὸν θνητὸν ἠλλοίωσεν ἔμπαλιν βίον Mosch. 6, 19 p. 814.

ἐμπεδής (?): ἐμπεδὴς γαμόρος μάρψεν Ἀίδης adesp. 208.

ἐμπειρία: ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ Eur. 619, 3.

ἐμπερής Soph. 426.

ἐμπήγνυμι: γλῶσσαν οὐκ ἐμπήξετε adesp. 205.

ἔμπης: δαίνυσί τ' ἔμπης (?) συντίθησιν εἰς τέλος Sosith. 2, 11 p. 822.

ἐμπίπλημι: παροῦσα πανταχοῦ τὴν ὄψιν ἐμπλήσασ' ἀπήλλακται κακῶν Eur. 1063, 7. ἐμπλήσθητί μου πίνων κελαινὸν αἷμα Eur. 687. κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος ἢ πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα σκιρτῶσιν Eur. 362, 29.

ἐμπίπτω: εὖτ' ἂν Ἄρης νεοχμὸς ἐμπέσῃ στρατῷ Ion. 63, 2 p. 745. εἰ κερκίδων μὲν ἀνδράσιν μέλοι πόνος, γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί Eur. 522, 2. ἢ πόλεος ἐμπεσόν-

τες εἰς ἀρχήν τινα Eur. 362, 30. ἀεὶ δ' ἀοιδῶν μοῦνος ἐν στέγαις ἐμαῖς κωκυτὸς ἐμπέπτωκεν adesp. 387, 2.

ἐμπλέκω: σὲ τὸν αὐτοφυᾶ τὸν ἐν αἰθερίῳ ῥύμβῳ πάντων φύσιν ἐμπλέξαντα Eur. 593, 2.

ἐμπλευρῶ: ἐμπλεύρου Soph. 50.

ἔμπνους: ἔτ' ἔμπνουν Ἀίδης μ' ἐδέξατο Eur. 936.

ἐμποίνιμος: ἀφροδίσιος ‹γὰρ› ὅρκος οὐκ ἐμποίνιμος adesp. 525.

ἐμποιῶ: τἀξίωμα γὰρ νοσοῦν τὸ πρόσθε πολλοῖς οἶκτον *ἐμποεῖ βροτῶν Mosch. 9, 11 p. 816.

ἐμπολή: Αἰγυπτία ἐμπολή Eur. 932. λεπταῖς ἐπὶ ῥιπῖσιν ἐμπολὰς μακρὰς ἀεὶ παραρρίπτοντες Soph. 511, 4.

ἐμπόλημα: Μιλησία σμάραγδος ἐμπόλημα τιμαλφέστατον adesp. 109, 2.

ἐμπολῶ: πένητα ναίειν δόξαν ἠμποληκότα adesp. 181, 3.

ἐμπορεύομαι: ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται, κείνου ἐστὶ δοῦλος Soph. 789. ἦβῃ σφριγῶντες ἐμπορεύονται Ach. 4, 2 p. 747.

ἐμπρέπω: γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν Soph. 702.

ἐμφανής: πυρὸς τ' ἐρινὺς - ζῶσ' ἦδ' ἀνίησ' ἀτμὸν ἐμφανῆ Eur. 781, 2. ἐχρῆν - τοὺς - ἀδίκους τούσδε τὴν ἐναντίαν δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν Soph. 103, 9. ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα Soph. 103, 7. οὐδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ Soph. 837, 2. χρῆν γὰρ τύχας μὲν τὰς μάτην πλανωμένας μηδὲν δύνασθαι, τἀμφανῆ δ' ὑψηλ' ἄγειν Eur. 1048, 3. ἐπειδὴ τἀμφανῆ μὲν οἱ νόμοι ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ Crit. 1, 9 p. 771.

ἐμφανίζω: ὃ δ' αὐτὸς αὑτὸν † ἐμφανιεῖ σοι λέγων Eur. 797, 4.

ἐμφανῶς: κλέπτων δ' ὅταν τις ἐμφανῶς ἐφευρεθῇ Soph. 844.

ἐμφερής: ὡς Πριαμίδαισιν ἐμφερὴς ὁ βουκόλος adesp. 286. ἣν ποθ' ἡνίκα θηρσὶν διαίτας εἶχον ἐμφερεῖς βροτοί Mosch. 6, 4 p. 813.

ἔμφρουρος: ἐν παρθενῶσι - δίδωσιν Ἀργείαισιν ἔμφρουρον κόραις Eur. 1132, 23.

ἔμφρων: καὶ τοῦτο τοὔπος ἐστὶν ἀνδρὸς *ἔμφρονος adesp. 460. ὅταν δ' ἐς ἥβην ἐξικώμεθ' *ἔμφρονες Soph. 524, 6.

ἐμφύρω: ἵπποι δ' ἐφ' ἵπποις ἦσαν *ἐμπεφυρμένοι Aesch. 38, 2.

ἔμφυτος: ὡς ἔμφυτος μὲν πᾶσιν ἀνθρώποις κάκη Eur. 297. δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον, σκαιοῖσιν εἶναι Eur. 776. τὴν ἁμαρτίαν ἔχει εἰς γῆρας αὐτοῦ τοῖς τρόποισιν ἔμφυτον Eur. 1027, 5. οὐκ ἔστ' ἀποστροφὴ βροτοῖς τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν Eur. 444, 2. τὰς γὰρ ἐμφύτους ὀρθῶς παγείσας.. φρένας οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν Carc. 6 p. 799.

ἐμφύω: πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά Soph. 863.

ἔμψυχος: τήν τ' ἐμψύχων βρῶσιν ἐδεστῶν πεφύλαγμαι Eur. 472, 18.

ἐν: ὃ μὲν ἐν χερσὶν βόμβυκας ἔχων Aesch. 57, 2. Ἡφαιστοτυκὲς δέπας, ἐν τῷ διαβάλλει Aesch. 69, 3. ὠκεανὸν περάσας ἐν δέπᾳ χρυσηλάτῳ Aesch. 74, 3. ὃ μέν τις Λέσβιον φατνώματι κύμ' ἐν τριγώνοις ἐκπεραινέ-

τω ῥυθμοῖς Aesch. 78, 2. ἀλλ' οὐκ *ἐν αὐγαῖς ταῖς ἐμαῖς ζόας ἔχει Aesch. 99, 13. σεμνοκόπτει τοῦτ' ἐν ἀνδρείᾳ στέγῃ (?) Aesch. 124, 2. αὔρας ὑπηκόοισιν ἐν ψυκτηρίοις Aesch. 146. ὧν κατ' Ἰδαῖον πάγον (al. οἷς ἐν Ἰδαίῳ πάγῳ) Διὸς πατρῴου βωμός ἐστ' ἐν αἰθέρι Aesch. 162, 3. εἴ μοι γένοιτο φᾶρος ἴσον ἐν οὐρανῷ (?) Aesch. 216. καὶ ψευδόδειπνα πολλὰ μαργώσης γνάθου ἐρρυσιάσθη στόματος ἐν πρώτῃ χαρᾷ Aesch. 258, 2. πέλλυτρ' ἔχουσιν εὐθέτοις ἐν ἀρβύλαις Aesch. 259. ἐν μανοστήμοις πέπλοις Aesch. 297. Αἰθιοπίδος γῆς - ἐν ᾗ πυρωτὸν φέγγος ἐκλάμψαν φλόγα τήκει πεταίαν χιόνα Aesch. 300, 4. πεποικίλωκε κἀποδηλώσας ἔχει θρασὺν πετραῖον ὄρνιν ἐν παντευχίᾳ Aesch. 304, 3. ἐγὼ δὲ χοῖρον - τόνδ' ἐν ῥοθοῦντι κριβάνῳ θήσω Aesch. 309, 2. ἢ πολλά μ' ἐν δόμοισιν εἴργασται κακά Aesch. 311, 2. ἐν διρρυμίᾳ πῶλοι Aesch. 324. αὐτὸς ἐν θοίνῃ παρών Aesch. 350, 7. πολλὰ τραύματ' ἐν στέρνοις λαβών Aesch. 362. ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ Aesch. 362, 3. βωμὸν τόνδε - κύκλῳ περίστητ' ἐν λόχῳ τ' ἀπείρονι εὔξασθε Aesch. 379, 2. οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν Aesch. 452. ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις Aesch. 462. ὥσπερ γὰρ ἐν φύλλοισιν αἰγείρου μακρᾶς, κἂν ἄλλο μηδέν, ἀλλὰ τοὐκείνης κάρα κινεῖ τις αὔρα Soph. 22. τετράπτεροι γὰρ νῶτον ἐν δεσμώμασιν σφηκοὶ κελαινόρινες Soph. 26. ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ Soph. 34. ἐν δεσμοῖσι δραπέτης ἀνὴρ κῶλον ποδισθεὶς πᾶν πρὸς ἡδονὴν λέγει Soph. 60. οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει Soph. 102, 3. ὡς ὁ Σίσυφος πολὺς ἔνδηλος ἐν σοί Soph. 142, 2. σὺ δ' ἐν θρόνοισι γραμμάτων πτυχὰς ἔχων νέμε Soph. 144. οὔτ' ἐν χεροῖν τὸ πῆγμα σύμφορον μένειν Soph. 153, 7. χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ τί με παρηγορεῖ Λάκωνος ὀσμᾶσθαι λόγου Soph. 178. ‹ὦ› γλῶσσ', ἐν οἷσιν ἀνδράσιν τιμὴν ἔχεις Soph. 192. νικᾷ δ' ἐν πόλει τὰ χείρονα Soph. 193, 2. μαγάδιδες τά τ' ἐν Ἕλλησιν ξόαν' ἡδυμελῆ Soph. 217, 2. σωτηρίας γὰρ φάρμακ' οὐχὶ πανταχοῦ βλέψαι πάρεστιν, ἐν δὲ τῇ προμηθίᾳ Soph. 281, 2. ἐν Διὸς κήποις ἀροῦσθαι μόνον εὐδαίμονας ὄλβους Soph. 297. ὄρνιθος ἦλθ' ἐπώνυμος πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις Soph. 300, 2. πιστοί με κωχεύουσιν ἐν φορᾷ δέμας Soph. 304. ἐν ᾗ παύσετ' ἀμερῶν μόχθων Soph. 340. νῦν δ' ἐν πύλαισιν Αἰνέας ὁ τῆς θεοῦ πάρεστι Soph. 344. καί μοι τρίτον ῥίπτοντι Δωτιεὺς ἀνὴρ ἀγχοῦ προσῆψεν Ἔλατος ἐν δισκήματι Soph. 349, 2. κάτω κρέμανται σπίζ' ὅπως ἐν ἔρκεσιν Soph. 398. καὶ τὸν ἐν Δωδῶνι παῦσον δαίμον' εὐλογούμενον Soph. 423. τὸν *ἐν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν Soph. 513, 5. ἣ δ' ἄρ' ἐν σκότῳ λήθουσά με ἔσαιν' ἐρινύς Soph. 519, 3. αἳ νέαι μὲν ἐν πατρὸς ἥδιστον - ζῶμεν ἀνθρώπων βίον Soph. 524, 3. ἐν δὲ ποικίλῳ φάρει Soph. 527. ὅστις γὰρ ἐν κακοῖσι θυμωθεὶς βροτῶν μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον Soph. 530, 3. θὲς δ' *ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους Soph. 540.

ἡμεῖς δ' ἐν ἄντροις, ἔνθα Σαρπηδὼν πέτρα Soph. 580. ἐν γὰρ βραχεῖ καθεῖλε κώλίγῳ χρόνῳ πάμπλουτον ὄλβον δαίμονος κακοῦ δόσις Soph. 588, 4. μάνδραις ἐν ἱππείαισιν Soph. 598, 3. σπασθεῖσα δ' ἐν λειμῶνι ποταμίων ποτῶν ἴδῃ σκιᾶς εἴδωλον Soph. 598, 5. πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ Soph. 600. πολλῶν δ' ἐν πολυπληθίᾳ πέλεται οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς οὔτ' ἀχρείων τὸ λίαν κακός Soph. 606. οὐ γάρ ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις, ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα λάγδην πατεῖται Soph. 622, 2. οὐδ' ἂν τὸ Βοσπόρειον ἐν Σκύθαις ὕδωρ Soph. 641. πῶς ἂν οὐκ ἂν ἐν δίκῃ θάνοιμ' ἄν Soph. 673. τὸν θεὸν τοιοῦτον ἐξεπίσταμαι, σοφοῖς μὲν αἰνικτῆρα - σκαιοῖς δὲ φαῦλον κἀν βραχεῖ διδάσκαλον Soph. 704, 3. τὸ δ' ἔγχος ἐν ποσὶν κυλίνδεται Soph. 713. ὕβρις - ἐν νέοις ἀνθεῖ τε καὶ πάλιν φθίνει Soph. 718, 3. ὁ Τυδεὺς - ἐν Ἄργει ξεῖνος ὢν οἰκίζεται Soph. 731, 4. γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ Soph. 751. βαρεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ μόλις δι' ὠτὸς ἔρχεται τρυπωμένου Soph. 774. λάμπει γὰρ ἐν χρείαισιν ὥσπερ εὐπρεπὴς χαλκός Soph. 780. ἀλλ' οὐμὸς αἰεὶ πότμος ἐν πυκνῷ θεοῦ τροχῷ κυκλεῖται Soph. 787. ὥσπερ σελήνης ὄψις εὐφρόνας δύο στῆναι δύναιτ' ἂν οὔποτ' ἐν μορφῇ μιᾷ Soph. 787, 4. ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς ἐν χειρὶ θήγει, ἐν τάχει δ' ἀμβλύνεται Soph. 808, 2. ἐν τοῖσιν ἵπποις τοῖσιν ἐκλελεγμένοις ἥδιον ἂν χωροῖμεν Soph. 818. ἤδη γὰρ ἕδρᾳ Ζεὺς ἐν ἐσχάτῃ θεῶν Soph. 821. αἰδὼς γὰρ ἐν κακοῖσιν οὐδὲν ὠφελεῖ Soph. 842. ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται Soph. 846, 3. ἐν κείνῃ τὸ πᾶν σπουδαῖον, ἡσυχαῖον, εἰς βίαν ἄγον Soph. 855, 5. χέρσου δ' ἔνεστιν ἐν τετρασκελεῖ γονῇ· νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερόν, ἐν θηρσίν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω Soph. 855, 10. 11. 12. τίς δ' οἶκος ἐν βροτοῖσιν ὠλβίσθη ποτὲ γυναικὸς ἐσθλῆς χωρὶς ὀγκωθεὶς χλιδῇ Soph. 856. οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος Soph. 864. ὅστις γὰρ ἐν κακοῖσιν ἰμείρει βίου Soph. 866. νὴ τοὺς ἐν Ἄργει καὶ κατὰ Σπάρτην θεούς Soph. 871, 2. τίς ποτ' ἐν δόμοις βοή Soph. 1014. τί σε μάτηρ ἐν δεκάτᾳ τόκου ὠνόμαζεν Eur. 2. πλείστη γὰρ ἀρετὴ τοῦθ' ὑπάρχον ἐν βίῳ Eur. 15, 3. λαμπροὶ δ' ἐν αἰχμαῖς Ἄρεος ἔν τε συλλόγοις, μή μοι τὰ κομψὰ ποικίλοι γενοίατο Eur. 16. τὴν δ' εὐγένειαν - μή μοι λέγε, ἐν χρήμασιν τόδ' ἐστί - ᾧ δ' ἂν ἐν δόμοις χρόνον συνοικῇ πλεῖστον, οὗτος εὐγενής Eur. 22, 2. 4. ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους Eur. 28. οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια Eur. 53. μισῶ σοφὸν ἐν λόγοισιν Eur. 61. οὐδὲ πυνθάνεσθε ταῦτ', ὦ παρθένοι, τὰν τῇ πόλει Eur. 66. ἀτρέκεια δ' ἄριστον ἀνδρὸς ἐν πόλει δικαίου πέλει Eur. 91. τῶν γὰρ δυναστῶν πλεῖστος ἐν πόλει λόγος Eur. 94. προσαυδῶ σὲ τὰν ἐν ἄντροις Eur. 118. καὶ βωμὸς αὐτῆς ἔστ' ἐν ἀνθρώπου φύσει Eur. 170, 2 οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ πόλεμος ἐν ἀστοῖς

Eur. 173, 2. τί δῆτ' ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες οὐ ζῶμεν ὡς ἥδιστα μὴ λυπούμενοι Eur. 196, 4. δεῖ γὰρ ἄνδρ' εἰθισμένον ἀκόλαστον ἦθος † γαστρὸς ἐν ταὐτῷ μένειν Eur. 201, 4. κέρδος δ' ἐν κακοῖς ἀγνωσία Eur. 205, 3. ἐν τοῖς τέκνοις γὰρ ἀρετὴ τῶν εὐγενῶν ἔλαμψε Eur. 232. κρείσσω γὰρ οὔτε δοῦλον οὔτ' ἐλεύθερον τρέφειν ἐν οἴκοις ἀσφαλὲς τοῖς σώφροσιν Eur. 251, 2. ὅταν ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκῳ (al. ἐν οἰκτῳ) Eur. 263, 3. οἳ τυραννίδι χαίρουσιν ὀλίγῃ τ' ἐν πόλει μοναρχίᾳ Eur. 275, 2. λαμπροὶ δ' ἐν ἤβῃ καὶ πόλεως ἀγάλματα φοιτῶσι Eur. 282, 10. ἐν χεροῖν δίσκους ἔχοντες Eur. 282, 19. φησίν τις εἶναι δῆτ' ἐν οὐρανῷ θεούς Eur. 286. στὰς ἐν μέσοισιν εἶπε Eur. 305, 2. παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν θάλος Eur. 316, 7. τὸ δ' ἄρσεν ἔστηκ' ἐν δόμοις ἀεὶ γένος θεῶν πατρῴων καὶ τάφων τιμάορον Eur. 318, 3. ἐν τοῖς δ' ἔχουσιν † ἡβητὴς πέφυχ' ὅδε Eur. 322, 5. καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις Eur. 338, 2. ἔν γ' ἐμοὶ κρίνοιτ' ἂν οὐ καλῶς φρονεῖν ὅστις Eur. 347, 3. τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται, ἥδιον ἐν βροτοῖσιν Eur. 360, 2. ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς Eur. 360, 12. εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θηλειῶν στάχυς ἄρσην Eur. 360, 22. ἀλλ' ἔμοιγ' εἴη τέκνα ⟨ἃ⟩ καὶ μάχοιτο - μὴ σχήματ' ἄλλως ἐν πόλει πεφυκότα Eur. 360, 27. καὶ μὴν θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα τύμβον τε κοινὸν ἔλαχον εὔκλειάν τ' ἴσην Eur. 360, 32. ἐκεῖνο δ' οὐ ⟨τὸ⟩ πλεῖστον ἐν κοινῷ μέρος Eur. 360, 43. τρίαιναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις Eur. 360, 47. ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία - ἥ τ' ἀτιμία βίου. φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις κέκτησο Eur. 362, 16. 18. τοὺς πονηροὺς μήποτ' αὔξαν' ἐν πόλει Eur. 362, 28. ἐν ἀστρώτῳ πέδῳ εὕδουσι Eur. 367. οὗτος δ' ἔχει σημεῖον ἐν μέσῳ σαφές Eur. 382, 4. ταύτας διείργει δ' ἐν μέσαις ἄλλη μία Eur. 382, 6. τὸ πέμπτον δ' οὐκ ἐν εὐμαρεῖ φράσαι Eur. 382, 10. ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως Eur. 388. ἀλλ' εἴπερ ἔστιν ἐν βροτοῖς ψευδηγορεῖν πιθανά Eur. 396. ἔν τε τοῖσι γὰρ καλοῖς πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον Eur. 401, 3. ποῦ καί ποτ' οἰκεῖ σώματος λαχὼν μέρος; ἐν χερσὶν ἢ σπλάγχνοισιν ἢ παρ' ὄμματα Eur. 403, 4. πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων Eur. 403, 7. ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἄγειν βίον Eur. 408. καὶ γὰρ ἐν κακοῖσιν ὧν ἐλευθέροισιν ἐμπεπαίδευμαι τρόποις Eur. 413, 4. κοίλοις ἐν ἄντροις ἄλυχνος, ὥστε θήρ, μόνος Eur. 421. ἔχω - διδάσκαλον ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον Eur. 430, 2. ἔγωγε φημὶ καὶ νόμον γε μὴ σέβειν ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον Eur. 433, 2. ἐν μέσῳ τοῦ οὐρανοῦ τε καὶ χθονός Eur. 448, 2. εἰ μὲν γὰρ οἰκεῖ νερτέρας ὑπὸ χθονὸς ἐν τοῖσιν οὐκέτ' οὖσιν Eur. 450, 2. αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται, τέκνον Eur. 457. πᾶσαν ἐν ἔργῳ περιτεμνόμενον σοφίαν Eur. 473, 2. ἐν γέλωτι δ' εὐπρεπεῖς οἰκοῦσιν οἴκους Eur. 492, 5. κἀν τῷδ' ἐξεφαινόμεσθα δή Eur.

495, 5. ὅστις δ' ἄμεικτον πατέρ' ἔχει νεανίας στυγνόν τ' ἐν οἴκοις Eur. 500, 2. τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν δώμασιν δουλοῖ τὸν ἄνδρα Eur. 502, 3. ἐν Διὸς δέλτου πτυχαῖς γράφειν τιν' αὐτά Eur. 506, 2. Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας χθονὸς ἐν ἀντιπόρθμοις πεδί' ἔχουσ' εὐδαίμονα Eur. 515, 2. δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ ἀριθμόν Eur. 519. τῶν ἐν δόμοισιν ἡμερευουσῶν ἀεί Eur. 525, 2. οἱ δὲ Θεστίου παῖδες τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδός, τὸ δ' ἐν πεδίλοις Eur. 530, 8. τὸ μὲν γὰρ ἐν φῶ, τὸ δὲ κάτω σκότος Eur. 534. τὸ μὲν γὰρ αὐτῶν σκαιόν - τὸ δ' - ἀργόν· ἐν δ' ἀμφοῖν νόσος Eur. 552, 4. ἀλλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ θνητοῖς ὀδυρμοί Eur. 573. στρατηλάται τᾶν μυρίοι γενοίμεθα, σοφὸς δ' ἂν εἷς τις ἢ δύ' ἐν μακρῷ χρόνῳ Eur. 581, 2. τοῦ γὰρ δικαίου κἀν (καὶ ll.) θεοῖς ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου Eur. 585. σὲ τὸν αὐτοφυᾶ τὸν ἐν αἰθερίῳ ῥύμβῳ πάντων φύσιν ἐμπλέξαντα Eur. 593. ὅταν μὲν ᾖς παῖς, μὴ πλέον παιδὸς φρονεῖν, ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν Eur. 603, 3. οὐκ ἔστι τὰ θεῶν ἄδικ', ἐν ἀνθρώποισι δὲ κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει Eur. 606. ἐν τοῖσι μὲν δεινοῖσιν ὡς φίλοι φίλων Eur. 608. ἰώ, πύλαισιν ἤ τις ἐν δόμοις Eur. 623, 2. κοσσάβων ἀραγμὸς Κύπριδος προσῳδὸν ἀχεῖ μέλος ἐν δόμοισιν Eur. 631, 3. ἐν κοινῷ ψέγειν ἅπασι κεῖσθαι δυστυχές Eur. 635, 2. ἡρμήνευσεν ἂν τὸν παῖδ' ἐν - κύμασιν τεθνηκέναι Eur. 636, 6. οὐκ οὖν ἔσθ' ὁ παῖς ἐν οἴδμασιν Eur. 636, 8. ἐν τῷ γὰρ ὅλβῳ φαυλότης ἔνεστί τις Eur. 641, 2. τὰ χρήματα - ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει Eur. 642, 3. ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς Eur. 644. πολλοὺς - γυνὴ κατῆσχυν' ἐν δόμοισι νηπία Eur. 662, 2. κλίθητι καὶ πίωμεν· ἐν τούτῳ δέ μου τὴν πεῖραν εὐθὺς λάμβανε Eur. 691. οὐδὲν δίκαιόν ἐστιν ἐν τῷ νῦν γένει Eur. 695, 2. εἰ πτωχὸς ὢν τέτληκ' ἐν ἐσθλοῖσιν λέγειν Eur. 703, 2. πέλεκυν ἐν χεροῖν ἔχων Eur. 706. καθῆσθ' ἂν ἐν δόμοισιν Eur. 709. ἀσύνετος ὅστις ἐν φόβῳ μὲν ἀσθενής Eur. 735. ἡ δ' ἐν ὀφθαλμοῖς χάρις ἀπόλωλε Eur. 736, 5. ὁ γὰρ ἐν καιρῷ μόχθος πολλὴν εὐδαιμονίαν τίκτει Eur. 745. Διόνυσος, ὃς - ἐν πεύκαισι Παρνασὸν κάτα πηδᾷ χορεύων Eur. 752, 2. γραπτούς ‹τ' ἐν αἰετ›οῖσι πρόσβλεψον τύπους Eur. 764, 2. μέλπει δ' *ἐν δένδρεσι λεπτὰν ἀηδὼν ἁρμονίαν Eur. 773, 23. ἔχειν χρὴ στόμ' ἐν ἡσυχίᾳ Eur. 773, 62. παιδὸς πατρός τε τῇδ' ἐν ἡμέρᾳ λέχη κρᾶναι θελόντων Eur. 773, 74. πυρός τ' ἐρινὺς ἐν νεκροῖς Eur. 781. Ἀπόλλων δ' ἐν βροτοῖς ὀρθῶς καλῇ Eur. 781, 12. τῷ τε νεόζυγι σῷ πώλῳ, τὸν ἐν αἰθέρι κρύπτεις σῶν γάμων γέννναν Eur. 781, 21. ἐν τοῖσιν ἠδίστοισι Φαέθοντος γάμοις Eur. 781, 51. ἐν τοῖσι μώροις τοῦτ' ἐγὼ κρίνω βροτῶν, ὅστις Eur. 784. φίλος δέ μοι ἄλουτος ἐν φάραγξι σήπεται νέκυς Eur. 786, 2. ᾧ παρῆν ἀπραγμόνως ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης Eur. 787, 2. τοὺς γὰρ περισσοὺς - τιμῶμεν ἄνδρας τ' ἐν πόλει νομίζομεν Eur. 788,

3. ἐν γῇ δ' ὁ φόρτος Eur. 793, 2. ὁρᾶτε δ' ὡς κἀν θεοῖσι κερδαίνειν καλόν, θαυμάζεται δ' ὁ πλεῖστον ἐν ναοῖς ἔχων χρυσόν Eur. 794, 1. 2. ὦ πλοῦθ', ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν, πόνοι δὲ κἀν σοὶ καὶ φθοραὶ πολλαὶ βίου ἕνεισι Eur. 813, 2. γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει ἥδιστόν ἐστι Eur. 822. καὶ γὰρ πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει Eur. 834. ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει Eur. 852. μήτ' ἐν θαλάσσῃ κοινόπλουν στέλλοι σκάφος Eur. 852, 5. ἐν ⟨αὐτὸς⟩ αὑτῷ πάντα συλλαβὼν ἔχει Eur. 862, 2. φήμη τὸν ἐσθλὸν κἀν μυχοῖς δείκνυσι γῆς Eur. 865. οὐκ ἐν γυναιξὶ τοὺς νεανίας χρεὼν ἀλλ' ἐν σιδήρῳ κἀν ὅπλοις τιμὰς ἔχειν Eur. 880, 1. 2. ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶντι δ' οὔ Eur. 895. εἴπερ ἔστ' ἐν οὐρανῷ Ζεύς Eur. 900. ἡδὺ δέ - συσκυθρωπάζειν πόσει ἄλοχον ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν μέρος Eur. 909, 10. σὺ γὰρ ἔν τε θεοῖς τοῖς οὐρανίδαις σκῆπτρον τὸ Διὸς μεταχειρίζεις Eur. 912, 6. ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις Eur. 941, 2. Ἑστίαν δέ σ' οἱ σοφοὶ βροτῶν καλοῦσιν ἡμένην ἐν αἰθέρι Eur. 944, 2. μέχρι πόσου τὴν τῆς τύχης, πάτερ, σὺ λήψῃ πεῖραν ἐν τῷμῷ βίῳ Eur. 953, 33. ἐν ἐσθλοῖς δὲ καθήσεσθ' ἄνολβοι Eur. 960, 2. αὐτὸς αἰεὶ μίμνε τὴν σαυτοῦ φύσιν σῴζων βεβαίως ὥστε χρυσὸς ἐν πυρί Eur. 963, 5. ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός Eur. 1018. ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν Eur. 1030. τὸ δὲ σύντροφον ἀδύ τι θνητοῖς ἐν βίῳ χωρεῖ Eur. 1046, 4. οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον Eur. 1048. ὡς ἄπιστόν ἐστ' ἔρως κἀν τῷ κακίστῳ τῶν φρενῶν οἰκεῖν φιλεῖ Eur. 1054, 3. οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις οὔτ' εὐτυχοῦσι Eur. 1056. οὔποτ' ἄνδρα χρὴ σοφὸν λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων Eur. 1063, 3. ἐν δ' ἀφθόνοισι τοῖσδ' ἀναστρωφωμένη Eur. 1063, 5. ἢ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα Eur. 1066. ὅστις δὲ λύπας φησὶ πημαίνειν βροτούς - οὐκ ἐν σοφοῖσιν ἔστιν Eur. 1070, 3. ὀρθαῖς ἐν τύχαις βεβηκότα Eur. 1073. οἱ δ' ὑπέρφρονες - ἔλεγχον ἔλαβον τῆς τύχης ἐν τῷ παθεῖν Eur. 1073, 7. κἀν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς Eur. 1078, 2. ὡς οὐδὲν ἔστι χεῖρον ἐν θνητῷ γένει Eur. 1080, 4. οὔτ' ἐν πνοαῖσι χείματος δυσχείμερον Eur. 1083, 7. νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορός Eur. 1109, 4. Ζεὺς ἐν θεοῖσι μάντις ἀψευδέστατος Eur. 1110. δόμοι μὲν οἵδ' εὔπυργά τ' ἐρύματα χθονὸς οὐκ ἐν πολυχρύσοισιν ἤσκηται χλιδαῖς Eur. 1132, 2. πῶς ἂν γένοιτο σπέρμα παιδὸς ἐν δόμῳ Eur. 1132, 8. ἐν παρθενῶσι - δίδωσιν Ἀργείαισιν ἔμφρουρον κόραις Eur. 1132, 22. ὡς ἄπυρος χρυσὸς γεγὼς - διὰ στέγους ῥεύσειεν ἐν χερσὶν κόρης Eur. 1132, 32. πατὴρ δέ μιν κλήσας ἐν παρθενῶσι σφραγῖσι δέμας φυλάσσει Eur. 1132, 59. οὐ μὴ προδώσεις, θυμέ, σαυτὸν ἐν κακοῖς Neophr. 2, 9 p. 731. Σαρδιανὸν κόσμον εἰδέναι χροὸς ἄμεινον ἢ τὸν Πέλοπος ἐν νήσῳ τρόπον Ion. 24, 3 p. 736. οἶνος οὐκ ἔνι ἐν τῷ σκύφει Ion. 26, 2 p. 737. ἀλλ' ἔν τε

χέρσῳ τὰς λέοντος ἤνεσα ἢ τὰς ἐχίνου μᾶλλον οἰζυρὰς τέχνας Ion. 38 p. 739. κακὴ γὰρ ἡ δελφῖνος ἐν χέρσῳ βία Ion. 58 p. 744. ἐν κενῇ γὰρ γαστρὶ τῶν καλῶν ἔρως οὐκ ἔστι Ach. 6 p. 748. ὅλπη παρῃωρεῖτο χρίματος πλέα τὸν Σπαρτιάτην γραπτὸν κύρβιν ἐν διπλῷ ξύλῳ Ach. 19, 3 p. 751. ἐν οὐ πρέποντι τοῖς λόγοισι χρώμενος Agath. 13, 2 p. 766. οὐκ ἦν ἂν ἀνθρώποισιν ἐν βίῳ φθόνος Agath. 24 p. 768. ὃς πᾶν τὸ λεχθὲν ἐν βροτοῖς ἀκούσεται Crit. 1, 20 p. 771. καλῶς τε τῷ λόγῳ κατῴκισεν τὸν δαίμονα καὶ (?) ἐν πρέποντι χωρίῳ Crit. 1, 39 p. 772. σκαιότητα πλουσίαν - σύνοικον - ἐν δόμοις ἔχειν Crit. 5, 2 p. 774. θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα ἢ τοῖς ἀνάγκης (?) ἐν γένει πεφυκόσιν Dicaeog. 1, 3 p. 775. ἐν ἑκατόν ἐστιν εὑρεῖν ἄνδρ' ἕνα Astyd. 8, 4 p. 780. οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ὅτι οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται Chaer. 21, 1. 2 p. 788. ἡγοῦ δ' ἐν ὀργῇ πάντα γίγνεσθαι κακά Chaer. 28 p. 789. βούλου γονῆς πρώτιστον ἐν τιμαῖς ἔχειν Chaer. 34 p. 790. ἐν δὲ δόσει (?) βροτῶν ἡδὺς συνοικεῖν καί τιν' εἰληχὼς χάριν Chaer. 36, 3 p. 790. ἐν χειμῶνι δ' οἴχεται σὺν τῷ ἀνέμῳ κεκαρμένη Chaer. 41, 2 p. 791. ἐπελθεῖν πᾶσαν ἐν κύκλῳ χθόνα Carc. 5, 5 p. 799. πλοῦτος - μέγιστον ζῆλον ἐν βροτοῖς ἔχει Carc. 10, 2 p. 800. σαφὴς μὲν ἐν βροτοῖσιν ὑμνεῖται λόγος Theod. 1 p. 801. τίνουσι ποινὰς ὑστέροισιν ἐν χρόνοις Theod. 8, 9 p. 804. ὅπου κατηγορεῖ μὲν ἐν λόγοισί μου γυνή Theod. 10, 5 p. 805. ἅπαντ' ἐν ἀνθρώποισι γηράσκειν ἔφυ Theod. 12 p. 805. ἀλλ' ἐν μὲν γενέσει πρωτοσπόρῳ ἐστὶ μεγίστη, ἐν δὲ μέσαις ἀκμαῖς μικρά Theod. 18, 3. 4 p. 807. καὶ γὰρ ἐν νάπαις βραχεῖ πολὺς σιδήρῳ κείρεται πεύκης κλάδος Mosch. 1 p. 812. μηδ' ἐνόφθαλμοῖς ἐᾶν τῆς πρόσθε θοίνης μνημόνευμα δυσσεβοῦς Mosch. 6, 32 p. 814. πάντων μέγιστον τῶν ἐν ἀνθρώποις βάρος Mosch. 8, 4 p. 815. δεῖπνον γὰρ οὔτ' ἐν Καρίᾳ - οὔτ' ἐν Ῥόδῳ τοιοῦτον οὔτ' ἐν Λυδίᾳ κατέχω δεδειπνηκώς Lycophr. 1, 3. 4 p. 817. τῇ μιᾷ δ' ἐν ἡμέρᾳ δαίνυσί τ' ἔμπης (?) συντίθησιν εἰς τέλος Sosith. 2, 10 p. 822. καὶ τοῦ ποτοῦ προύτεινεν ὡς ἂν ἐν θέρει πλέον Sosith. 2, 14 p. 822. τίς δ' ἔστ' ἀνάγκη δυστυχεῖν ἐν πλείοισιν, ἐξὸν σιωπᾶν κἀν σκότῳ κρύπτειν τάδε Aesch. Alex. 1, 1. 2 p. 824. ὡς ἐν ἀνθρώποις ἄρα οὐ χρυσός, οὐ τυραννίς - τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονάς Apollon. 1 p. 825. τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα Biot. 1 p. 825. ἐν κήδει γὰρ ὧν ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν Hippoth. 3, 2 p. 828. ἐν βροτοῖς αὐδώμενος adesp. 20. ποντίῳ σάλῳ κάμνοντας ἐν χειμῶνι καὶ ναυαγίαις adesp. 64, 2. λαβὼν ἀριστόνικον ἐν μάχῃ κράτος adesp. 97. ἄλλοις ἐν ἐσθλοῖς τόνδ' ἀπωθοῦνται ψόγον adesp. 105. ἀρετὴ τῶν ἐν ἀνθρώποις μόνη οὐκ ἐκ θυραίων τἀπίχειρα λαμβάνει adesp. 116. ἄτρυτος ἐν πόνοις adesp. 163. δίπλαζ' ἕκαστον κῶλον ἐν τάχει τάφου adesp. 166, 3. τὴν εὐγένειαν - ἐν τοῖς καλοῖς φρονοῦσιν εὑρήσεις βροτῶν adesp. 171, 2. ἐν

γῆς φίλης μυχοῖσι κρυφθῆναι καλόν adesp. 281. λακιστὸν ἐν πέτραισιν εὑρέσθαι μόρον adesp. 291. ἔνεισιν ἐν δειλοῖσιν ἀνδρεῖοι λόγοι adesp. 299. ἐν τοῖς ἐμαυτοῦ δικτύοις ἁλώσομαι adesp. 300. ἀκύματος δὲ πορθμὸς ἐν φρίκῃ γελᾷ adesp. 336. ἐάν τι δέλτος ἐν πτυχαῖς πόντου πάθῃ adesp. 348. ἀεὶ δ' ἀοιδῶν μοῦνος ἐν στέγαις ἐμαῖς κωκυτὸς ἐμπέπτωκεν adesp. 387. οὐκ ἔστ' ἐν ἄντροις λευκός, ὦ ξέν', ἄργυρος adesp. 389. καὶ πρὸς παθόντων κἀν κακοῖσι κειμένων σοφὴ κέκλημαι adesp. 414, 2. ἐν πρώτοις ἄγω adesp. 445. ἐν τῷ λαλεῖν δεῖ μηδὲ μηκύνειν λόγον adesp. 457. θεὸς μόνος πέφυκεν ἐν βροτοῖς μέγας adesp. 479. μόνη γὰρ ἐν θεοῖσιν οὐ δεσπόζεται μοῖρ' οὐδ' * ἐν ἀνθρώποισιν adesp. 503, 1. 2. ἐν τοῖς κακοῖσι δ' εὐγένει' ὅταν παρῇ τραχεῖα κώξύθυμος adesp. 524. γνῶμαι γὰρ ἔργων τῶν ἐν ἀνθρώποις τροφοί adesp. 539. οὐκ ἐν γυναιξὶ φύεται πιστὴ χάρις adesp. 543. τοὺς εὖ γεγονότας - κἀν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας adesp. 545, 2. οὐδ' ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει - ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα. [τὸ μήτε λίαν ἐν ταπεινῷ τῆς τύχης μέρει φέρεσθαι μήτ' ἐν ὑψηλῷ πάλιν] adesp. 547, 3. 6. 7. 8. πολύς τοι μόχθος ἐν μακρῷ χρόνῳ adesp. 551. — cf. ἐγκίρνημι. — ἐν (?) δ' ἀλγύνεται φρονῶν Eur. 285, 13.

ἐναγώνιος: ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ Aesch. 384.

ἐναίρω: τοὺς εὐγενεῖς γὰρ κἀγαθούς, ὦ παῖ, φιλεῖ Ἄρης ἐναίρειν Soph. 657, 2.

ἐναίσιος: Εὐρύμαχος : ὕβριζ' ὑβρισμοὺς οὐκ ἐναισίους ἐμοί Aesch. 179, 2.

ἐνάλιος: ἔστι γάρ τις ἐναλία Εὐβοιὶς αἶα Soph. 234. ἐνάλιος θεωρία Ach. 27, 2 p. 753.

ἐνάλλομαι: ἡ Δίκη ποτὲ τῷ δυσσεβοῦντι σῖγ' ἔχουσ' ἐνήλατο adesp. 486, 4.

ἐναντίος: καταστὰς εἰς ἀγῶν' ἐναντίον Eur. 67, 2. ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς - ἔχειν τι κέρδος - τοὺς δ' ὄντας ἀδίκους τούσδε τὴν ἐναντίαν δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν Soph. 103, 8. δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον γνώμην προσάπτων τὴν ἐναντίαν μέθες Eur. 362, 10. δείξας - ἄστρων τὴν ἐναντίαν ὁδόν Eur. 861. νομίζειν χρή σε καὶ τοὐναντίον, ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς Eur. 396, 2. ἥκιστα φαῦλος, ἀλλὰ πᾶν τοὐναντίον· τὸ σχῆμα σεμνός Eur. 688. εἰσκομίζεται λαβὼν καὶ δαίμον' ἤτοι χρηστὸν ἢ τοὐναντίον Theod. 13, 4 p. 806. τἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι Eur. 812, 3. — ὅρα μὴ κρεῖσσον ᾖ καὶ δυσσεβοῦντα τῶν ἐναντίων κρατεῖν Soph. 82, 2.

ἐναντίως: καὶ νῦν λόγοισι τοῖς ἐμοῖς ἐναντίως πέπτωχ' ὁ τλήμων Eur. 816, 5.

†ἐναπίπτοντας Eur. 901, 4.

ἐνάπτω: γραφίοις (?) ἐνημμένοις Soph. 179, 2.

(ἐνάρετος cf. ἔνδικος.)

ἐναροκτάντας Aesch. 151.

ἔναστρος: ἔναστρος ὥστε μαινάς Ach. 16 p. 750.

ἐναύλιος: τήν τ' ἐναύλιον ὠθῶν

τις ἐξέκλαγξε σύγκοιτον φίλην adesp. 418, 6.

ἔναυλος: κατ' ἔναυλ' ὀρέων Eur. 740, 4.

ἐνδατοῦμαι: ὃ δ' *ἐνδατεῖται τὰς ἐμὰς εὐπαιδίας νόσων τ' ἀπείρους καὶ μακραίωνας βίου Aesch. 350.

ἐνδεής: ὅστις χρημάτων μὲν ἐνδεής Eur. 389. ὃ μὲν γὰρ ἄλλης λέκτρον ἰμείρει λαβεῖν, ἡ δ' ἐνδεὴς τοῦδ' οὖσα βουλεύει κακά Eur. 914, 3. ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν· τῶν γνησίων γὰρ οὐδὲν ὄντες ἐνδεεῖς νόμῳ νοσοῦσιν Eur. 141, 2. μὴ πλούσιον θῇς· ἐνδεέστερος γὰρ ὢν ταπεινὸς ἔσται Eur. 249.

ἔνδεια: δι' ἔνδειαν φρενῶν adesp. 207.

ἐνδελεχῶς: ἄκριτός τ' ἄστρων ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει Eur. 593, 5.

ἐνδέχομαι: πρὸς τίνας στρεφθῶ λόγους; ἀλλ' οὐκ ἂν ἐνδέξαιτο (δέξαιτο ll.) βάρβαρος φύσις Eur. 139, 2. μόνον σὺ θυμοῦ χωρὶς ἔνδεξαι λόγους Mosch. 5 p. 813.

ἐνδέω: ἀεὶ δὲ τοῦ *δοθέντος ἐνδεῖται πλέον Char. 1, 3 p. 826.

ἐνδέω: ὅταν δ' ἔρωτος ἐνδεθῶμεν ἄρκυσιν Dicaeog. 1 p. 775.

ἐνδεῶς: ὅταν ξηρὸν πέδον ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχῃ Eur. 898, 8.

ἔνδηλος: ὡς ὁ Σίσυφος πολὺς ἔνδηλος ἐν σοί Soph. 142, 2.

ἐνδιαιτῶμαι: πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα Crat. 1, 3 p. 809.

ἐνδίδωμι: αἰθὴρ ἐνδιδοὺς θνητοῖς πνοάς adesp. 112, 4. (cf. δίδωμι.)

ἔνδικος: τοῖς μὲν δικαίοις ἔνδικος Eur. 692. ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν ἔνδικος Eur. 1061, 2. κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι Soph. 329. ψυχὴ γὰρ εὔνους καὶ φρονοῦσα τοὔνδικον κρείσσων σοφιστοῦ παντός ἐστιν εὑρετής Soph. 97. τοὔνδικον σέβουσ' ἀεί (τῇ δίκῃ ξυνοῦσ' ἀεί vel τοὔνεχ' ὃν σέβειν πρέπει ll.) Eur. 417, 2. ἢ Ζεὺς ὁ λῷστος μηδὲν ἔνδικον φρονεῖ Eur. 832, 3. εἰς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων κρατεῖ Eur. 584. ἀνδρῶν τάδ' ἐστὶν ἐνδίκων (al: ἐναρέτων) τε καὶ σοφῶν Eur. 1078. τὸ νικᾶν τἄνδιχ' (τὰ δίκαι' ll.) ὡς καλὸν γέρας Eur. 1034. γνώμη δικαία καὶ φρονοῦσα τἄνδικα Apollon. 1, 5 p. 825. γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον Aesch. 400. οὐδὲ συμμάχους ἄλλους γενέσθαι φήμ' ἂν ἐνδικωτέρους Eur. 345, 3. ἔπειτα δ' ἥξεις δῆμον ἐνδικώτατον ‹βροτῶν› ἁπάντων καὶ φιλοξενώτατον, Γαβίους Aesch. 196.

ἔνδοθεν: δι' ἁρμῶν ἐξαμείβεται πύλης καπνοῦ μέλαιν' ἄησις ἔνδοθεν στέγης. προσθεὶς πρόσωπον φλόγα μὲν οὐχ ὁρῶ πυρός, γέμοντα δ' οἶκον μέλανος ἔνδοθεν καπνοῦ Eur. 781, 46. 48. πηδῶν δ' ὁ θυμὸς ἔνδοθεν μαντεύεται adesp. 176.

ἔνδον: οὔτε γὰρ γάμον - οὔτ' ἂν ὄλβον ἔκμετρον ἔνδον εὐξαίμαν ἔχειν Soph. 327, 3. ἔνδον δὲ θαλάμοις (?) Eur. 203. ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν ἐσθλήν Eur. 521. δύσμορφα μέντοι τἄνδον εἰσιδεῖν, ξένε Eur. 790. ἔνδον γυναικῶν καὶ παρ' οἰκέταις λόγος Eur. 927. γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι τρόπον

γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν Hippoth. 6, 2 p. 828.

ἐνδυτήριος: χιτών σ' ἄπειρος ἐνδυτήριος κακῶν Soph. 483.

ἔνειμι: καὶ θανόντων ἰσὶν οὐκ ἔνεστ' ἰκμάς Aesch. 229. σοὶ δ' οὐκ ἔνεστι κἶκυς οὐδ' αἱμόρρυτοι φλέβες Aesch. 230. ἔνεστι γάρ τις καὶ λόγοισιν ἡδονή Soph. 238. χέρσου δ' ἔνεστιν ἐν τετρασκελεῖ γονῇ Soph. 855, 10. νοῦς δ' οὐκ *ἔνεστιν, οἱόμεσθα δ' εὖ φρονεῖν Eur. 25, 4. τῇ δ' Ἀφροδίτῃ πόλλ' ἔνεστι ποικίλα Eur. 26. εἰ νοῦς ἔνεστιν Eur. 212. ὀργῇ δὲ φαύλῃ πόλλ' ἔνεστ' ἀσχήμονα Eur. 259. ἐν τῷ γὰρ ὅλβῳ φαυλότης ἔνεστί τις Eur. 641, 2. ἀλλ' οὐκ ἔνεστι στέφανος οὐδ' εὐανδρία Eur. 1052, 5. τὸ γὰρ φρονοῦν.. ἔνεστι Crit. 1, 24 p. 771. πόνοι δὲ κἀν σοὶ καὶ φθοραὶ πολλαὶ βίου ἔνεισι Eur. 813, 3. ἔνεισιν ἐν δειλοῖσιν ἀνδρεῖοι λόγοι adesp. 299. ἐνῆν δὲ παγκάρπεια συμμιγὴς ὁλαῖς λίπος τ' ἐλαίας Soph. 366, 3.

ἕνεκα: τίνος κατέκτας ἕνεκα παῖδ' ἐμόν βλάβης Aesch. 181. γάμοις, ὧν ἔξοδος ἅδ' ἕνεχ' ἥκει Eur. 773, 73. (cf. εἵνεκα et ἕκατι.)

ἔνερθε: ἔζης ἄρ' οὐδὲ γῆς ἔνερθ' ᾤχου θανών Soph. 624.

ἔνεροι: πέμψον δ' ἐς φῶς ψυχὰς *ἐνέρων Eur. 912, 9.

Ἔνετοί — Soph. Ἀντηνορίδαι.

ἐνήλατον: ἐνήλατα ξύλα τρίγομφα διατορεῦσαί σε δεῖται Soph. 293.

ἐνῆμαι: θάκοις μαντικοῖς ἐνήμενοι Eur. 795.

ἔνθα: ἔνθ' ἐπὶ δυσμαῖς ἴσου πατρὸς Ἡφαιστοτυκὲς δέπας Aesch. 69. Βερέκυντα χῶρον, ἔνθ' Ἀδραστείας ἕδος Ἴδη τε μυκηθμοῖσι - ἔρπουσι (?) μήλων Aesch. 158, 2. ἐπῆμεν - σχιστῆς κελεύθου τρίοδον, ἔνθα συμβολὰς τριῶν κελεύθων Ποτνιάδων ἠμείβομεν Aesch. 173, 2. ἥξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατόν· ἔνθ' οὐ μάχης - καὶ θοῦρός περ ὢν μέμψῃ Aesch. 199, 2. ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτε πλεῖν ἐᾷ Aesch. 250. Αἰθιοπίδος γῆς, ἔνθα Νεῖλος ἑπτάρους γαῖαν κυλίνδων πνευμάτων ἐπομβρίᾳ Aesch. 300, 2. αἱ δ' ἔπτ' Ἄτλαντος παῖδες ὠνομασμέναι πατρὸς - ἄθλον - κλαίεσκον, ἔνθα νυκτέρων φαντασμάτων ἔχουσι μορφὰς ἄπτεροι πελειάδες Aesch. 312, 3. ἔνθ' οὔτε πελλῆς οἷός ἄγραυλος † βότος Soph. 110. ὁ δὲ ἔνθ' (?) ὅπλοις ἀρρῶξιν Ἡφαίστου τέχνῃ Soph. 160. ἔνθ' ἡ πάροικος πηλαμὺς χειμάζεται Soph. 462. ἡμεῖς δ' ἐν ἄντροις, ἔνθα Σαρπηδὼν πέτρα Soph. 580. οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτος σκότος - ἔνθα τὴν φύσιν ὁ δυσγενὴς κρύψας ἂν εἴη σοφός Eur. 617, 2. ξύνοιδ' ὄρος Παρθένιον, ἔνθα μητέρ' ὠδίνων ἐμὴν ἔλυσεν Εἰλείθυια Eur. 696, 6. κρύψω δέ νιν ξεστοῖσι θαλάμοις, ἔνθ' ἐμῷ κεῖται πόσει χρυσός Eur. 781, 9. τίς ὁ καινότροπος οὗτος μῦθος κατ' ἐμὰν ἦκεν ἀκουάν; ἔνθ' ἀσπερχὲς μενεαίνουσα τοῖσδε δώμασι κοιράνου ἀμφίδοξος πελάζω Eur. 1132, 51. ἔνθα Περσικῷ νόμῳ ξενωθεὶς αὐλὸς ὁμονοεῖ χοροῖς Diog. Ath. 1, 10 p. 777. ἔνθ' αἳ μὲν αὐτῶν εἰς ἀπείρονα στρατὸν ἀνθέων ἄλογχον ἐστράτευσαν Chaer. 10 p. 784. τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος ἔνθα κερ-

δανεῖ adesp. 4, 2. σωτῆρες † ἔνθα κἀγαθοὶ παραστάται adesp. 14. κακὸν γὰρ αἰδώς, ἔνθα τἀναιδὲς κρατεῖ adesp. 528. εἰς Φᾶσιν, ἔνθα ναυσὶν ἔσχατος δρόμος adesp. 559.

ἐνθαλάσσιος: νεῶν τε ποιμαντῆρσιν ἐνθαλασσίοις Soph. 399, 10.

ἔνθεν: ἔνθεν ἐς Ἄργος διὰ κῦμα τεμὼν ἥκει δῆμον τὸν Λυρκείου Soph. 249, 5. Καλυδῶνος, ἔνθεν αἷμα συγγενὲς φυγὼν Τυδεύς - ᾤκησεν Ἄργος Eur. 558, 2. τὰ δ' ἔνθεν οὐκέτ' ἂν φράσαι λόγῳ δακρύων δυναίμην χωρίς Eur. 621. ὦ γαῖα πατρίς, ἣν Πέλοψ ὁρίζεται, χαῖρ', ὅς τε πέτρον Ἀρκάδων δυσχείμερον ⟨Πὰν⟩ ἐμβατεύεις, ἔνθεν εὔχομαι γένος Eur. 696, 3.

ἐνθένδε: χρῆσται δέ σ' ἐνθένδ' αὖθις Soph. 542. τοὐνθένδ' ἀπίχθους βαρβάρους οἰκεῖν δοκῶ Eur. 366.

ἔνθηρος: πέλας δὲ ταύτης δεινὸς ἵδρυται Κράγος ἔνθηρος Eur. 669, 2.

ἐνθουσιῶ: ἐνθουσιᾷ δὴ δῶμα Aesch. 58.

ἐνθρίακτος Soph. 501.

ἐνθύμησις: ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως Eur. 246, 2.

ἔνι: ἐντήκεται γὰρ πλευμόνων ὅσοις ἔνι ψυχή Soph. 855, 7. τῷ μὲν γὰρ ἔνι κίνδυνος, ὃ δ' ἀθῷος μένει Eur. 67, 5. γένοιτό τἂν πόλλ' ὧν δόκησις οὐκ ἔνι Eur. 131, 2. τὸ μῶρον αὐτῷ τοῦ πατρὸς νόσημ' ἔνι Eur. 166. νοῦς ἄρ' ὑμῖν οὐκ ἔνι (?) Eur. 710, 2. τὸ μὴ θανεῖν δὲ δειλόν, ἡδονὴ δ' ἔνι Eur. 854, 2. οἶνος οὐκ ἔνι ἐν τῷ σκύφει Ion. 26 p. 737.

ἐνιαύσιος: ἐνιαυσίαν γὰρ δεῖ με τὴν ἑορτὴν ἄγειν Ion. 21 p. 736.

ἐνιαυτός: χορῶν ἐραστὴς κισσός, ἐνιαυτοῦ δὲ παῖς Chaer. 5 p. 783.

ἐνίημι: δεινόν τι τέκνων φίλτρον ἐνῆκεν (ἔθηκεν ll.) θεὸς ἀνθρώποις Eur. 103.

ἐνναίω: βροτοὶ ὀρειγενῆ σπήλαια καὶ δυσηλίους φάραγγας ἐνναίοντες Mosch. 6, 6 p. 813.

ἐννεάφθογγος: μουσῶν ἐννεάφθογγον μέλος adesp. 546, 11.

ἐνοικίζω: δράκων - ἐνῴκισεν δεινὴν † στομάτων † ἔκφυσιν ποδὸς βλάβην Aesch. 252.

ἐνοικῶ: πρὸς τὰς διαίτας τῶν ἐνοικούντων πόλιν τὴν γῆν ἰδόντας τὰς νόσους σκοπεῖν χρεών Eur. 917, 2.

ἐνόλμιος Soph. 942.

ἐνόπη: ἐνόπαις Soph. 51.

ἔνορχις: *ἔνορχιν λαόν adesp. 209.

ἐνουρήθρα Soph. 444.

ἐνταῦθα: πέπρωται γάρ σε καὶ βέλη λιπεῖν ἐνταῦθα Aesch. 199, 4. ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ Soph. 74. ἡ Δίκη ἐνταῦθά πού-στιν ἐγγύς Eur. 506, 8. ναίειν δ' ἔφασκε τοὺς θεοὺς ἐνταῦθ' ἵνα μάλιστ' ἂν ἐξέπληξεν ἀνθρώπους λέγων Crit. 1, 27 p. 771. ἐνταῦθα δὴ τῶν βαρβάρων τινὲς μάγοι - ἔπεισαν Pyth. 1, 5 p. 811. ὅσοι δὲ φιλοσοφοῦντες ἐκμοχθοῦσί τι, ἐνταῦθ' ὑπάρχει τῷ βίῳ γαστρὸς κρατεῖν adesp. 522, 2.

ἐντείνω: τόξον ὡς τις ἐντείνων Aesch. 83. Μολοσσικαῖσι χερσὶν ἐντείνων (ἐκτείνων ll.) *πέδας Soph. 727. Κύπρις γὰρ οὐδὲ νουθετουμένη χαλᾷ, ἢν τ' αὖ βιάζῃ, μᾶλλον ἐντείνει φιλεῖ Eur. 340, 2.

ἐντέλλω: ἐντέλλω Soph. 247.

πάντ' ἔλεξα τἀντεταλμένα Soph. 424.

ἐντεῦθεν: ⟨κἀντεῦ⟩θεν ἡμεῖς - ⟨κοῦφον⟩ πόδ' ἄλλος ἄλλοσ' εἴχομεν φυγῇ Eur. 495, 32. καὶ γὰρ *ἐντεῦθεν νοσεῖ τὰ τῶν γυναικῶν Eur. 497. ἐντεῦθεν οὖν τὸ θεῖον εἰσηγήσατο Crit. 1, 16 p. 771.

ἐντήκω: ἐντήκεται γὰρ πλευμόνων ὅσοις ἔνι ψυχή Soph. 855, 7.

ἐντίθημι: ἔλαφον δ' Ἀχαιῶν χερσὶν ἐνθήσω φίλαις κεροῦσσαν Eur. 857.

ἐντίκτω: οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον, ἄλλην νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν adesp. 297, 2.

ἔντιμος: πλοῦτον ἔντιμον τιθεὶς Eur. 626, 2.

ἔντονος: νέων τοι δρᾶν μὲν ἔντονοι χέρες Eur. 291. πρὸς ἄσπερ οἱ μαργῶντες ἐντονώτατοι (al. εὐτονώτατοι) Soph. 758 (cf. add. p. XXIV).

ἐντός: γυνή τοι σώματος δι' ἀργίαν ψυχῆς φρόνησιν ἐντὸς οὐκ ἀργὸν φορεῖ Agath. 14, 2 p. 766.

ἐντρέπω: εἰ τοῦ τεκόντος οὐδὲν ἐντρέπῃ πατρός Eur. 83.

ἐντρέφω: τὴν γὰρ ἐντεθραμμένην ἀστοῖς Ἀθάνας - καλὸν φυλάξαι γνησίως παρρησίαν Mosch. 4, 2 p. 813.

ἐντρυφῶ: ἐξουσίᾳ δὲ μήποτ' ἐντρυφῶν (εὐτυχῶν ll.), τέκνον, αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν Eur. 362, 24. κόμαι - ξουθαῖσιν ἀνέμοις ἐνετρύφων φορούμεναι Chaer. 1, 7 p. 782.

ἐντυγχάνω: οὐντυγχάνων (al. ὁ τυγχάνων) τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς Eur. 287, 2. δεινὸς γὰρ ἔρπειν πλοῦτος ἔς τε τἄβατα καὶ πρὸς τὰ βατά, χὠπόθεν πένης ἀνὴρ μηδ' ἐντυχὼν δύναιτ' ἄν ὧν ἐρᾷ τυχεῖν Soph. 85, 8.

ἔνυπνος: ἔνυπνον φάντασμα adesp. 375.

ἐνώτιον: ἀμφωτίδες τοι τοῖς ἐνωτίοις πέλας Aesch. 102.

ἐξ v. ἐκ.

(ἔξ cf. εὖ.)

ἐξάγω: ναυβάτην φορτηγόν, ὅστις ῥῶπον ἐξάγει χθονός Aesch. 263, 2. οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι Soph. 750. μή μοι προτείνων ἐλπίδ' *ἐξάγου δάκρυ Eur. 131.

ἐξαείρω: πάντα βροτοῖς Ζεὺς ἐπικάρσια τέμνει, καθελὼν μὲν δοκέοντ', ἀδόκητον δ' ἐξαείρων adesp. 482, 5. cf. ἐξαίρω.

ἐξαθρῶ: οὐκ ἐξαθρήσας (?) οἶδ', ἰδὼν δέ σοι λέγω Thesp. 2 p. 832.

ἐξαίρετος: ἐξαίρετον τίθημι τὴν ἀκουσίαν Soph. 680.

ἐξαιρῶ: Νίσῳ δὲ τὴν ὄμαυλον ἐξαιρεῖ χθόνα Σκείρωνος ἀκτῆς Soph. 872, 5. ὅτι γὰρ φύσις ἀνέρι δῷ, τόδ' οὔποτ' ἂν ἐξέλοις Soph. 739, 2. γυναῖκα δ' ἐξελόντες Soph. 179. εἴθε τοῖς πᾶσιν βροτοῖς συνοῦσα τἀναίσχυντον ἐξῃροῦ φρενῶν Eur. 436, 2. οὐδείς γὰρ ἡμᾶς ⟨ὅστις⟩ ἐξαιρήσεται Eur. 660.

ἐξαίρω: ὁ θυμὸς αὐτὸν τῶν φρενῶν ἐξῆρ' ἄνω adesp. 175. cf. ἐξαείρω.

ἐξακοντίζω: αἰσχρόν γ' ὅταν τις - γλώσσῃ ματαίους ἐξακοντίσῃ λόγους adesp. 529, 2.

ἐξακούω: ὡς ἐγγὺς ἤδη δαίμονος πεδαρσίου δίνης πτερωτὸς φθόγγος ἐξακούεται adesp. 47, 2.

ἐξαλείφω: τὸν ὄλβον - ὃν γ' ἐξαλείφει ῥᾷον ἢ γραφὴν θεός Eur. 618, 2. κρινεῖ τίς αὐτὸν πώποτ' ἀνθρώπων μέγαν, ὃν ἐξαλείφει πρόφασις ἡ τυχοῦσ' ὅλον Eur. 1041, 2.

ἐξαμαρτάνω: ἐζημιοῦτο δ' εἴ τις ἐξαμαρτάνοι Crit. 1, 8 p. 771. ὁρᾶθ' ὅσοι νομίζετ' οὐκ εἶναι θεόν, δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως Eur. 1131, 2. καὶ τοὐπιχειρεῖν γ' ἐξαμαρτάνειν φιλεῖ Eur. 277, 3. τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον Eur. 1061, 3. τὰς γὰρ ἐμφύτους ὀρθῶς παγείσας .. φρένας οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν Carc. 6, 3 p. 799. ἐν κήδει γὰρ ὢν ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν Hippoth. 3, 3 p. 828. νέος δ' ὅταν πόλλ' ἐξαμάρτῃ Eur. 1027. 4. βούλευσαι καλῶς πρὶν ἐξαμαρτεῖν Neophr. 2, 2 p. 730.

ἐξαμαυρῶ: ἢ γᾶς ὑπὸ κεῦθος ἄφαντον *ἐξαμαυρωθῶ Eur. 781, 64.

ἐξαμείβομαι: δι' ἁρμῶν ἐξαμείβεται πύλης καπνοῦ μέλαιν' ἄησις ἔνδοθεν στέγης Eur. 781, 45. ἐκ δ' ἀμείβεται (al. ἐκ δ' ὁρίζεται) γένος Ἑλληνικόν Eur. 819, 3.

ἐξαμιλλῶμαι: πρὸς αἰθέρ' ἐξαμίλλησαι κόρας Eur. 764.

ἐξαναγκάζω: ὃς μ' ἐράκη τ' ἤμπισχε κἀξηνάγκασεν πτωχὸν γενέσθαι adesp. 394.

ἐξαναστρέφω: μακέλλῃ Ζηνὸς ἐξαναστραφῇ Soph. 659.

ἐξανθρακῶ: ἐξανθρακώσας πυθμέν' εὔκηλον δρυός Ion. 28 p. 737.

ἐξανίστημι: μύω τε καὶ δέδορκα κἀξανίσταμαι Soph. 706. τραχὺς † χελώνης κέρχνος ἐξανίσταται Soph. 257.

ἐξάντης: ὦ Ζεῦ, γενέσθαι τῆσδέ μ' ἐξάντη νόσου adesp. 151.

ἐξαντλῶ: καὶ τὴν μὲν ἐξηντλοῦμεν (al. ἐξαντλοῦμεν), ἣ δ' ἐπεισρέει adesp. 89. μυρίαι τὸν αὐτὸν ἐξήντλησαν ὡς ἐγὼ βίον Eur. 454, 3.

ἐξαπόλλυμι: ἕως ἀπώλεσέν τε καὐτὸς ἐξαπώλετο Soph. 215, 2.

ἐξαρκῶ: οὐδ' ὁ πᾶς ἂν οὐρανὸς Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας ἐξαρκέσειεν οὐδ' ἐκεῖνος ἂν σκοπῶν πέμπειν ἑκάστῳ ζημίαν Eur. 506, 6.

ἐξαρτῶ: τί προσλάζεσθε *κἀξαρτᾶσθέ μου Pomp. 1, 3 p. 831. εἰσελήλυθεν πολλῶν σοφιστῶν ὄχλον ἐξηρτημένος Ioph. 1, 2 p. 761. εἴ τιν' εἰσίδοιμ' ἀνὰ πτόλιν τοφλὸν προηγητῆρος ἐξηρτημένον Eur. 816, 2.

ἐξάσσω: ποῖ ποτ' ἐξῆξας τάλας Neophr. 2, 3 p. 730.

ἐξαυστήρ: χαλκοῖσιν ἐξαυστῆρες χειρούμενοι Aesch. 2 (cf. add. p. XXIII).

ἐξαφαιρῶ: ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινά - ἐξαφαιρεῖται φρενῶν τὸν νοῦν τὸν ἐσθλόν adesp. 296, 2.

ἕξεδρος: τίς [ὄρνις] οὗτος ἕξεδρον χώραν ἔχων Soph. 593 (cf. add. p. XXIV).

ἔξειμι: εἰ μέν τις οὖν ἔξεισιν Soph. 420. λόγων ματαίων εἰς ἅμιλλαν ἐξιών Eur. 334, 3. γένος γὰρ εἰς ἔλεγχον ἐξιὸν καλὸν εὔκλειαν ἂν κτήσαιτο μᾶλλον ἢ ψόγον Soph. 101, 2.

ἐξεῖναι: θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς Soph. 64, 2. ὅπου δὲ μὴ τἄριστ' ἐλευθέρως λέγειν ἔξεστι Soph. 193, 2. ἔξεστ' ἐρωτᾶν πότνιά σ' ἢ σιγὴν ἔχω adesp. 282. ἕως ἂν

ἐξῇ μανθάνειν βελτίονα Soph. 1019, 5. τούτους πῶς διαφθεῖραί με χρή, ἐξὸν προπάντων μίαν ὑπερδοῦναι θανεῖν Eur. 360, 18. τίς δ' ἔστ' ἀνάγκη δυστυχεῖν ἐν πλείοσιν, ἐξὸν σιωπᾶν Aesch. Alex. 1, 2 p. 824.

ἐξεῖπον: μή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος Soph. 849. τί γὰρ λέγων μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν Eur. 666, 2. ⟨ὦ⟩ γλῶσσα, μέτριον εἴ τι κομπάσαι θέλεις, ἔξειπε adesp. 398, 2. τί χρὴ γυναῖκας ἐξειπεῖν κακόν Carc. 3 p. 798.

ἐξελαύνω: φυγὰς πατρῴας ἐξελήλασαι χθονός Soph. 731, 2.

ἐξεπαίρω: ὃ σ' ἐξεπαρεῖ μεῖζον ἢ χρεὼν φρονεῖν Eur. 963, 2.

ἐξεπίσταμαι: καὶ τὸν θεὸν τοιοῦτον ἐξεπίσταμαι Soph. 704.

ἐξεπισφραγίζω: κἀξεπεσφραγίζετο ὥρας γελώσης χωρὶς ἐλπίδων ἔρως Chaer. 14, 10 p. 786.

ἐξεπομβρῶ: ἐπεὶ οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι οὔτ' ἐξεπομβρῶν οὔτ' ἐπαυχμήσας φίλος Soph. 481, 4.

ἐξεργάζομαι: χρόνος μαλάσσει πάντα κἀξεργάζεται Chaer. 22 p. 788. ὕβρις τάδ', οὐχὶ Κύπρις ἐξεργάζεται adesp. 409.

ἐξερινάζω: πέπων ἐρινός - ἄλλους ἐξερινάζεις λόγῳ Soph. 182, 2.

ἐξέρχομαι: ἐγὼ κατ' αὐτόν, ὡς ὁρᾷς, ἐξέρχομαι Soph. 812. ἐξῆλθον ὑμῶν ἱκέτις ἡβώντων τροφὸς παίδων Ion. 54 p. 743. ἐξῆλθον Ἕκτορές τε καὶ Σαρπηδόνες adesp. 289. γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων οὐ τῶν τεκόντων ἐστίν Eur. 318. τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων adesp. 57. οὐ γάρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθεν δράσουσα adesp. 52. cf. ἔξειμι.

ἐξερωτῶ: πάλαι πάλαι δή σ' ἐξερωτῆσαι θέλων Eur. 579.

ἐξευλαβοῦμαι: ἐξευλαβοῦ δὲ μή σε προσβάλῃ στόμα πέμφιξ Aesch. 206.

ἐξευρίσκω: ἐξηῦρον ἀνθρώποισι γράμματ' εἰδέναι Eur. 578, 3. πόθεν δὲ πεύκης πανὸν ἐξηῦρες λαβεῖν Eur. 90. τηνικαῦτά μοι δοκεῖ .. πυκνός τις καὶ σοφὸς γνώμην ἀνὴρ γνῶναι θεοὺς θνητοῖσιν ἐξευρεῖν Crit. 1, 13 p. 771. τοῦδ' εἵνεκ' οἶκον στεγανὸν ἐξηυρήκαμεν adesp. 115, 2. οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ὅτι οὐκ' ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται Chaer. 21, 2 p. 788.

ἐξεύχομαι: Ἴστρος τοιαύτας παρθένους ἐξεύχεται τρέφειν ὃ θ' ἁγνὸς Φᾶσις Aesch. 155.

ἑξήκοντα: χαλκηλάτους λέβητας ἐκτιθεὶς φέρειν - καὶ πανάργυρα ἐκπώματ', εἰς ἀριθμὸν ἑξήκοντα δίς Soph. 348, 4.

ἑξῆς: ὅστις δὲ πάσας συντιθεὶς ψέγει λόγῳ γυναῖκας ἑξῆς, σκαιός ἐστι Eur. 657, 2. ἑξῆς δ' ὀπαδεῖ δόχμιον, ἄλλοθ' ὕστερον (?) adesp. 493, 3.

ἐξιδρύω: τηλοῦ γὰρ οἰκῶν βίοτον ἐξιδρυσάμην Eur. 884.

ἐξικνοῦμαι: ὅταν δ' ἐς ἥβην ἐξικώμεθ' ἔμφρονες Soph. 524, 6.

ἐξιονθίζω: ἐγὼ μίαν μὲν ἐξιονθίζω τρίχα Soph. 661.

ἐξίστημι: νοῦ δ' οἶνος ἐξέστησέ με Eur. 265. οὐ κεῖνος (?) ἐξέστησε Carc. 6 p. 799.

ἐξίτηλος: ὥστ' ἐξίτηλος ἀρετὴ καθίσταται Eur. 497, 6. κοὔπω σφιν

ἐξίτηλον αἷμα δαιμόνων Aesch. 162, 4.

ἔξοδος: γάμοις, ὧν ἔξοδος ἅδ' ἔνεχ' ἥκει Eur. 773, 72.

ἔξοιδα: *ἐξειδὼς ὅτι πολλάκι τὸ λυποῦν ὕστερον χαρὰν ἄγει Eur. 174.

ἐξόλλυμι: χαίρω σέ τ', ὦ βέλτιστον Ἀλκμήνης τέκος,..τόν τε μιαρὸν ἐξολωλότα Eur. 673, 2.

ἐξομματῶ: ἡμεῖς δὲ Πολύβου παῖδ' - ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας Eur. 541, 2. ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας Soph. 644.

ἐξομοιῶ: τί δῆτα καὶ σὲ κωλύει ⟨λαβεῖν⟩ κέρδος, παρόν γε κἀξομοιοῦσθαι θεοῖς Eur. 794, 4.

ἐξομόργνυμι: κρόκον θ', ὃς ἡλιῶδες εἰς ὑφάσματα πέπλων σκιᾶς εἴδωλον ἐξωμόργνυτο (εἰσομόργνυται ll.) Chaer. 14, 15 p. 786. οὐ σταλαγμὸν ἐξομόρξετε, εἴ πού τις ἔστιν αἵματος χαμαὶ πεσών Eur. 781, 6.

ἐξόπισθε: τὰ δ' ἐξόπισθε χειρὸς εἰς τὰ δεξιὰ Οἰνωτρία τε πᾶσα καὶ Τυρσηνικὸς κόλπος Λιγυστική τε γῆ σε δέξεται Soph. 541. τραύματ' ἐξόπισθ' ἔχων adesp. 450.

ἐξοπίσω: ἣ δ' ἐξοπίσω χερὸς ὄμμα τρέπουσ' ὀπὸν ἀργινεφῆ στάζοντα τομῆς χαλκέοισι κάδοις δέχεται Soph. 491.

ἐξοπλίζω: τόδ' ἐξοπλίζει τοὔπος Ἀργεῖον λεών adesp. 404. ὦ χέρες χέρες, πρὸς οἷον ἔργον ἐξοπλιζόμεσθα Neophr. 2, 13 p. 731.

ἐξοπτῶ: ἀστραπήν τιν' ὀμμάτων ἔχει· ἡ θάλπεται μὲν αὐτός, ἐξοπτᾷ δ' ἐμέ Soph. 433, 3.

(ἐξορίζομαι cf. ἐξαμείβομαι.)

ἐξορμενίζω: κἀξορμενίζει κοὐκ ἐπισχολάζεται βλάστη Soph. 294.

ἐξορμῶ: εὔφημος ἴσθι μοῦνον ἐξορμωμένη Soph. 437. Ἁμισὸν εἰς θάλασσαν ἐξορμώμενον Eur. 1083, 11.

ἐξουσία: μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία πάρεστιν αὐτῷ Soph. 85, 11. ἐξουσίᾳ δὲ μήποτ' *ἐντρυφῶν, τέκνον, αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν Eur. 362, 24. πολλοὶ γεγῶτες ἄνδρες οὐκ ἔχουσ' ὅπως δείξουσιν αὐτοὺς τῶν κακῶν ἐξουσίᾳ Eur. 738, 2. νοσεῖν τίθησι τὰς ἀμεινόνων φρένας, παράδειγμ' ἐχόντων τὴν κακῶν ἐξουσίαν Eur. 644, 3. ὅστις τῶν πατέρων παισὶ μὴ φρονοῦσιν εὖ ἢ καὶ πολίταις παραδίδωσ' ἐξουσίαν Eur. 784, 3. τί σεμνύνεσθε ταῖς ἐξουσίαις Sosiph. 3, 2 p. 820.

ἔξοχος: οὐδεὶς ἔξοχος ἄλλος ἔβλαστεν ἄλλου Soph. 532, 3. κάλλος εἶχεν ἔξοχον καθ' Ἑλλάδα Eur. 1132, 26. τὸν πάνσοφον ἀριθμὸν ηὗρεν' ἔξοχον σοφισμάτων adesp. 470, 4.

ἔξπηχυς: *ἔξπηχυ Soph. 943.

ἐξυπηρετῶ: οὐδ' αὖ πένεσθαι κἀξυπηρετεῖν (al. καὶ ξυνηρετεῖν) τύχαις οἷοί τε Eur. 282, 7.

ἔξω: ἀλλ' εἰς θεοὺς ὁρῶντα, κἂν ἔξω δίκης χωρεῖν κελεύῃ, κεῖσ' ὁδοιπορεῖν χρεών Soph. 226, 2. ὡθούμεθ' ἔξω καὶ διεμπολώμεθα θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο Soph. 524, 7. ἔξω δὲ βαίνων τοῦδε Eur. 285, 9. ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος Eur. 760. αἰδ' ἔξω δόμων δμῳαὶ περῶσιν Eur. 773, 10.

ἔξωθεν: ὅ τ' ὄλβος ἔξωθέν τίς ἐστι πραγμάτων (?) Eur. 1052, 4.

ἐξώλης: ὅδ' αὖτ' ἐκείνου φθόγγος ἐξωλέστερος adesp. 417. παῖδες κρατίστου πατρὸς ἐξωλέστατοι Lycophr. 1 p. 817.

ἔοικα: ὁ ταῦρος δ' ἔοικεν κυρίξειν τιν' ἀρχάν (?) Aesch. 23. ἅπαντ' ἐν ἀνθρώποισι γηράσκειν ἔφυ - πλὴν ὡς ἔοικε τῆς ἀναιδείας μόνης Theod. 12, 3 p. 805. ἔσθ', ὡς ἔοικεν, ἔστιν οὐχ ὁρώμενον τοῖς ζῶσιν ἡμῖν - δαιμόνιον adesp. 492. ὡς οὐδέν ἐσμεν πλὴν σκιᾶς εἰκότες Soph. 859, 2. ἔργου δὲ παντὸς ἦν τις ἄρχηται καλῶς, καὶ τὰς τελευτὰς εἰκός ἐσθ' οὕτως ἔχειν Soph. 747, 2. οὔτ' εἰκὸς ἄρχειν οὔτε χρῆν - τύραννον εἶναι Eur. 172. εἰκὸς δὲ - πατρίδος ἐρῶντας ἐκπονεῖν σωτηρίαν Eur. 729. εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ - εἰκὸς σφαδάζειν ἦν ἄν Eur. 821, 3. τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι, βροτοῖσι πολλὰ τυγχάνειν οὐκ εἰκότα Agath. 9 p. 765. ἡ γὰρ δόκησις πατράσι παῖδας εἰκέναι Eur. 167.

ἑορτή: ἐνιαυσίαν γὰρ δεῖ με τὴν ἑορτὴν *ἄγειν Ion. 21 p. 736.

ἐπάγω: ὁ γὰρ οὐδενὸς ἐκφὺς χρόνος δικαίους ἐπάγων κανόνας δείκνυσιν ἀνθρώπων κακότητας ἐμοί Eur. 303, 4.

ἐπαγωγός: μανίας ἐπαγωγὸν ὁμοκλάν Aesch. 57, 5.

ἐπαιδοῦμαι: σέβας δὲ μηρῶν ἁγνὸν οὐκ ἐπηδέσω (al. οὐ κατηδέσω) Aesch. 135.

ἔπαινος: γένους δ' ἔπαινός ἐστιν ἀσφαλέστατος Astyd. 8 p. 780. πολλῶν τ' *ἔπαινον ἔστι μοι λέξαι καλῶν Eur. 316. 4. οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο Eur. 1043. πολλὰ δεῖ μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς Theod. 11, 2 p. 805. ἐπαίνους Soph. 231.

ἐπαινῶ: ὀλίγους ἐπαινῶ μᾶλλον ἢ πολλοὺς κακούς Eur. 356. τί ταῦτ' ἐπαινεῖς Soph. 843. ὅστις πατρῴας γῆς ἀτιμάζων ὅρους ἄλλην ἐπαινεῖ Eur. 347, 5. τὰ μὲν δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου Soph. 25, 3. καὶ ταῦτ', ἐπειδὰν εὐφρόνη ζεύξῃ μία, χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν Soph. 524, 12. κατ' ἄνδρ' ἐπαινεῖν ὅστις ἂν δίκαιος ᾖ Astyd. 8, 2 p. 780. ἐπῄνεσα Soph. 260. (cf. ἐπολβίζω.) γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι Apollon. 2 p. 825.

ἐπαίρω: τιμή σ' ἐπαίρει τῶν πέλας μεῖζον φρονεῖν Eur. 293. τὰς γὰρ ἐμφύτους ὀρθῶς παγείσας.. φρένας οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν Carc. 6, 3 p. 799. μάλιστα μέν μ' ἐπῆρ' ἐπισκήψας πατήρ Eur. 69. νεότης μ' ἐπῆρε καὶ θράσος τοῦ νοῦ πλέον Eur. 149. ἐὰν ἴδῃς - τινὰ λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα Eur. 1040, 3.

ἐπαίω: ἐπάιον Ach. 8, 2 p. 748.

ἐπάκτιος: βίος δὲ πορφυροῦς θαλάσσιος οὐκ εὐτράπεζος, ἀλλ' ἐπάκτιοι φάτναι Eur. 670, 2. ἐτῆρας ἀμνοὺς θεοῖς ἔρεξ' ἐπακτίοις Soph. 685. ἐπακτίας αὐλῶνας Soph. 505.

ἐπακτός: λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν Eur. 360, 7. πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων ἀνόνητος Eur. 502, 5.

ἐπαλλάσσω: ἐπαλλαχθεῖσα Soph. 322.

ἐπαμφιέννυμι: τὴν τοῦδε γάρ

τοι Ζεὺς ἔγημε μητέρα οὐ χρυσόμορφος οὐδ' ἐπημφιεσμένος πτίλον κύκνειον Soph. 1026, 2.

ἐπάν: (cf. ὅταν.) ἐπὰν λήξῃ κακοῦ, ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται Soph. 846, 2. ἐπὰν (al. ὅταν) δ' ⟨ἄρ'⟩ ἐκλίπῃ τὸ πᾶν, φροῦδος μὲν ἔσται κυμάτων ἅπας βυθός Soph. 1027, 5. ἐπὰν γὰρ ἡ κρίνουσα καὶ τὰς ἡδονὰς καὶ τἀνιαρὰ φροῦδος αἴσθησις φθαρῇ, τὸ σῶμα κωφοῦ τάξιν εἴληφεν πέτρου Mosch. 7, 3 p. 815. ὃ περιέτρεψεν ἡ χρόνος τις ἢ φθόνος, ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ adesp. 547, 5.

ἐπαντλῶ: σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους Eur. 899, 4.

ἐπαρκῶ: μηδὲ τῷ τεθνηκότι τὸν ζῶντ' ἐπαρκεῖν αὐτὸν ὡς θανούμενον Soph. 350, 2. ἀεὶ ξένοις τ' ἐπήρκεις οὐδ' ἔκαμνες εἰς φίλους Eur. 311, 2.

ἐπασκῶ: πόλλ' ἐσθίουσιν, ὡς ἐπασκούντων τρόπος Ach. 3, 2 p. 747.

ἐπαυρίσκω: μικροῦ δὲ βιότου ζῶντ' ἐπαυρέσθαι χρεών adesp. 95, 4.

ἐπαυχμῶ: οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι οὔτ' ἐξεπομβρῶν οὔτ' ἐπαυχμήσας φίλος Soph. 481, 4.

ἐπαφῶ: ὃ δὲ λαβὼν χερὶ ἔγνω ἐπαφήσας adesp. 458, 7.

ἐπεί: ἐλέσθαι δ' οὔτιν' ἐκ γαίας λίθον ἕξεις, ἐπεὶ πᾶς χῶρός ἐστι μαλθακός Aesch. 199, 5. ἐπεὶ δὲ βλάστοι, τῶν τριῶν μίαν λαβεῖν εὔσοιαν ἀρκεῖ Soph. 118. οὐ γάρ τις ἂν δύναιτο πρωράτης στρατοῦ τοῖς πᾶσιν εἶξαι καὶ προσαρκέσαι χάριν· ἐπεὶ οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι οὔτ' ἐξεπομβρῶν οὔτ' ἐπαυχμήσας φίλος Soph. 481, 3. ἐπεὶ πέπρακται πᾶν τὸ τοῦ θεοῦ καλῶς, χωρῶμεν· ἤδη παῖδες εἰς τὰ τῶν σοφῶν διδασκαλεῖα μουσικῆς Soph. 1019. ἐπεὶ δ' ἐχωρίσθησαν ἀλλήλων δίχα, τίκτουσι πάντα Eur. 484, 3. κἀπεὶ τάδ' εἰσ⟨ήκουσαν⟩ Eur. 495, 22. ἀλλ' εἶμ', ἐπεί τοι καὶ φιλεῖ τὰ τοιάδε ληφθέντα φαύλως ἐς μέγαν χειμῶν' ἄγειν Eur. 781, 57. ἐπεί τί δεῖ (al. τίνος γε δεῖ vel καίτοι τί δεῖ) βροτοῖσι πλὴν δυοῖν μόνον Eur. 892. ἐχρῆν μὲν οὓς ἐγὼ λόγους λέγω, τούτους λέγειν σε· ἐπεὶ δ' ἀφῆκας, λοιπόν ἐστ' ἴσως ἐμὲ ἐκ τῆς ἀνάγκης τά γε δίκαι' αὐτὴν λέγειν Eur. 953, 4. τότε σε χρῆν ζητεῖν ἐμοὶ ἄνδρ' ᾧ με δώσεις· ἐπεὶ δ' ἅπαξ δέδωκας, ἤδη ἐστίν, πάτερ, ἐμὸν σκοπεῖν τοῦτο Eur. 953, 36. ἐγὼ δ' οὐδὲν πρεσβύτερον νομίζω τᾶς σωφροσύνας, ἐπεὶ τοῖς ἀγαθοῖς ἀεὶ ξύνεστιν Eur. 959, 3. ἐπεὶ δὲ σηκῶν περιβολὰς ἠμείψαμεν Chaer. 17 p. 787. ἐπεὶ δ' ὁ τίκτων πάντα καὶ τρέφων χρόνος τὸν θνητὸν ἠλλοίωσεν ἔμπαλιν βίον· τόθ' ηὐρέθη μὲν καρπός Mosch. 6, 18 p. 814. ἐπεὶ σχολὴ πάρεστι adesp. 138. ἐπεὶ δ' ὁ λαμπρὸς ἐξέλαμψεν ἥλιος adesp. 158. οὐκ οἶσθ', ἐπεί τοι κἂν ἐκώκυες μέγα adesp. 293. λύπας μὲν ἀνθρώποισιν· θεοὶ τοῖσιν διδοῦσιν οὓς ἂν ἐχθαίρωσ', ἐπεὶ οὔ σφιν πονηρόν ἐστιν adesp. 489, 2.

ἐπείγω: ἐπείγετ' εἶα, δμωίδες Eur. 781, 8. λόγχαις ἐπείγοντες (?) φόνον Eur. 495, 6. οἳ δ' εἰς τὸν αὐτὸν πίτυλον ἤπειγ⟨ον δορός⟩ Eur. 495, 11. κἀπὶ τοῦτ' ἐπείγεται Eur. 183. ἥξεις, ἐπείγου μηδέν, εἰς τὸ μόρσιμον Soph. 867, 2. † ἐπειγομένων

κερκίδος ὕμνοις Soph. 804. οἳ δ' ἐπείγοντο πλωταῖς ἀπήναισι χαλκεμβόλοις adesp. 142.

ἐπειδάν: καὶ ταῦτ', ἐπειδὰν εὐφρόνη ζεύξῃ μία, χρεὼν ἐπαινεῖν Soph. 524, 11.

ἐπειδή: ἔπειτ' ἐπειδὴ τἀμφανῆ μὲν οἱ νόμοι ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ, λάθρᾳ δ' ἔπρασσον, τηνικαῦτά μοι δοκεῖ.. πυκνός τις - ἀνὴρ γνῶναι θεοὺς θνητοῖσιν ἐξευρεῖν Crit. 1, 9 p. 771.

ἔπειμι: τοῦ γε πάσχειν τοὐπιὸν μεῖζον κακόν Eur. 135, 2. τῷ παρόντι τοὐπιὸν πιστούμενοι Eur. 1073, 6. *ἐπῇμεν τῆς ὁδοῦ τροχήλατον σχιστῆς κελεύθου τρίοδον Aesch. 173.

ἐπείσοδος: Ἠλούτωνος ἥδ' ἐπείσοδος Soph. 251.

ἐπεισρέω: καὶ τὴν μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει adesp. 89.

ἐπεισφρείς: ἀλλ' ἔσιθ' ἐς οἶκον, μή τιν' Ἥφαιστος χόλον δόμοις ἐπεισφρεὶς μέλαθρα συμφλέξῃ πυρί Eur. 781, 50.

ἔπειτα: κἄπειτ' Ἀθήνας Διάδας παρεκπερῶν Aesch. 31. κἄπειτα δ' εἶσι λαμπρὸν ἡλίου φάος Aesch. 43. ἔπειτα δ' ἥξεις δῆμον ἐνδικώτατον ⟨βροτῶν⟩ ἁπάντων καὶ φιλοξενώτατον Aesch. 196. ὁ Ζεὺς - νιφάδι γογγύλων πέτρων ὑπόσκιον θήσει χθόν', οἷς ἔπειτα σὺ βαλὼν διώσεις ῥᾳδίως Λίγυν στρατόν Aesch. 199, 8. ἔπειτα δ' οὐδεὶς ἐχθρὸς οὕτε φύεται πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν Soph. 85, 4. πρῶτον μὲν ὄψει λευκὸν ἀνθοῦντα στάχυν, ἔπειτα φοινίξαντα γογγύλον μόρον, ἔπειτα γῆρας λαμβάνει σφ' Αἰγύπτιον Soph. 363, 2. 3. κἄπειτα σώσει πάνθ' ἃ πρόσθ' ἀπώλεσεν Soph. 1027, 9. ἢν τ' αὖ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ, κἄπειτα τίκτει πόλεμον Eur. 340, 3. ἔπειτα τέκνα τοῦδ' ἔκατι τίκτομεν, ὡς θεῶν τε βωμοὺς πατρίδα τε ῥυώμεθα Eur. 360, 14. καὶ κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι - ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος Eur. 419, 4. δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς πτεροῖσι, κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς γράφειν τιν' αὐτά Eur. 506, 2. τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτοῖς. ἔπειτα παῖδας σὺν πικραῖς ἀλγηδόσιν τίκτω Eur. 908, 2. Σκυθικῷ τε τόξῳ ⟨τὸ⟩ τρίτον ἦν προσεμφερές· ἔπειτα τριόδους πλάγιος ἦν προσκείμενος Agath. 4, 4 p. 764. οὔτ' αὖ κόλασμα τοῖς κακοῖς ἐγίγνετο. κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους θέσθαι κολαστάς - ἔπειτ' ἐπειδὴ τἀμφανῆ μὲν οἱ νόμοι ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ, λάθρᾳ δ' ἔπρασσον, τηνικαῦτά μοι δοκεῖ - σοφὸς γνώμην ἀνὴρ γνῶναι θεοὺς θνητοῖσιν ἐξευρεῖν Crit. 1, 5. 9 p. 771. ἔπειτα δ' οὐδὲ τοῦτο γιγνώσκεις, ὅτι Dionys. 7 p. 795. γραφῆς ὁ πρῶτος ἦν μαλακόφθαλμος κύκλος· ἔπειτα δισσοὶ κανόνες ἰσόμετροι πάνυ - τρίτον δ' ἑλικτῷ βοστρύχῳ προσεμφερές. ἔπειτα τριόδους πλάγιος ὡς ἐφαίνετο Theod. 6, 2. 5 p. 803. καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον, ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον adesp. 62, 2. ἔπειτα πάσης Ἑλλάδος καὶ ξυμμάχων βίον διώκησ' ὄντα πρὶν πεφυρμένον adesp. 470.

ἐπέκεινα: κοὐκ ἀπουσίαν ἐκ τοὐπ-

ἐκεινα σὰν τό τ' Ο κηρύσσετον Ach. 33, 4 p. 754.

ἐπενδύτης: ἔργῳ νόμιζε νεβρίδ' ἔχειν ἐπενδύτην Thesp. 1 p. 832. πέπλους τε νῆσαι λινογενεῖς τ' ἐπενδύτας Soph. 406.

ἐπεξεργάζομαι: βουλὴ μὲν ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται Ion. 63, 3 p. 745.

ἐπεξέρχομαι: ἀλλ' οὐ γὰρ ἂν τὰ θεῖα - μάθοις ἄν, οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν Soph. 833, 2.

ἐπερέσθαι v. ἐπηρόμην.

ἐπέρχομαι: Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται Eur. 431. πόθῳ δὲ μητέρ' ἠφανισμένης κόρης μαστῆρ' ἐπελθεῖν πᾶσαν ἐν κύκλῳ χθόνα Carc. 5, 5 p. 799. cf. ἔπειμι.

ἐπεσθίω: κρέασι βοείοις χλωρὰ σῦκ' ἐπήσθιεν Eur. 907.

ἐπευφημῶ: ξύμπαντά τ' εἰπὼν θεοφιλεῖς ἐμὰς τύχας παιᾶν' ἐπηυφήμησεν εὐθυμῶν ἐμέ Aesch. 350, 4.

ἐπεύχομαι: ἐπεύχομαι δὲ νυκτὶ τῇ κατουλάδι Soph. 400. ὡς καὶ τύραννον πᾶς *ἐπεύξεται φυγεῖν Soph. 351.

ἔπεφνον: ἀργῆν ἔπεφνεν adesp. 199.

ἐπήβολος: εἴθ' εὖ φρονήσαντ' εἰσίδοιμί πως φρενῶν ἐπήβολον καλῶν σε Soph. 104, 2.

ἔπηλις Soph. 944.

ἐπηλύσιος: ἄρθρων ἐπηλυσίων (?) Aesch. 17, 3.

ἐπηρόμην: ὀρθῶς μ' ἐπήρου Eur. 362.

ἐπί: a) ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῶν νεκροί (al. νεκρῷ νεκρός), ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι Aesch. 38. λεπτὴ γὰρ ἐλπὶς ἥδ' ἐπὶ *ξυροῦ *τ' *ἔβην Aesch. 99, 22. ἐπ' ὤμων πατέρ' ἔχων Soph. 344, 2. λοξαὶ δ' ἐπ' αὐτῆς τρεῖς κατεστηριγμέναι εἰσίν Eur. 382, 9. θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις Eur. 397. κἀπὶ τεσσάρων φοιτῶσιν ἵππων ἀργυρῶν Eur. 675, 2. πάντ' ἀκριβῶς κἀπὶ φροντίδων βίον - ζῶσιν Eur. 684, 4. ἵει δ' ἐφ' ἑπτὰ πλειάδων ἔχων δρόμον Eur. 779, 4. ἐφ' ἑνός τε κανόνος ἦσαν [ἐζυγωμένοι δύο] Agath. 4, 5 p. 764. λεπτή τις ἐλπὶς ἐστ' ἐφ' ἧς ὀχούμεθα adesp. 55. ἐπ' *ἀστράβης ὄχημ' ἀκινδύνως φέρων adesp. 210. — ⟨εἶδον δὲ τ⟩ὸν μὲν ὄρεος - φόβῃ ⟨κρυφθέν⟩τα, τὸν δὲ πευκίνων ὄζων ἔπι Eur. 495, 35. Τελαμὼν δὲ χρυσοῦν αἰετὸν πέλτης ἔπι Eur. 530. ὑπνωμέναι δ' ἔπιπτον ἐλενίων ἔπι Chaer. 14, 12 p. 786. — b) τί δῆτ' ἐπ' αὐτοῖς ὄνομα θήσονται βροτοί Aesch. 6. φθάσαντος δ' ἐπ' ἔργοις προπηδήσεταί νιν Aesch. 23, 2. ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι Aesch. 38, 2. ἔνθ' ἐπὶ δυσμαῖς ἴσου πατρὸς Ἡφαιστοτυκὲς δέπας Aesch. 69. τὸ συγκλινές τ' ἐπ' Αἴαντι Aesch. 84. ἀλλ' ἔστι κἀμοὶ κλὴς ἐπὶ γλώσσῃ φύλαξ Aesch. 316. φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις νικᾶν ἐπ' αἰσχροῖς ἢ ἐπὶ τοῖς καλοῖς πλέον Soph. 186, 2. μέδεις εὐανέμου λίμνας ἐφ' ὑψηλαῖς σπιλάδεσσι † στομάτων Soph. 342, 3. λεπταῖς ἐπὶ *ῥιπῖσιν ἐμπολὰς μακρὰς ἀεὶ παραρριπτοντες Soph. 511, 4. κἀπὶ Κυρβάντεσι χορεύσατε Soph. 778. χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ χρή ποτε Soph. 840. ὅς τ' ἐπ' Ἀλφειοῦ ῥοαῖς θεοῦ μανεὶς ἔρριψε Σαλ-

μωνεὺς φλόγα Eur. 14, 3. εἰ μὴ ἐπὶ τοῖς δεινοῖσιν ὠφελήσομεν Eur. 84, 2. κἀφ' ὅτῳ τεταγμένος εἴη τις Eur. 93, 2. ἐκ καλλιόνων λέκτροις *ἐπ' αἰσχροῖς εἶδον ἐκπεπληγμένους Eur. 213, 2. σκέψασθε δ' αὐτοί, μὴ ἐπὶ τοῖς ἐμοῖς λόγοις γνώμην ἔχοντες Eur. 286, 4. ἔρως γὰρ ἀργὸν κἀπὶ τοιούτοις ἔφυ Eur. 322. οὐκ οὖν ἅπαντα *τοὐπ' ἐμοὶ σωθήσεται Eur. 360, 41. ἔν τε τοῖσι γὰρ καλοῖς πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον Eur. 401, 4. ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ στάζειν Eur. 407. κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν, ἐφ' οἷσι μέλλει μήποθ' ὕστερον στένειν Eur. 459, 2. ἣ πρῶτα μὲν τὰ θεῖα προυμαντεύσατο χρησμοῖσι σαφέσιν ἀστέρων ἐπ' ἀντολαῖς Eur. 482, 2. ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει αἴσχρ' ἐστί Eur. 583. μηλοσφαγεῖ τε δαιμόνων ἐπ' ἐσχάραις Eur. 628. ὀρῷ γ' *ἐπ' ἀκταῖς - ἁλιαίετον Eur. 636, 2. ἕτερον ἐφ' ἑτέρῳ αἱρόμενος ἄγρευμ' ἀνθέων Eur. 754. παγαῖς τ' ἐπ' Ὠκεανοῦ μελιβόας κύκνος ἀχεῖ Eur. 773, 33. φθονεῖσθαι δὲ θέλοιμ' ἂν ἐπ' ἐσθλοῖς Eur. 814, 2. ἥκει δ' ἐπ' ὤμοις ἢ συὸς φέρων βάρος ἢ τὴν ἄμορφον λύγκα Eur. 863. οὐκ ἀρκεῖ μίαν ψυχὴν ἀλύειν κἀπὶ τῇδ' ἔχειν πόνους Eur. 908, 8. ὦ πολύμοχθος βιοτὴ θνητοῖς, ὡς ἐπὶ παντὶ σφαλερὰ κεῖσαι Eur. 916, 2. καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθων Eur. 918, 2. ἄλλ' ἐπ' ἄλλῃ φάρμακον κεῖται νόσῳ Eur. 962. λάμπει δ' ἐπὶ πορφυρέαις παρῇσι φῶς ἔρωτος Phryn. 13 p. 723. οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός Chaer. 37 p. 791. δεινοὺς ἐπ' ἀλλήλοισι πέμποντες λόγους Patrocl. 1, 4 p. 830. ἐπὶ γὰρ Ὀρφείαις μὲν ᾠδαῖς εἵπετο δένδρεα adesp. 129, 6. γνησίων ἐπὶ σπορᾷ παίδων adesp. 444. θεὸς δ' ἐπὶ σμικροῖσιν οὐ θερμαίνεται adesp. 448. ἐπὶ γλώσσῃ φυείς (?) adesp. 529. — cf. ἐπιτίθημι. — c) τί ποτε - οὐ πλάθεις ἐπ' ἀρωγάν Aesch. 132, 2. ὅτι νυν ἦλθ' ἐπὶ στόμα Aesch. 351. τὸ γὰρ βρότειον σπέρμ' ἐφ' *ἡμέραν φρονεῖ Aesch. 399. τῇδε βάκχειος βότρυς ἐπ' ἦμαρ ἔρπει Soph. 234, 3. συὸς μέγιστον χρῆμ' ἐπ' Οἰνέως γύας (γύαις ll.) ἀνῆκε Λητοῦς παῖς ἐκηβόλος θεά Soph. 369. ὡς ἀμποταθείην ὑπὲρ ⟨αἰθέρος⟩ ἀτρυγέτου γλαυκᾶς ἐπ' οἶδμα λίμνας Soph. 435, 3. πάλιν διαρρεῖ κἀπὶ (al. κεἰς τὸ) μηδὲν ἔρχεται Soph. 787, 8. ἐπ' ἔσχατα χθονός Soph. 870. ἐπ' ἄκραν ἥκομεν γραμμὴν κακῶν Eur. 169. λαμπρός θ' ἕκαστος κἀπὶ τοῦτ' ἐπείγεται Eur. 183. μὴ ἐπὶ δουλείαν ποτὲ ζῶν ἐκὼν ἔλθῃς Eur. 245. Αἰθιοπίαν νιν ἐξέσωσ' ἐπὶ χθόνα Eur. 349. Ἔρως - καὶ θεῶν ἄνω ψυχὰς χαράσσει - κἀπὶ πόντον ἔρχεται Eur. 431, 3. ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως ζηλωτὸς ἀνθρώποισιν Eur. 672. ἦλθεν δ' ἐπὶ χρυσόκερων ἔλαφον - κατ' ἔναυλ' ὀρέων ἀβάτους ἐπί τε (?) λειμῶνας Eur. 740, 2. 4. σινδὼν δὲ πρότονον ἐπὶ μέσον πελάζει Eur. 773, 42. δμωσὶν γὰρ ἀνάκτων εὐαμερίαι προσιοῦσαι μολπᾶν θράσος αἴρουσ' ἐπὶ χάρματα Eur. 773, 49. αἳ δ' ἔπταντ' ἐπ' αἰθέρος πτυχάς Eur. 779, 7. τοὐφ' ἡμέραν κακόν τι πράσσων Eur. 835. ὅση πέφυκε κἀφ' ὅσον

διέρχεται Eur. 898, 3. μήτε πολιτῶν ἐπὶ πημοσύνην μήτ' εἰς ἀδίκους πράξεις ὁρμῶν Eur. 910, 3. ἕλκων ἐφ' αὐτὸν ὥστε καικίας νέφος adesp. 75. σὺ μὲν βάδιζε τὰς (?) ἐπ' Ἰνάχου ῥοάς adesp. 177. πτωχὸς πλανήτης, βίον ἔχων τοὑφ' ἡμέραν adesp. 284, 2. τὴν μὲν μυΐαν - πηδᾶν ἐπ' ἀνδρῶν σώματα adesp. 295, 2. πρὸς ὕῆλυ νεύει μᾶλλον ἢ ἐπὶ τἄρσενα adesp. 355. ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ adesp. 547, 5. — καὶ τἀμπλακήματ' ἔρχεται θεοὺς ἔπι adesp. 481, 2. — d) ἐπ' αἰετὸς δὲ ξουθὸς ἱππαλεκτρυὼν στάζει Aesch. 134. ἐπὶ δ' αὐλὸς ἀλέκτωρ Λύδιον ὕμνον ἀχέων Ion. 39 p. 740.

ἐπιβλέπω: ὅταν ἐπιβλέψῃ γοργὸν ὄμμα δεσπότου Aesch. 464, 11.

ἐπιβώμιος: σκάρφει παλαιῷ κἀπιβωμίῳ ψόλῳ Aesch. 24.

ἐπίγειος: ἡ δὲ βοσκηθεῖσα φλὸξ ἅπαντα τἀπίγεια καὶ μετάρσια φλέξει Soph. 1027, 4.

ἐπιγλωσσῶμαι: ἐπιγλωσσῶ Aesch. 77.

ἐπιεικής: τὸ γὰρ ἐπιεικὲς ὠφελεῖ τὰς ξυμφοράς Eur. 274. ὃς οὔτε τοὐπιεικὲς οὔτε τὴν χάριν οἶδεν Soph. 703, 2. τἀπιεικῆ πρόσθεν ἡγοῦνται δίκης Eur. 645, 6.

ἐπιζώστρα: ἔχοντας εὐζώνους ἔστασαν ἱματίων ἐπιζώστρας (?) Soph. 318.

ἐπιθυμῶ: γῆρας - οὐ πάντες ἐπιθυμοῦμεν Crat. 3, 3 p. 810.

ἐπικάρσιος: πάντα βροτοῖς Ζεὺς ἐπικάρσια τέμνει adesp. 482, 3.

ἐπικινδύνως: ἡ παῖς νοσεῖ σου κἀπικινδύνως ἔχει Eur. 682.

ἐπίκοτος: ἐπίκοτα Soph. 395.

ἐπίκουρος: ὡς ἔλθῃ θεὰ χρυσῆν ἔχουσα Γοργόν' ἐπίκουρος πόλει Eur. 351, 2.

ἐπίκρουμα: ἐπίκρουμα χθονὸς Ἀργείας Soph. 265.

ἐπικρύπτω: ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὐτοῦ τύχας εἰς πάντας ἀμαθές, τὸ δ' ἐπικρύπτεσθαι σοφόν Eur. 553, 2.

ἐπικτυπῶ: ξανθὴ δ' Ἀφροδισία λάταξ πᾶσιν *ἐπικτυπεῖ δόμοις Soph. 255, 2.

ἐπίκωμος: σύνδειπνος ἢ ἐπίκωμος (ἐπίκωπος ll.) ἢ μαζαγρέτας Ἅιδου τραπεζεύς Aristiae 3 p. 727.

ἐπιλήθω: οὐδ' ὅ γε σῶμα τυπεὶς - ἐπιλάθεται ἀλκᾶς Ion. 53 p. 743.

ἐπιμάσσομαι: ἐπιμάσσεται Soph. 52.

ἐπιμαστίδιος: ἐπιμαστίδιον γόνον ὀρταλίχων Soph. 725, 2.

ἐπιμελής: ὅρκου δὲ προστεθέντος ἐπιμελεστέρα ψυχὴ κατέστη Soph. 431.

ἐπιμοιρῶμαι: τοὺς θανόντας ὥρισεν νόμος τύμβοις καλύπτειν κἀπιμοιρᾶσθαι κόνιν νεκροῖς ἀθάπτοις Mosch. 6, 31 p. 814.

ἐπιξενοῦμαι: ἐπιξενοῦσθαι Aesch. 120. Soph. 149.

ἔπιπλα: Soph. 7.

ἐπιρροή: ἰὼ Κάικε Μύσιαί τ' ἐπιρροαί Aesch. 143. ὀδυρμοὶ δακρύων τ' ἐπιρροαί Eur. 573, 2.

ἐπίρροθος: διεμπολώμεθα - αἳ μὲν ξένους πρὸς ἄνδρας, αἳ δὲ βαρβάρους, αἳ δ' εἰς † ἀληθῆ δώμαθ', αἳ δ' ἐπίρροθα Soph. 524, 10.

ἐπιρροθῶ: χορὸς δ' ἀναύδων ἰχθύων ἐπερρόθει Soph. 695.

ἐπιρρυθμίζω: αἰδὼς δ' ἐπερρύθμιζεν ἠπιώτατον ἐρύθημα λαμπρῷ προστιθεῖσα χρώματι Chaer. 1, 3 p. 781.

ἐπισείω: τρεῖς τ' *ἐπισσείων λόφους Aesch. 74, 6. ἐπισειούσης Soph. 150.

ἔπίσημος: εἰς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ Eur. 294, 2.

ἐπίσιγμα: *ἐπισίγματα Soph. 8.

ἐπισκήπτω: μάλιστα μέν μ' ἐπῆρ' ἐπισκήψας πατήρ Eur. 69.

ἐπισκοπῶ: ἡ τὰ θνητῶν καὶ τὰ θεῖα πάντ' ἐπισκοποῦσ' ⟨ἀεί⟩ - τύχη adesp. 505.

ἐπισπένδω: οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων ἄνοις Aesch. 161, 2.

ἐπισπῶ: ἐπισπάσει Soph. 137. βροχωτὸν ἀγχόνην ἐπισπάσας δέρῃ Neophr. 3, 2 p. 731.

ἐπισσείω v. ἐπισείω.

ἐπίσταμαι: γένος μὲν αἰνεῖν ἐκμαθὼν ἐπίσταμαι Αἰθιοπίδος γῆς Aesch. 300. οὐκ οἶδα τὴν σὴν πεῖραν· ἓν δ' ἐπίσταμαι, τοῦ παιδὸς ὄντος τοῦδ' ἐγὼ διόλλυμαι Soph. 168. οὐ πώποθ' ὑμᾶς συμβαλεῖν ἐπίσταμαι Soph. 817. ἐπίσταμαι δὲ πάνθ' ὅσ' εὐγενῆ χρεών, σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλές Eur. 413. ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι Eur. 462. τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι Eur. 1067. ἐπίσταμαι δὲ καὶ τάδ' οὖσά περ γυνή, ὡς Ioph. 2 p. 761. ἐγὼ δ' ἐμαυτοῦ καὶ κλύειν ἐπίσταμαι ἄρχειν θ' ὁμοίως adesp. 327. νῦν δ' οὐκ ἐθισθεὶς τοῦτ' ἐπίσταμαι μὲν οὔ, φέρειν δ' ἀνάγκη adesp. 546, 9. πρὶν γὰρ φρονεῖν εὖ καταφρονεῖν ἐπίστασαι Chaer. 25 p. 789. τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίσταται Aesch. 305. παῖς δ' οὖν κακὸν μὲν δρᾶν τι προῖκ' ἐπίσταται Soph. 1019, 6. τίς ἀλγεῖν οὐκ ἐπίσταται κακοῖς Eur. 33. οἶδεν δ' ἐμὴ τάδ' ἣ οὐκ *ἐπίσταται δάμαρ Eur. 781, 55. ὅστις σωφρονεῖν ἐπίσταται Eur. 799, 3. πᾶσα γὰρ ἀγαθὴ γυνὴ - σωφρονεῖν ἐπίσταται Eur. 909, 3. σοφὸς παρ' ἡμῖν καὶ τὰ θεῖ' ἐπίσταται Eur. 965, 2. τὸ γνῶθι σαυτὸν τοῦτ' ἔπος μὲν οὐ μέγα, ἔργον δ' ὅσον Ζεὺς μόνος ἐπίσταται θεῶν Ion. 55, 2 p. 743. οὗτος δ' ἐκείνου παῖς πατρὶ πλαστὸς νόθος, μητρὸς δ' ὁποίας ἡ τεκοῦσ' ἐπίσταται Sosith. 2, 5 p. 822. ὅστις δὲ γαστρὸς μὴ κρατεῖν ἐπίσταται Char. 1, 4 p. 826. τὸ δ' ἡδὺ μοῦνος οὐκ ἐπίσταται Thesp. 3, 3 p. 833. τὸ μέλλον οὐδεὶς ἀσφαλῶς ἐπίσταται adesp. 102. ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται adesp. 515, 3. ἀλλὰ ταῦτα γὰρ λέγειν *ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει Eur. 572, 5. οὐκ ἐπίστανται γαμεῖν Eur. 502, 2. τυραννικόν τοι πόλλ' ἐπίστασθαι λέγειν Eur. 335. ἐξηῦρον ἀνθρώποισι γράμματ' εἰδέναι, ὥστ' οὐ παρόντα - τἀκεῖ κατ' οἴκους πάντ' ἐπίστασθαι καλῶς Eur. 578, 5. ὅστις - αὐχεῖ θεῶν ἐπίστασθαι πέρι Eur. 795, 4. ἠπιστάμην ἂν μουσικὴν παρεὶς πονεῖν adesp. 546, 2.

ἐπιστατῶ: ποιμνίοις (ποιμνίων ll.) ἐπιστατῶν Eur. 188, 4. ἐπιστατῶν (?) Sosith. 2, 16 p. 822. ἐπιστατεῖν

Soph. 945. τίς γάρ με μόχθος οὐκ ἐπεστάτει (?) Soph. 154.

ἐπιστείχω: οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν ποθεῖτε Eur. 816, 7.

ἐπιστέλλω: τἀπεσταλμένα πράσσειν Eur. 1132, 47.

ἐπιστήμη: ἐκ τῆς ἐπιστήμης ἐκπεπτωκότες Eur. 522, 3.

ἐπιστήμων: ἰατρός ἐστιν οὐκ ἐπιστήμων *ἀκῶν Soph. 530, 5.

ἐπιστολή: ἄκουε τὰς ἐμὰς ἐπιστολάς Aesch. 293. μηδὲν φοβεῖσθαι προσφάτους ἐπιστολάς Soph. 124.

ἐπιστροφή: Σπερχειὲ ποταμὲ βούνομοί τ' ἐπιστροφαί Aesch. 249. ἐπιστροφαί Aesch. 271. Κίλιξ δὲ χώρα καὶ Σύρων *ἐπιστροφαί adesp. 162.

Ἐπίστροφος: Μύνου τ' Ἐπιστρόφου τε Soph. 40.

ἐπιστρωφῶ: στρατός ποτ' εἰς γῆν τήνδ' ἐπεστρώφα ποδί Phryn. 5 p. 721.

ἐπισχολάζομαι (?): κἀξορμενίζει κοὐκ ἐπισχολάζεται βλάστη Soph. 294.

ἐπιτάξ: πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν ἰδόντ' ἀκεῖσθαι, μὴ ἐπιτὰξ τὰ (μὴ 'πιτακτὰ ll.) φάρμακα διδόντα Eur. 292, 2.

ἐπιτάσσω: ὡς εἴης ἂν οὐχ ὑπήκοος, τάσσειν δὲ μᾶλλον ἢ ἐπιτάσσεσθαι θέλοις Eur. 690, 3.

ἐπιτήδευμα: οὐκ ἔστιν ἐπιτήδευμα χρησιμώτερον τῆς πραότητος adesp. 173.

ἐπιτίθημι: τί δῆτ' ἐπ' αὐτοῖς ὄνομα θήσονται βροτοί Aesch. 6.

ἐπιτιμητής: κολασταὶ κἀπιτιμηταὶ κακῶν Soph. 490.

ἐπιτρέπω: σμικραῖς ἑαυτοὺς ἐπιτρέπουσιν ἐλπίσιν Eur. 921, 2.

ἐπιφανής: ἵνα τὰς συμφορὰς λάβωσιν ἐπιφανεστέρας adesp. 82, 3.

ἐπίφθονος: ἅπαν τὸ λίαν συνετόν ἐστ' ἐπίφθονον adesp. 531.

ἐπιχαλκεύω: σφύρας δέχεσθαι κἀπιχαλκεύειν μύδρους Aesch. 307.

ἐπίχειρα: ἀρετὴ τῶν ἐν ἀνθρώποις μόνη οὐκ ἐκ θυραίων τἀπίχειρα λαμβάνει adesp. 116, 2.

ἐπιχειρῶ: ἡ δόκησις ἀνθρώποις κακόν, καὶ τοὐπιχειρεῖν γ' ἐξαμαρτάνειν φιλεῖ Eur. 277, 3.

ἐπιχέω: ἀπώλεσας τὸν οἶνον ἐπιχέας ὕδωρ Aristiae 4 p. 727.

ἐπιχορεύω: ὅ τ' ἁλιτήριος καὶ δημόκοινος ἐπεχόρευε δαψιλὴς θέρμος Lycophr. 2, 4 p. 817.

ἐπιχορτάζω: φαγεῖν τ' ἔδωκεν εὖ κἀπεχόρτασεν (?) Sosith. 2, 13 p. 822.

ἐπιχώριος: ἦ βλαστὸς οὐκ ἔβλαστεν οὐπιχώριος Soph. 317. κἀπιχωρίοις ὀσμαῖσι θυμιῶσιν εἰσόδους δόμων Eur. 773, 13.

ἐπιψάλλω: ἐπιψάλλειν βίδην τε καί ξυναυλίαν Soph. 57.

ἐπιψαύω: τί τούτου χάρμα μεῖζον ἂν λάβοις τοῦ γῆς ἐπιψαύσαντα κᾆθ' ὑπὸ στέγῃ πυκνῆς ἀκοῦσαι ψακάδος Soph. 579, 2.

ἐποίζω: ἐφημένη τάφον τέκνοις ἐπῷζε (ἔπωζε l.) τοῖς τεθνηκόσιν Aesch. 157, 2.

ἐπολβίζω: ἔν' ἀσφαλὲς γὰρ τὸν θανόντ' ἐπολβίσαι (ἐπαινέσαι ll.) Dionys. 3, 3 p. 794.

ἔπομαι: ἀλλ' ἔπου χώρας τρόποις adesp. 435. νόμοις ἕπεσθαι τοῖσιν

ἐγχώροις καλόν Soph. 851. ἐπὶ γὰρ Ὀρφείαις μὲν ᾠδαῖς εἵπετο δένδρεα - σοὶ δὲ καὶ χθὼν πᾶσα adesp. 129, 7.

ἑπομβρία: Νεῖλος ἑπτάρους γαῖαν κυλίνδων πνευμάτων ἑπομβρίᾳ Aesch. 300, 3.

ἐπονείδιστος: τίς τοὐμὸν ὄνομα τοὐπονείδιστον βροτοῖς οὐκ οἶδε Λαμίας Eur. 922.

ἐπόπτης: τοῦτον δ' ἐπόπτην ἔποπα τῶν αὑτοῦ κακῶν πεποικίλωκε Aesch. 304.

ἔπος: τὸ γνῶθι σαυτὸν τοῦτ' ἔπος μὲν οὐ μέγα, ἔργον δ' ὅσον Ion. 55 p. 743. † ὄχος γὰρ οὐδὲ τοῖσιν εὐόργοις ἔπος adesp. 212. τόδ' ἐξοπλίζει τοὔπος Ἀργεῖον λεών adesp. 404. καὶ τοῦτο τοὔπος ἐστὶν ἀνδρὸς ἔμφρονος adesp. 460. μή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος Soph. 849. ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη Aesch. 176. αἷς κόσμος ἡ σιγή τε καὶ τὰ παῦρ' ἔπη Soph. 61, 4. τὰ γὰρ περισσὰ πανταχοῦ λυπήρ' ἔπη Soph. 79, 2. οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά Soph. 755. καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει Eur. 1065. γένοιντ' ἂν εὖ λελεγμένοι λόγοι ψευδεῖς, ἐπῶν δὲ κἄλλεσιν νικῷεν ἂν τἀληθές Eur. 206, 2. καὶ νῦν τὰ δεινὰ ταῦτα καὶ τὰ πόλλ' ἔπη εἰς ὧδε μικρὸν τεῦχος ἤθροισεν τύχη Patrocl. 1 p. 830.

ἔποψ: τοῦτον δ' ἐπόπτην ἔποπα τῶν αὑτοῦ κακῶν πεποικίλωκε Aesch. 304.

ἑπτά: αἱ δ' ἑπτ' Ἄτλαντος παῖδες ὠνομασμέναι πατρὸς μέγιστον ἆθλον οὐρανοστεγῆ κλαίεσκον Aesch. 312. δὶς ἑπτ' αὐτῆς τέκνα Νιόβης θανόντα Λοξίου τοξεύμασιν Eur. 455. ἴει δ' ἐφ' ἑπτὰ πλειάδων ἔχων δρόμον Eur. 779, 4.

ἑπτάρους: Νεῖλος ἑπτάρους Aesch. 300, 2.

ἑπτάστομος: Θήβας λέγεις μοι τὰς πύλας ἑπταστόμους Soph. 705.

ἐπῳδή: μάγοις ἐπῳδαῖς Sosiph. 1 p. 819.

ἐπῳδός: δυσπραξίᾳ ληφθεὶς ἐπῳδός ἐστι τῷ πειρωμένῳ adesp. 364, 4.

ἐπωμίς: λελυμένης ἐπωμίδος Chaer. 14, 2 p. 786. νέῳ στίλβοντες ἄνθει καρτερὰς ἐπωμίδας Ach. 4, 3 p. 747.

ἐπώνυμος: ὄρνιθος ἦλθ' ἐπώνυμος πέρδικος Soph. 300. ὀρθῶς δ' Ὀδυσσεύς εἰμ' ἐπώνυμος κακοῖς Soph. 880. Πενθεὺς ἐσομένης συμφορᾶς ἐπώνυμος Chaer. 4 p. 783. ἥ τοι Κύπρις οὐ Κύπρις μόνον, ἀλλ' ἐστὶ πολλῶν ὀνομάτων ἐπώνυμος Soph. 855, 2. Ἀνακτόρειον τῆσδ' ἐπώνυμον χθονός Soph. 830. Λευκοθέαν ἐπώνυμον adesp. 100. ἐπώνυμον γοῦν εὐθὺς ἔσχομεν κλέος Κούρητες εἶναι Agath. 3, 3 p. 763.

Ἐπωπεύς — Eur. p. 411.

ἔραζε: οὐμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει Aesch. 159, 2.

ἔραμαι: οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν Eur. 322, 4.

ἔρανος: τὸν αὐτὸν ἔρανον αὐτοῖσιν νέμεις Dicaeog. 4, 2 p. 776.

ἐραστής: χορῶν ἐραστὴς κισσός Chaer. 5 p. 783.

ἐργάζομαι: οὐδ' ἀνὴρ οὐ πρὶν ἂν φάγῃ καλῶς ὅμοια καὶ βοῦς ἐργάτης ἐργάζεται Soph. 138, 3. ἐργάζεται δ' ἐλαφρὰ πρὸς τὰ σιτία Sosith. 2, 9

p. 822. ὁ γὰρ χρόνος μ' ἔκαμψε, τέκτων μὲν σοφός, ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα Crat. 4, 2 p. 810. ὦ Φοῖβ' Ἄπολλον Λύκιε, τί ποτέ μ' ἐργάσῃ Eur. 700. μῶν φόνον τιν' εἰργάσω Eur. 1008. τί δῆτα χεῖρες οὐκ ἂν ἐργασαίατο adesp. 46. ἢ πολλά μ' ἐν δόμοισιν εἴργασται κακά Aesch. 311, 2.

Ἐργάνη: οἳ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς λίκνοισι προστρέπεσθε Soph. 760, 2.

ἐργάτης: οὐδ' ἀνὴρ οὐ πρὶν ἂν φάγῃ καλῶς ὅμοια καὶ βοῦς ἐργάτης ἐργάζεται Soph. 138, 3. οὐδ' ἐργάτης σίδηρος εὐιώτιδος θάλλοντας οἴνης ὀρχάτους ἐτημέλει Mosch. 6, 11 p. 814.

ἔργον: ταχὺ δ' αὐτὸ δείξει τοὔργον Soph. 356. πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα Soph. 785. τὸ γνῶθι σαυτὸν τοῦτ' ἔπος μὲν οὐ μέγα, ἔργον δ' ὅσον Ζεὺς μόνος ἐπίσταται θεῶν Ion. 55, 2 p. 743. τὸ μὴ δίκαιον ἔργον οὐ λήθει θεούς adesp. 487. ἔργου δὲ παντὸς ἦν τις ἄρχηται καλῶς Soph. 747. οὐ πώποτ' ἔργου μᾶλλον εἰλόμην λόγους Eur. 394. πᾶσαν ἐν ἔργῳ περιτεμνόμενον σοφίαν Eur. 473, 2. ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ Eur. 898, 6. ἔργῳ νόμιζε νεβρίδ' ἔχειν ἐπενδύτην Thesp. 1 p. 832. τῷ λόγῳ μὲν εὖ διέρχῃ πάντα, τῷ δ' ἔργῳ κακῶς adesp. 514. λόγος γὰρ τοὔργον οὐ νικᾷ ποτε Eur. 97, 3. λόγων δίκαιον μισθὸν ἂν λόγους φέροις, ἔργον δ' ἐκεῖνος ἔργον ὃς παρέσχετο Eur. 890, 2. ὦ χέρες χέρες, πρὸς οἷον ἔργον ἐξοπλιζόμεσθα Neophr. 2, 13 p. 731. Πελίου μὲν ἆθλον, Κάστορος δ' ἔργον ποδῶν Ion. 1, 3 p. 732. τὸ μὲν πάρεργον ἔργον ὡς ποιούμεθα, τὸ δ' ἔργον ὡς πάρεργον ἐκπονούμεθα Agath. 11, 1. 2 p. 766. χρῶμα δ' ὄμμασιν λευκὸν μελαίνης † ἔργον ἀντηύγει σκιᾶς Chaer. 14, 6 p. 786. ὦ τλῆμον ἀρετή, λόγος ἄρ' ἦσθ'· ἐγὼ δέ σε ὡς ἔργον ἤσκουν adesp. 374, 2. ὅ τοι θρασὺς πρὸς ἔργον ἐκ πολλοῦ κακός adesp. 449. ὁ μὴ τοὔργον δεδοικὼς οὐ δέδοικε τὸν λόγον adesp. 459. πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά, νοῦς φροῦδος, ἔργ' (al. ὦτα) ἀχρεῖα Soph. 863, 2. ἔργα μὲν νεωτέρων, βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος Eur. 508. τὰ δ' ἔργ' ἐφ' οἷς λέγει αἴσχρ' ἐστί Eur. 583. νεανίας γὰρ ὅστις ὢν Ἄρῃ στυγῇ, κόμη μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ Eur. 1052, 2. γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίγνεται adesp. 309. ὅπου λόγοι σθένουσι τῶν ἔργων πλέον Soph. 192, 2. οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά Soph. 755. τοῖς δὲ τοιούτοις οὐδέποτ' αἰσχρῶν ἔργων μελέδημα προσίζει Eur. 910, 9. τοία σε μοῖρα σῶν κακῶν ἔργων μένει Neophr. 3, 3 p. 731. ἔργων μυστικῶν προφάντιδες adesp. 425. γνῶμαι γὰρ ἔργων τῶν ἐν ἀνθρώποις τροφοί adesp. 539. φθάσαντος δ' ἐπ' ἔργοις προπηδήσεταί νιν Aesch. 23, 2. (cf. τοιούτοις.) λόγῳ πολίτης ἐστί, τοῖς δ' ἔργοισιν οὔ Eur. 360, 13. εἶθ' ἦσθα σώφρων ἔργα τοῖς λόγοις ἴσα Soph. 810. ὅστις τε μύθοις ἔργ' ἀπαλλάσσει κακά Eur. 282, 26. ὑπ' αἰδοῦς δ' ἔργ' ἀπωθεῖται χερῶν Eur. 285, 14. τὰ δ' ἔργ' ἐλάσσω χρημά-

των νομίζομεν Eur. 378, 3. ἥτις πονηρὰ τἄργ' ἔχουσ' ⟨εἶτ'⟩ εὖ λέγεις Eur. 528, 2. ἤδη δ' εἰς ἔργα κυναγοὶ στείχουσιν θηροφόνοι Eur. 773, 31. τἀμφανῆ μὲν οἱ νόμοι ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ Crit. 1, 10 p. 771. τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο, τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος ἔνθα κερδανεῖ adesp. 4, 2. τὰ δ' ἔργα χείρω τῶν λόγων παρέσχετο adesp. 515, 4.

ἔργω: ἐγκατάκλειστον δόμοις ἔργει (ὀργῇ l.) χολωθείς Eur. 1132, 40.

ἔρδω: ὅταν δὲ φωραθῶσιν ἔρδοντες κακά (ὀφθέντες κακοί ll.) Theod. 8, 8 p. 804. τιμωρίαν ἔτεισεν ὧν *ἔρξεν κακῶν adesp. 490.

ἐρεβώδης: φεύγει - ἐρεβώδεος ἐκ θαλάσσης adesp. 377, 2.

ἐρεθίζω: λύσσης πικροῖς κέντροισιν ἠρεθισμένον adesp. 110, 5.

ἐρείδω: στυγνὸν ἢ κατ' αὐχένων ἡμῶν ἐρείδεις τῆσδε λατρείας ζυγόν Mosch. 2, 4 p. 812. ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν πλάστιγγ' ἐρείσῃ τοῦ βίου παλίντροπον Soph. 666, 5. ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ ἐξομματοῦμεν Eur. 541.

ἐρείκω: δίπτυχοι γὰρ ὀδύναι μιν ἤρικον Ἀχιλληίου δόρατος Soph. 156, 2.

ἐρείπια: καὶ σκευοθηκῶν ναυτικῶν τ' ἐρειπίων Aesch. 274. λεπτοσπαθήτων χλανιδίων ἐρειπίοις θάλπουσα adesp. 7. σκῦλα μὲν βροτοφθόρα χαίρεις ὁρῶσα καὶ νεκρῶν ἐρείπια Eur. 266, 2.

ἔρεισμα: οἵ τε στεναγμοὶ τῶν πόνων ἐρείσματα (al. ἰάματα) Aesch. 385.

ἐρευνῶ: μὴ πάντ' ἐρεύνα Soph. 80. καὶ ταῦτ' ἴσον μὲν εὖ λέγειν, ἴσον δὲ μή· ἴσον δ' ἐρευνᾶν, ἐξ ἴσου δὲ μὴ εἰδέναι Aristarch. 1, 2 p. 728.

ἐρέχθω: πᾶν δ' ἐρέχθει (?) πέδον Aesch. 158, 4.

ἐρημία: αἱ γὰρ πόλεις εἶσ' ἄνδρες, οὐκ ἐρημία Eur. 828.

ἔρημος: σὺ δ' ὠδ' ἔρημος ξυμμάχων ἀπόλλυσαι Eur. 565. φίλων ἔρημος, ὦ τάλας, ἀπόλλυμαι adesp. 347. φροῦδος μὲν ἔσται κυμάτων ἅπας βυθός, γῆ δ' ἐδράνων ἔρημος Soph. 1027, 7. ψυχὴν ἐμὴν ὁρῶσ' ἔρημον Neophr. 2, 6 p. 731. δρυμοὺς ἐρήμους Aesch. 304, 10.

ἔριθος: πέλτα δ' ἐρίθων ἀραχνᾶν βρίθει Soph. 264.

ἐρινός: πέπων ἐρινὸς - ἄλλους ἐξερινάζεις λόγῳ Soph. 182.

ἐρινοῦς: ἢ προσπηγνύναι κράδαις ἐρινᾶΐς Eur. 679, 2.

ἐρινύς: ἥ δ' ἄρ' ἐν σκότῳ λήθουσά με ἔσαιν' ἐρινύς Soph. 519, 4. πυρός τ' ἐρινύς Eur. 781.

ἐριούνης adesp. 588.

ἔρις: τὰν δ' ἐχθρὰν στάσιν εἰργ' ἀπ' οἴκων τὰν μαινομέναν τ' ἔριν Eur. 453, 11. ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις † κακὰ δέλτος διαιρεῖ Eur. 578, 8.

Ἐριχθόνιος: ἐκ μὲν Ἐριχθονίου (?) ποτιμάστιον ἔσχεθε κοῦρον Αὐτόλυκον Soph. 221. — cf. Aesch. 368. Eur. 925.

ἐριώλη Dionys. 12 p. 796.

ἔρκειος: Ζηνὸς ἐρκείου adesp. 71.

ἔρκος: ἔρκη Soph. 573. ἔρκεσι Soph. 2. κάτω κρέμανται σπίζ· ὅπως ἐν ἔρκεσιν Soph. 398.

ἔρμα: ἔμβα, πορθμίδος ἔρμα (ἔρυμα ll.) adesp. 520.

Ἑρμαῖος: Ἑρμαῖον κάρα Soph. 815.

Ἑρμᾶς: Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν Aesch. 273. ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ Aesch. 384. cf. Ἑρμῆς.

ἑρματίζω: τὸ γῆρας οὗτος ἑρματίζεται (τερματίζεται l.) βαρύ Eur. 952, 2. οὐ γὰρ τῶν τρόπων πειρώμενοι νύμφας ἐς οἴκους ἑρματίζονται βροτοί Eur. 402, 8.

ἑρμηνεύς: σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων Eur. 126.

ἑρμηνεύω: εἰ μὲν γὰρ ἐκ γῆς εἰς θάλασσαν ἔπτατο ὁ κύματ' οἰκῶν ὄρνις, ἡρμήνευσεν ἂν τὸν παῖδ' ἐν ὑγροῖς κύμασιν τεθνηκέναι Eur. 636, 5. παρ' οὐδενὸς γὰρ οὐδὲν ἡρμηνεύμεθα adesp. 571.

Ἑρμῆς — Aesch. p. 50. Soph. 250. Eur. 39. adesp. 19. cf. Ἑρμᾶς.

Ἑρμιόνη: τὰν νέορτον - Ἑρμιόναν Soph. 788, 3. cf. Philocl. 2 p. 760. Sosiph. 5 p. 820.

(ἑρόεις cf. πτερόεις.)

ἔρπω: οὐδὲν ἕρπει ψεῦδος εἰς μῆκος χρόνου Soph. 59. τῇδε βάκχειος βότρυς ἐπ' ἦμαρ ἕρπει Soph. 234, 3. τὸ δ' ἐς αὔριον αἰεὶ τυφλὸν ἕρπει Soph. 535, 6. ἐν χρήμασιν τόδ' ἐστί, μὴ γαυροῦ, πάτερ· κύκλῳ γὰρ ἕρπει Eur. 22, 3. ὀνείρων δ' ἕρπομεν μιμήματα Eur. 25, 3. ἔνθ' Ἀδραστείας ἔδος Ἵδη τε μυκηθμοῖσι καὶ βρυχήμασιν † ἕρπουσι μήλων Aesch. 158, 4. εὐθεῖαν ἕρπε τήνδε Aesch. 195. ἀλλ' ἕρπ' ἐς οἴκους Eur. 773, 10. (cf. ἔρρω.) ὃ δ' ἀμφιβάλλει ταχύπουν κέλευθον *ἕρπων σκοτίαν adesp. 127, 7. τὰ δ' ἄλλα χαῖρε κύλικος ἑρπούσης κύκλῳ Eur. 468. δεινὸς γὰρ ἕρπειν πλοῦτος ἕς τε τἄβατα καὶ πρὸς τὰ βατά Soph. 85, 6. ἔλαφος.. ἄρασα - κερασφόρους στόρθυγγας εἶρφ' ἕκηλος Soph. 86, 4.

ἑρπηνοβοσκός (?) Soph. 594.

ἔρρω: ἔρρ' ἰών Eur. 1125. νῦν δ' ἔρρ' (ἔρπ' ll.) ἀπ' οἴκων τῶνδε adesp. 307. ἐρρέτω φίλος σὺν ἐχθρῷ adesp. 362. αἰδὼς ἀπώλεσ' αὐτόν, ἐρρέτω, κακή adesp. 556.

ἕρση: *ἕρσῃ δὲ θαλερὸς ἐκτραφεὶς ἀμάρακος Chaer. 14, 16 p. 786.

ἐρύθημα: αἰδὼς δ' ἐπερρύθμιζεν ἠπιώτατον ἐρύθημα λαμπρῷ προστιθεῖσα χρώματι Chaer. 1, 4 p. 781.

ἐρυθρός: φοινικόπεδόν τ' ἐρυθρᾶς ἱερὸν χεῦμα θαλάσσης Aesch. 192. μέλιτι χθύπτην τυρὸν μίξας ἐρυθρῷ Thesp. 4, 4 p. 833.

ἔρυμα: (cf. ἕρμα.) δόμοι μὲν οἵδ' εὔπυργά τ' ἐρύματα χθονὸς οὐκ ἐν πολυχρύσοισιν ἤσκηται χλιδαῖς Eur. 1132.

ἔρχομαι: ἔρχομαι Soph. 224, 2. φεῦ τάλαινα τόλμης, ἣ πολὺν πόνον βραχεῖ διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ Neophr. 2, 15 p. 731. τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς Aesch. 22. ὅστις δὲ τόλμῃ πρὸς τὸ δεινὸν ἔρχεται Soph. 325. βαρεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ μόλις δι' ὠτὸς ἔρχεται τρυπωμένου Soph. 774, 2. ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα πρόσωπα καλλύνουσα καὶ πληρουμένη Soph. 787, 5. πάλιν διαρρεῖ κἀπὶ (al. κεἰς τὸ) μηδὲν ἔρχεται Soph. 787, 8. βομβεῖ δὲ νεκρῶν σμῆνος ἔρ-

χεταί τ' ἄνω Soph. 795. μικροῦ δ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος Soph. 852, 2. το θεῖον ὡς ἄελπτον ἔρχεται θνητοῖσιν Eur. 62. Ἔρως - κἀπὶ πόντον ἔρχεται Eur. 431, 3. ἐχρῆν γὰρ ἡμᾶς - τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά Eur. 449, 2. ἐκ ταύτης βίος βρόχοισι καὶ πέδαισιν οἴκαδ' ἔρχεται Eur. 670, 5. καὶ πρὸς τελευτὴν ἔρχεται τὰ τοῦ χρόνου Theod. 12, 2 p. 805. καὶ τἀμπλακήματ' ἔρχεται θεοὺς ἔπι adesp. 481, 2. ἀκτὰς ἀπαίωνάς τε καὶ μελαμβαθεῖς λιποῦσα λίμνης ἦλθον Soph. 480, 2. αὐτὸς ἦλυθον λύσιν μαθεῖν σοῦ Neophr. 1 p. 730. οὐκ ἄν ποτ' ἦλθες εἰς τόδε θράσους Eur. 1132, 65. ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος Aesch. 175. ὅτι νυν ἦλθ' ἐπὶ στόμα Aesch. 351. ὄρνιθος ἦλθ' ἐπώνυμος πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις Soph. 300. ἦλθεν δὲ δαὶς θάλεια, πρεσβίστη θεῶν Soph. 548. ἅπαντα τἀγένητα πρῶτον ἦλθ' ἅπαξ Soph. 776. τὰ γὰρ οὐκ ὀρθῶς πρασσόμεν' ὀρθῶς τοῖς πράσσουσιν κακὸν ἦλθεν Eur. 264, 2. οὐδεὶς στρατεύσας ἄδικα σῶς ἦλθεν πάλιν Eur. 353. ἦλθε γὰρ ἥ πρόσθ' ἥ μετόπισθεν τῆς εὐσεβίας χάρις ἐσθλή Eur. 446, 5. ἡ δὲ τῷ χρεὼν πόσει μένουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους Eur. 501, 3. ἐμῇ γὰρ ἦλθε μητρὶ κεδνὸν εἰς λέχος Ζεύς Eur. 591, 3. ἦλθεν δ' ἐπὶ χρυσόκερων ἔλαφον Eur. 740. Κάδμος - ἦλθε Θηβαίαν χθόνα - ᾗ δ' ἦλθ' ἀνάγκη πεδία Φοινίκης λιπών, λέγοιμ' ἄν Eur. 819, 2. 5. τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς εἰς οὐράνιον πάλιν ἦλθε πόλον Eur. 839, 11. θεοῦ γὰρ οὐδεὶς χωρὶς εὐτυχεῖ βροτῶν οὐδ' εἰς τὸ *μεῖζον ἦλθε Eur. 1025, 2. χρόνῳ δ' ἑαυτὴν ὡς κατεῖδ' ἐγκύμονα, εἰς θαῦμ' ἐσῆει κἀξεπέπληκτο σφοδρῶς, ὡς εἰς τόδ' ἦλθε μέμψιν εὐλαβουμένη Eur. 1132, 37. ἦλθεν δὲ λαοὶ μυρίοι πρὸς ἡόνα adesp. 191. ἅπαντ' ἐς Ἀιδην ἦλθε (ἅπαντες ἄιδαν ἦλθον Il.) καὶ Λήθης δόμους adesp. 372, 4. ὅσσους γεγῶτες κρείσσον' ἦλθον εἰς τύχην Eur. 301, 4. μὴ ἐπὶ δουλείαν ποτὲ ζῶν ἑκὼν ἔλθῃς Eur. 245, 2. ὀλολύζετ', ὦ γυναῖκες, ὡς *ἔλθῃ θεὰ - ἐπίκουρος πόλει Eur. 351. τὸ δ' ἐρᾶν προλέγω τοῖσι νέοισιν μήποτε φεύγειν, χρῆσθαι δ' ὀρθῶς, ὅταν ἔλθῃ Eur. 897, 11. ὅταν ἔλθῃ κρυερὰ Διόθεν θανάτου πεμφθεῖσα τελευτή Eur. 916, 6. δόμον, οἰκέτα, κλῇσον - μή τις ἔλθῃ βροτῶν Ion. 14, 2 p. 734. γῆρας - οὐ πάντες ἐπιθυμοῦμεν· ἢν δ' ἔλθῃ ποτέ, ἀνιώμεθα Crat. 3, 3 p. 810. χὥταν τις ἔλθῃ ξεῖνος Sosith. 2, 12 p. 822. εἰ δ' εἰς γάμους ἔλθοιμι Eur. 525. ὁ πρόσθεν ἐλθὼν ἦν ἀραῖός μοι νέκυς Soph. 367. βροτοῖς ‹δ'› ἄν ἐλθὼν ἐς λόγον δίκην ὄφλοι Soph. 481, 5. ὅταν δ' ὁ καιρὸς τοῦ θανεῖν ἐλθὼν τύχῃ Soph. 865, 3. Δαναὸς - ἐλθὼν ἐς Ἄργος ὦκισ' Ἰνάχου πόλιν Eur. 228, 6. ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ Eur. 312. φίλων δ' ὅ τ' ἐλθὼν λυπρὸς ὅ τ' ἀπιὼν βαρύς Ion. 56 p. 743. τῷ γὰρ βιαίῳ κἀγρίῳ τὸ μαλθακὸν εἰς ταὐτὸν ἐλθὸν τοῦ λίαν παρείλετο Eur. 258, 2. Ζῆθον μὲν ἐλθόνθ' ἁγνὸν ἐς Θήβης πέδον οἰκεῖν κελεύω Eur. 224. εἰδές τιν' ἄλλον πώποτ' εἰς οὕτω μέγαν ἐλθόντ' ἀγῶ-

να καὶ δυσέκφευκτον κρίσιν Theod. 10, 4 p. 805. ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως Eur. 246, 2. λύπη γὰρ ὀργή τ' εἰς ἕνα ψυχῆς τόπον ἐλθόντα μανία τοῖς ἔχουσι γίγνεται Cleaen. 2, 2 p. 807. ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον εἰς γῆρας ἐλθεῖν Eur. 575, 2. εἰς ἀσθενοῦντας ἀσθενῶν ἐλήλυθας (al. ἐλήλυθα) adesp. 579. Κύκνου δὲ πρῶτα πρὸς δόμους ἐλήλυμεν Ach. 24 p. 752. τοιοῦδε φωτὸς πρὸς δόμους ἐλήλυτε (al. ἐλήλυμεν) Ach. 43 p. 757.

ἐρῶ: ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα Aesch. 44. μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ Aesch. 161. τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ Soph. 63. μηδ' ἐντυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν Soph. 85, 8. ἥδιστον δ' ὅτῳ πάρεστι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν Soph. 329, 3. ἐρᾷ μὲν ὄμβρου γαῖα - ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος ὄμβρου πεσεῖν εἰς γαῖαν Eur. 898, 7. 9. ἐρᾷ γὰρ ὄψις (?) τῆς θύραθεν ἡδονῆς Eur. 1063, 4. οἳ τῆσδ' ἐρῶσι τῆς ἀποικίας Φρυγῶν Soph. 344, 6. οἳ μὲν κακῶν ἐρῶσιν, οἳ δὲ τῶν καλῶν Eur. 547, 2. φαῦλοι βροτῶν γὰρ τοῦ πονεῖν ἠσσώμενοι θανεῖν ἐρῶσιν Agath. 7, 2 p. 765. ἐρᾶτε μητρός, παῖδες Eur. 358, 2. οὐκ ἂν γένοιτ' ἐρῶντος ἀθλιώτερον οὐδὲν γέροντος adesp. 306. ὤλοντ' ἐρῶντες μειζόνων Eur. 1077, 3. τοῖς ἐρῶσιν εὐτυχῶς συνεκπόνει Eur. 136, 3. ὅρκων ἐρῶσιν οὐδὲν εὐχερέστερον adesp. 567. οὕτω δὲ τοὺς ἐρῶντας αὐτὸς ἵμερος δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προσίεται Soph. 153, 8. εἰκὸς δὲ - πατρίδος ἐρῶντας ἐκπονεῖν σωτηρίαν Eur. 729, 2. οὐκ ἔστ' ἔρως τοιοῦτος ἄλλος ὅστις ἡδίων ἐρᾶν Eur. 358, 3. χρὴν δὲ τοῖς βροτοῖσι τόνδ' εἶναι νόμον τῶν εὐσεβούντων οἵτινές τε σώφρονες ἐρᾶν Eur. 388, 5. τὸ δ' ἐρᾶν προλέγω τοῖσι νέοισιν μήποτε φεύγειν Eur. 897, 9. ἐκ τοῦ γὰρ ἐσορᾶν γίγνετ' ἀνθρώποις ἐρᾶν Sthenel. p. 762. Agath. 29 p. 768. ἤρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς Eur. 161. ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων Eur. 138, 2.

ἐρῶ: ἐγὼ δ' ἐρῶ σοι δεινὸν οὐδέν Soph. 731. βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ Eur. 362, 5. πρὸς χορὸν γὰρ οἰκείων ἐρεῖς Eur. 940. ὅστις - τἀπὸ καρδίας ἐρεῖ Eur. 412, 3. ἐρεῖ τις, οὐ χρὴν Eur. 708. ἀρχαῖον εἴρηκας Eur. 1088. ποῖον εἴρηκας λόγον adesp. 2. πρὸς ὃν δ' εἴρηκε, τυγχάνει πόσις Theod. 10, 6 p. 805. τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα Soph. 666, 6. cf. εἶπον.

ἐρῳδιός: ἐρῳδιὸς γὰρ ὑψόθεν ποτώμενος ὄνθῳ σε πλήξει νηδύος χειλώμασιν Aesch. 275.

ἔρως: ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν Aesch. 44, 2. ἔφριξ' ἔρως (?) δὲ τοῦδε μυστικοῦ τέλους Aesch. 387. θανόντι κείνῳ συνθανεῖν ἔρως μ' ἔχει Soph. 867. αἰμύλος ἔρως Soph. 1015. ἤρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς Eur. 161. χρόνος θεῶν τε πνεῦμ' ἔρως θ' ὑμνῳδίας Eur. 192. ἔρως γὰρ ἀργὸν κἀπὶ τοιούτοις ἔφυ Eur. 322. καί μ' ἔρως ἔλοι ποτὲ οὐκ εἰς τὸ μῶρον οὐδέ μ' εἰς Κύπριν τρέπων Eur. 331. ἐρᾶτε μητρός, παῖδες, ὡς οὐκ ἔστ' ἔρως τοιοῦτος ἄλλος ὅστις ἡδίων ἐρᾶν Eur. 358, 2. ἀλλ'

ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς Eur. 388. νουθετούμενος δ' ἔρως μᾶλλον πιέζει Eur. 665. ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως ζηλωτὸς ἀνθρώποισιν Eur. 672. κόσμον δ' ὑμεναίων δεσποσύνων ἐμὲ καὶ τὸ δίκαιον ἄγει καὶ ἔρως ὑμνεῖν Eur. 773, 45. οὕτως ἔρως βροτοῖσιν ἔγκειται βίου Eur. 816, 9. ὡς ἄπιστον ἔστ' ἔρως κἀν τῷ κακίστῳ τῶν φρενῶν οἰκεῖν φιλεῖ Eur. 1054, 2. τῶν ἀμηχάνων δ' ἔρως πολλοὺς ἔθηκε τοῦ παρόντος ἀμπλακεῖν Eur. 1076, 2. ἐν κενῇ γὰρ γαστρὶ τῶν καλῶν ἔρως οὐκ ἔστι Ach. 6 p. 748. κἀξεπεσφραγίζετο ὥρας γελώσης χωρὶς ἐλπίδων ἔρως Chaer. 14, 11 p. 786. τοίαν Πέλοψ ἴυγγα θηρατηρίαν ἔρωτος, ἀστραπήν τιν' ὀμμάτων ἔχει Soph. 433, 2. ὅτῳ δ' ἔρωτος δῆγμα παιδικοῦ προσῇν Soph. 757. ἑνὸς ⟨δ'⟩ ἔρωτος ὄντος οὐ μι' ἡδονή Eur. 547. λάμπει δ' ἐπὶ πορφυρέαις παρῇσι φῶς ἔρωτος Phryn. 13 p. 723. ὅταν δ' ἔρωτος ἐνδεθῶμεν ἄρκυσιν Dicaeog. 1 p. 775. μηδεὶς ἄπειρος τῶν ἐμῶν εἴη φίλων ἔρωτος (βροτός ll.) Zopyr. 1, 2 p. 832. ἔρωτι παιδὸς ἄρσενος σχεθείς Eur. 1132, 6. πρὸς δ' οἷον ἦξεις δαίμον' ὡς ἔρωτα Soph. 703. ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσιν βροτῶν Eur. 138. εἰς ἔρωτα (al. ἔρωτας) πᾶς ἀνὴρ σοφώτατος Eur. 162, 3. ἔρωτα δεινὸν ἔχομεν Eur. 1054. ὦ χρυσέ - οἷον ἔρωτα βροτοῖσι φλέγεις adesp. 129, 2. οὐκ αὐθαίρετοι βροτοῖς ἔρωτες Eur. 339, 4. ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου Eur. 659. τὰν Διὸς οὐρανίαν ἀείδομεν τὰν ἐρώτων πότνιαν, τὰν παρθένοις γαμήλιον Ἀφροδίταν Eur. 781, 16. ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται δεινοῖς ἔρωσιν Eur. 850, 2. εἰ δ' ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ, οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν τρέφειν Eur. 324, 6. πατέρα τε παισὶν ἡδέως συνεκφέρειν φίλους ἔρωτας - παῖδάς τε πατρί Eur. 339, 2. ἐξουσίᾳ δὲ μήποτ' ἐντρυφῶν - αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν Eur. 362, 25.

Ἔρως: Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται Eur. 431. ποιητὴν δ' ἄρα Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν Eur. 663, 2. παίδευμα δ' Ἔρως σοφίας ἀρετῆς πλεῖστον ὑπάρχει Eur. 897. ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως Eur. 136. δισσὰ πνεύματα πνεῖς, Ἔρως adesp. 187. Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν Aristarch. 2 p. 728. Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν Eur. 269. ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον - Ἔρωτα Eur. 430, 3. — cf. Chaer. 16 p. 787.

ἐρωτῶ: ἀπολεῖς μ' ἐρωτῶν Agath. 13 p. 766. σύνθημ' ἐρωτῶν adesp. 365. ὁ χρόνος - οὐκ ἐρωτῶσιν λέγει Eur. 112, 2. ἔξεστ' ἐρωτᾶν πότνιά σ' ἢ σιγὴν ἔχω adesp. 282. ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ, οὐ πώποτ' ἠρώτησα Eur. 812, 8.

ἐς: οὔπω τις Ἀχαιῶν' ἄθηρος ἡμέρα κενὸν πόνον πονοῦντ' ἔπεμψεν ἐς δόμους Aesch. 241, 2. ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὡς Aesch. 261. δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα καὶ πρὸς τὰ βατά Soph. 85, 6. πέπων ἐρινὸς ἀχρεῖος ὢν ἐς βρῶσιν Soph. 182, 2. ἔνθεν ἐς Ἄργος διὰ

κῦμα τεμὼν ἥκει δῆμον τὸν Λυρκείου Soph. 249, 5. βροτοῖς ⟨δ'⟩ ἂν ἐλθὼν ἐς λόγον δίκην (ἐς δίκην λόγων ll.) ὄφλοι Soph. 481, 5. ὅταν δ' ἐς ἥβην ἐξικώμεθ' ἔμφρονες Soph. 524, 6. τὸ δ' ἐς αὔριον αἰεὶ τυφλὸν ἕρπει Soph. 535, 5. οἳ ταῦτα δερχθέντες τέλη μόλωσ' ἐς Ἅιδου Soph. 753, 3. ἄκομπ' ἀλοιδόρητά τε ἐρρηξάτην ἐς κύκλα χαλκέων ὅπλων (?) Soph. 768, 2. εὖ γὰρ καὶ διχοστατῶν λόγος σύγκολλά τ' ἀμφοῖν ἐς μέσον τεκταίνεται Soph. 783, 2. τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν Soph. 855, 13. μισῶ σοφὸν ἐν λόγοισιν, ἐς δ' ὄνησιν οὐ σοφόν Eur. 61. ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας λέγειν, ἐς ὄγκον δ' οὐκ ἄνω βλέπειν τύχης Eur. 81, 2. οὐδὲ γὰρ λάθρᾳ δοκῶ - σοὶ Ζῆν' ἐς εὐνὴν ὥσπερ ἄνθρωπον μολεῖν Eur. 210, 3. οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας γνώμας διώκειν οὐδ' ἐς ἀργίαν βλέπειν Eur. 216, 2. Ζῆθον μὲν ἐλθόνθ' ἁγνὸν ἐς Θήβης πέδον οἰκεῖν κελεύω Eur. 224. ἐλθὼν ἐς Ἄργος Eur. 228, 6. ἐς ταὐτὸν ἥκειν φημὶ ταῖς βροτῶν τύχαις τόνδ' ὃν καλοῦσιν αἰθέρα Eur. 330. πέμπεις δ' ἐς Ἅιδου ζῶντα κοὐ τεθνηκότα Eur. 371. οὐ γὰρ τῶν τρόπων πειρώμενοι νύμφας *ἐς οἴκους ἁρματίζονται βροτοί Eur. 402, 8. γῆ δ' ἄνεισ' ἐς αἰθέρα Eur. 687, 3. οὐδεὶς δ' ἐς οἴκους δεσπότας ἀμείνονας αὐτοῦ πρίασθαι βούλεται Eur. 689. ἀλλ' ἕρπ' ἐς οἴκους Eur. 773, 10. ἀλλ' ἔσιθ' ἐς οἶκον Eur. 781, 49. φιλεῖ τὰ τοιάδε ληφθέντα φαύλως ἐς μέγαν χειμῶν' ἄγειν Eur. 781, 58. πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος Eur. 889. ὅταν δὲ συμμιχθῆτον ἐς (al. εἰς) ταὐτὸν δύο Eur. 898, 11. πέμψον δ' *ἐς φῶς ψυχὰς ἑνέρων Eur. 912, 9. διοπετὴς ὅπως ἀστὴρ ἀπέσβη, πνεῦμ' ἀφεὶς ἐς αἰθέρα Eur. 971, 2. βραχὺν λίνου κύπασσιν ἐς μηρὸν μέσον ἐσταλμένος Ion. 59 p. 744. ἔαρος ἡ νύμφη τέκνον τι μετὰ θέρους ἐς ὕστερον (?) Chaer. 41 p. 791. ὅθεν θεὰς τιμῶσιν ἐς τὰ νῦν ἔτι Carc. 5, 10 p. 799. τί δ' ἦν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος adesp. 60. ἐς Οἰδίπου δὲ παῖδε - Ἄρης κατέσκηψ', ἔς τε μονομάχου πάλης ἀγῶνα νῦν ἑστᾶσιν adesp. 72, 1. 2. ἀνὴρ *ἐς οὐδὲν χρεῖος adesp. 159. ἐς μέσον συνίεσαν adesp. 211. ἅπαντ' ἐς Ἅιδην ἦλθε (ἅπαντες ἄιδαν ἦλθον ll.) καὶ Λήθης δόμους adesp. 372, 4. οἴμοι, τὸ κακὸν τῆς εὐτυχίας ὡς μᾶλλον ἐς οὓς φέρεται θνητῶν adesp. 386, 2. ἦ μήποτ', ὦ παῖ Ζηνός, ἐς ταὐτὸν μόλοις adesp. 561. cf. εἰς.

ἔσειμι v. ἐσέρχομαι.

ἐσέρχομαι: ἀλλ' *ἔσιθ' ἐς οἶκον Eur. 781, 49. εἰς θαῦμ' ἐσῄει Eur. 1132, 36. τὰ γὰρ κακῶς οἴκους ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν Eur. 362, 13. cf. εἰσέρχομαι.

ἔσθημα: γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν Soph. 702.

ἐσθίω: φαγέδαιν' ἀεί μου σάρκας ἐσθίει ποδός Aesch. 253. πόλλ' ἐσθίουσιν, ὡς ἐπασκούντων τρόπος Ach. 3, 2 p. 747. ἐσθίειν ἐθέλων τὸν δέλφακα Soph. 610. cf. ἔσθω et φαγεῖν.

ἐσθλός: πολλῶν δ' ἐν πολυπληθίᾳ πέλεται οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς οὔτ' ἀχρείων τὸ λίαν κακός Soph. 606, 2. ἡνίκ' ἄν τις ἐσθλὸς ὢν αὐτῷ

συνειδῇ Soph. 845. ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ᾖ Eur. 334, 2. ὁ μὲν γὰρ ἐσθλὸς εὐγενὴς ἔμοιγ' ἀνήρ Eur. 336, 2. πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον Eur. 661, 2. ἦλθε γὰρ ἡ πρόσθ' ἡ μετόπισθεν τῆς εὐσεβίας χάρις ἐσθλή Eur. 446, 6. οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ ἐσθλὴ παραζευχθεῖσα Eur. 1055, 2. πρὸς ἀνδρὸς ἐσθλοῦ πάντα γενναίως φέρειν Soph. 296. ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν Soph. 836. ἀνδρὸς ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν Eur. 8. ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις Eur. 1079, 2. ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς γνώμη Appollon. 1, 4 p. 825. ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον adesp. 552. τίς δ' οἶκος ἐν βροτοῖσιν ὠλβίσθη ποτὲ γυναικὸς ἐσθλῆς χωρὶς ὀγκωθεὶς χλιδῇ Soph. 856, 2. εἰ δέ τις κυρεῖ γυναικὸς ἐσθλῆς Eur. 463, 4. τῆς μὲν κακῆς κάκιον οὐδὲν γίγνεται γυναικός, ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν πέφυκ' ἄμεινον Eur. 494, 2. συμφορὰ δ' ὃς ἂν τύχῃ κακῆς γυναικός, εὐτυχεῖ δ' ἐσθλῆς τυχών Eur. 1056, 3. μακάριος ὅστις εὐτυχεῖ γάμον λαβὼν ἐσθλῆς γυναικός Eur. 1057, 2. γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίγνεται adesp. 309. ἐν κήδει γὰρ ὢν ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν Hippoth. 3, 3 p. 828. δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ Eur. 511. ἐσθλοῖν δ' ἀπ' ἀμφοῖν ἐσθλὸν ἂν φῦναι γόνον Eur. 520, 3. φήμη τὸν ἐσθλὸν κἂν μυχοῖς δείκνυσι γῆς Eur. 865. τὸν ἐσθλὸν ἄνδρα, κἂν ἑκὰς ναίῃ χθονός - κρίνω φίλον Eur. 902. ἐξαφαιρεῖται φρενῶν τὸν νοῦν τὸν ἐσθλόν adesp. 296, 3. ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων, τὴν δ' οὖσαν ἐσθλὴν ἡδέως ἐσῴζετο Eur. 402, 5. ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν ἐσθλήν Eur. 521, 2. τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή Soph. 287. ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν Eur. 244. οὐδ' ἂν ἐκ μητρὸς κακῆς ἐσθλοὶ γένοιντο παῖδες εἰς ἀλκὴν δορός Eur. 298, 3. *λόγοι γὰρ *ἐσθλοὶ φάρμακον φοβοῦ βροτοῖς Eur. 1065, 2. οὐκ' ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά Eur. 21, 3. ἀνδρῶν γὰρ ἐσθλῶν στέρνον οὐ μαλάσσεται Soph. 196. ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα Eur. 75, 2. ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων Eur. 138, 2. πατέρων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γεγώς Eur. 231, 2. ἐσθλῶν δὲ χαίρει πτώμασιν νεανιῶν Eur. 728, 2. ἄρχεσθαι χρεὼν κακοὺς ὑπ' ἐσθλῶν Eur. 1107, 2. ἐσθλῶν ἀπ' *ἀλόχων εὐγενῆ σπείρειν τέκνα Eur. 215, 2. εἰ πτωχὸς ὢν τέτληκ' ἐν ἐσθλοῖσιν λέγειν Eur. 703, 2. οὐδὲν ἄθλον οὔτε τοῖς ἐσθλοῖσιν ἦν οὔτ' αὖ κόλασμα τοῖς κακοῖς ἐγίγνετο Crit. 1, 3 p. 771. ψευδῆ δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν Chaer. 27 p. 789. φθονεῖσθαι δὲ θέλοιμ' ἂν ἐπ' ἐσθλοῖς Eur. 814, 2. ἐν ἐσθλοῖς δὲ καθήσεσθ' ἄνολβοι Eur. 960, 2. ἄλλοις ἐν ἐσθλοῖς τόνδ' ἀπωθοῦνται ψόγον adesp. 105. τοὺς δ' ὄντας ἐσθλοὺς - εἶτα δυστυχεῖς πεφυκέναι Soph. 103, 3. δίκης παραστάτας ἐσθλούς Eur. 295, 2. τὰς ὁμιλίας ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε Eur. 609, 4. βούλομαι δὲ σοί - παραινέσαι κειμήλι' ἐσθλὰ καὶ νέοισι χρήσιμα Eur. 362, 4.

ἔσθω: ἔσθει μὲν ἄρτων τρεῖς ὄνους κανθηλίους Sosith. 2, 6 p. 822. τὸν χέδροπα μόνον καὶ τὸν μάραθον ἔσθουσι Pyth. 1, 13 p. 811. οὐδ' ἂν ἐγκέφαλον (?) ἔσθων λίποι Philocl. 5 p. 760. cf. ἐσθίω.

ἐσορῶ: ἐκ τοῦ γὰρ ἐσορᾶν γίγνετ' ἀνθρώποις ἐρᾶν Sthenel. 1 p. 762. Agath. 29 p. 768. cf. εἰσορῶ.

ἑσπέρα: οὐχ ἑσπέρας φάσ', ἀλλὰ καὶ μεσημβρίας τούτους ἀφεστήκασιν ἡμέραν τρίτην Eur. 1006.

ἕσπερος — Eur. 486, 2 p. 513.

ἑστία: αὐτόχθων ἑστία adesp. 201. μή με, πρὸς τῆς ἑστίας, ἀποστερήσῃς ἀνδρὸς ᾧ συνῴκισας Eur. 953, 39. πρέμνον ἑστίας adesp. 259. ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ Aesch. 362, 3.

Ἑστία: Ἑστίας θ' ἕδος, ἀφ' ἧς γε σώφρων πᾶς ἂν ἄρχεσθαι θέλοι εὐχὰς ποζεῖσθαι› Eur. 781, 35. ὦ πρῶρα λοιβῆς Ἑστία, κλύεις τάδε Soph. 658. καὶ Γαῖα μῆτερ· Ἑστίαν δέ σ' οἱ σοφοὶ βροτῶν καλοῦσιν ἡμένην ἐν αἰθέρι Eur. 944. cf. Soph. 558.

ἑστιοῦχος: εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι μόνον Aesch. 281, 2.

ἐσχάρα: καὶ βωμιαῖον ἐσχάρας λαβών Soph. 35. μηλοσφαγεῖ τε δαιμόνων ἐπ' ἐσχάραις Eur. 628. cf. Soph. 662.

ἔσχατος: εἰς Φᾶσιν, ἔνθα ναυσὶν ἔσχατος δρόμος adesp. 559. τὸ δ' ἔσχατον δή τοῦτο θαυμαστὸν βροτοῖς τυραννὶς Eur. 605. ἕδρᾳ Ζεὺς ἐν *ἐσχάτῃ θεῶν Soph. 821. ἐκεῖθεν ὁρμενος ὀρθόκερως βοῦς ἦλασ' ἀπ' ἐσχάτων γαίας Aesch. 74, 2. ἐσχάτοις Ἴδης τόποις Eur. 1085, 2. ἐπ' ἔσχατα χθονός Soph. 870.

ἔσω: τὰ ναυστολούμενα ἔσω δόμων σῴζουσι Eur. 492, 7. κακὰ φανήσεται· βασίλεια τάλαινα παῖς τ' ἔσω κρυφαῖος νέκυς Eur. 781, 66. cf. εἴσω.

ἑτάζω: ὅστις κατ' ἰσχὺν πρῶτος ὢν ἡτάζετο (πρῶτος ὠνομάζετο l.) ἢ τόξα πάλλων ἢ μάχῃ δορὸς σθένων Eur. 1048, 4.

ἑταίρα: Γλυκέρας ὁ σῖτος οὑτος ἦν· ἔστιν δ' ἴσως αὐτοῖσιν ὀλέθρου κοὐχ ἑταίρας ἀρραβών Pyth. 1, 18 p. 811.

ἕτειος: οἱ δ' ὄλβου μέτα φθίνουσ' *ἑτείοις προσφερεῖς μεταλλαγαῖς Eur. 330, 9.

Ἑτεοκλῆς — adesp. 458.

ἑτέρᾳ: ἢ ἑτέρᾳ φράσω Eur. 763.

ἕτερος: ῥέοντα δώδεχ', ὧν τὰ μὲν δέκ' ἀργυρᾶ ἦν, δύο δὲ χρυσᾶ, γρύψ, τὸ δ' ἕτερον Πήγασος Astyd. 3, 4 p. 778. ὅστις καθ' ἑτέρου δόλια μηχανεύεται adesp. 573. ὃς τῆσδέ τ' ἄρξει χἀτέρας (θατέρας l.) πολλῆς χθονός Eur. 1132, 16. ἣν οὗτος αὖθις ἀποβάλῃ τὴν οὐσίαν, ἑτέρῳ με δώσεις ἀνδρί; κἄτ' ἐὰν πάλιν ἐκεῖνος, ἑτέρῳ Eur. 953, 31. 32. ἕτερον ἐφ' ἑτέρῳ αἱρόμενος ἄγρευμ' ἀνθέων Eur. 754. διακρινόμενον δ' ἄλλο πρὸς ἄλλου μορφὴν ἑτέραν (al. μορφὰς ἑτέρας) ἀπέδειξεν Eur. 839, 14. εἰσὶ κασίγνηται δισσαί, ὧν ἡ μία τίκτει τὴν ἑτέραν Theod. 4, 2 p. 802. πέπονθας οἷα χἄτεροι πολλοὶ βροτῶν Eur. 1077. τὰ μὲν οὖν ἑτέροισι μέριμνα πέλει Eur. 773, 43. θάπτει τε τέκνα χἄτερ' αὖ κτᾶται νέα Eur. 757, 3.—δυοῖν λεγόντοιν, θατέρου θυ-

μουμένου, ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος Eur. 654. δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον γνώμην προσάπτων Eur. 362, 9.

ἑτήρ: ἑτῆρας ἀμνοὺς θεοῖς ἔρεξ' ἐπακτίοις Soph. 685.

ἔτης: οὔτε δῆμος οὔτ' ἔτης ἀνὴρ Aesch. 377. πόλεως μὲν ἀρχῷ, φωτὶ δ' οὐκ ἔτῃ πρέπων Eur. 1014.

ἑτήτυμος: δοξάσαι ἔστι - τὸ δ' ἑτήτυμον οὐκ ἔχω εἰπεῖν Eur. 18. ταῦτ' *ἑτήτυμα μαθεῖν θέλω Eur. 1132, 60.

ἔτι: τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἔστι σοι Soph. 79. ἔτ' αὖ Soph. 111. τὸ κοῖλον Ἄργος οὐ κατοικήσαντ' ἔτι Soph. 188. ἄνους ἐκεῖνος· αἳ δ' ἀνουστέρως ἔτι ἐκεῖνον ἠμύναντο Soph. 530. φυσᾷ γὰρ οὐ σμικροῖσιν αὐλίσκοις ἔτι Soph. 701. τὰν νέορτον ἃς ἔτ' ἄστολος χιτὼν ὡραῖον ἀμφὶ μηρὸν πτύσσεται Ἑρμιόναν Eur. 788. οὐδ' ἀὴρ ἔτι πτερωτὰ φῦλα βαστάσει πυρουμένη Soph. 1027, 7. ἔτι γὰρ θάλλει πενία Eur. 230, 2. οἱ μὲν εὐγενεῖς βροτῶν πένητες ὄντες οὐδὲν ἀλφάνουσ' ἔτι Eur. 326, 2. κεῖνοί τ' ἂν οὐδὲν εἶεν οὔθ' ἡμεῖς ἔτι Eur. 522, 4. ὦ μακάρων βασιλεὺς μείζων ἔτ' ὄλβον Eur. 781, 27. οὐκ' ἀλλ' ἔτ' ἔμπνουν Ἅιδης μ' ἐδέξατο Eur. 936. οὐκ ἐχρῆν ἡμᾶς ἔτι μέλλειν Ἀχαιῶν ὠφελεῖν στρατεύματα Eur. 1109, 2. ὅστις αὐτὸς ἰσχύων ἔτι παῖδας παρασπίζοντας ἀλκίμους ἔχει Dicaeog. 2 p. 775. ὅθεν θεὰς τιμῶσιν ἐς τὰ νῦν ἔτι Carc. 5, 10 p. 799. οὐχ ὡς δοκεῖ γυναῖκα λαμβάνει μόνον, ὁμοῦ δὲ τῇδ' ἔτ' εἰσκομίζεται λαβὼν καὶ δαίμον' ἤτοι χρηστὸν ἢ τοὐναντίον Theod. 13, 3 p. 806. εἶκει γὰρ ἤδη θυμὸς οὐδ' ἔτ' ἀντέχει adesp. 379. λήγει δὲ Κύπρις θαλίαι τε νέων, οὐδ' ἔτι θύρσος φύλλα βακχείου (?) adesp. 397, 2.

ἑτοιμάζω: στεφάνους ἑτοιμάζουσιν Chaer. 11 p. 785.

ἕτοιμος: πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα Crat. 1, 3 p. 809. πῦρ καὶ θάλασσαν καὶ πνοὰς τὰς ἀιθέρος περᾶν ἕτοιμος adesp. 408, 2.

ἔτυμος: ἆρ' *ἔτυμον φάτιν ἔγνων Eur. 17.

εὖ: ὧν πόλει δεῖ μεγάλα βουλεύοντες εὖ Eur. 16, 3. σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ Chaer. 26 p. 789. τοὺς εὖ γεγονότας - κἀν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας adesp. 545. τῷ λόγῳ μὲν εὖ διέρχῃ πάντα adesp. 514. δρῶν γὰρ εὖ κακῶς λέγεις Soph. 771. τοὺς ζῶντας εὖ δρᾶν Eur. 532. ἂν ἀναγκασθείς τις εὖ δράσῃ τινά adesp. 80, 3. μήτι παυσώμεσθα δρῶντες εὖ βροτούς adesp. 410, 2. εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας adesp. 10, 2. οἳ πρῶτα μὲν ζῆν (al. οἳ πρῶτον οἰκεῖν) οὔτε μανθάνουσιν εὖ οὔτ' ἂν δύναιντο Eur. 282, 3. ῥᾴξ εὖ τεθησαυρισμένη Soph. 366, 2. εὖ κατιλλώψας ἄθρει Aesch. 226. οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ κεκραμένον Eur. 981, 2. εὖ βίον κεκτημένος Eur. 187. γένοιντ' ἂν εὖ λελεγμένοι λόγοι ψευδεῖς Eur. 206. μὴ λέγ' εὖ· τὸ γὰρ λέγειν εὖ δεινόν ἐστιν Eur. 253, 1. 2. ὅταν δέ τις λειτῶν ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνήρ Eur. 327, 3. ἥτις πονηρὰ τἄργ' ἔχουσ' ‹εἶτ'› εὖ λέγεις Eur. 528, 2. ὅστις λέ-

γει μὲν εὖ Eur. 583. εἰ γὰρ εὖ λέγω Eur. 773, 77. εὖ λέγειν δ', ὅταν τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ Eur. 909, 7. οὐδεὶς ἂν αὐτὸν εὖ λέγειν ἐβούλετο Eur. 978, 2. καὶ ταῦτ' ἴσον μὲν εὖ λέγειν, ἴσον δὲ μή Aristarch. 1 p. 728. χρὴ δὲ - λέγουσιν εὖ μὴ δυσμεναίνειν adesp. 535. πάλαι σκοποῦμαι τὰς τύχας τῶν βροτῶν ὡς εὖ μεταλλάσσουσιν Eur. 262, 2. εὖ ἴσθι Eur. 946. εὖ γὰρ τόδ' ἴσθι Eur. 1033. γνώμαις γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος Eur. 200, 1. 2. οὐ γάρ τις οὕτω παῖδας εὖ παιδεύσεται Eur. 1068. παλαίσας εὖ Eur. 282, 16. (cf. εὐπαθῶ.) ἀεὶ γὰρ εὖ (al. ἀεὶ τρὶς ἓξ) πίπτουσιν οἱ Διὸς κύβοι Soph. 809. μηδέν' εὖ ποιεῖν βροτῶν Eur. 407, 3. κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί Aesch. 398. οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας ἀνδρός Soph. 588. ὡς κακὸς ναύκληρος εὖ πράξας ποτὲ ζητῶν τὰ πλείον', εἶτα πάντ' ἀπώλεσεν Eur. 417, 3. ὅταν δὲ πράξωσ' εὖ Eur. 608, 2. οἳ μὲν γὰρ εὖ πράσσουσι Eur. 684, 2. αὐτόν ‹τε› πράσσων εὖ τίθησιν εἰς μέσον adesp. 366. εὖ γὰρ καὶ διχοστατῶν λόγος σύγκολλά τ' ἀμφοῖν ἐς μέσον τεκταίνεται Soph. 783. πρὶν αὐτὸν εὖ τελευτήσαντ' ἰδῇ Dionys. 3, 2 p. 794. αἱ γὰρ εὖ τεθραμμέναι πλέον σφάλλουσιν οἴκους τῶν παρημελημένων Eur. 111, 2. τὸ γὰρ κακὸν οὐδεὶς τρέφων εὖ χρηστὸν ἂν θείη ποτέ Eur. 810, 2. εὖ τραφεὶς ἀνήρ Sosith. 1, 2 p. 821. φαγεῖν τ' ἔδωκεν εὖ κἀπεχόρτασεν Sosith. 2, 13 p. 822. ἀλλ' εὖ (al. στερρῶς) φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ Eur. 98. τὰ προσπεσόντα δ' ὅστις εὖ φέρει βροτῶν Eur. 505. εἶθ' εὖ φρονήσαντ' εἰσίδοιμί πως φρενῶν ἐπήβολον καλῶν σε Soph. 104. πῶς δῆτ' ἔγωγ' ἂν - Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος Soph. 481, 7. νοῦς δ' οὐκ ἔνεστιν, οἰόμεσθα δ' εὖ φρονεῖν Eur. 25, 4. εἰ γὰρ εὖ φρονεῖν ἔχω Eur. 199, 2. τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη Eur. 598, 3. πιστεύειν δὲ χρὴ γυναικὶ μηδὲν ὅστις εὖ φρονεῖ βροτῶν Eur. 671, 2. ὅστις τῶν πατέρων παισὶ μὴ φρονοῦσιν εὖ - παραδίδωσ' ἐξουσίαν Eur. 784, 2. ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει Chaer. 23 p. 788. πρὶν γὰρ φρονεῖν εὖ καταφρονεῖν ἐπίστασαι Chaer. 25 p. 789. ὅστις λέγει κάκ' *εὖ φρονῶν σιγῇ στένει adesp. 497. — τοῦ γὰρ εὖ τητώμενος οὐκ οἶδεν Eur. 285, 16. τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον ξύμμαχον ἔσται Eur. 918, 3.

(εὐάγκαλος cf. ἀγκύλος.)

εὐαής: ἄκατοι δ' ἀνάγονται ὑπ' εἰρεσίας ἀνέμων τ' *εὐαέσσιν ῥοθίοις Eur. 773, 36.

εὐαίων: τίς χάρις, εἰ κακόβουλος φροντὶς ἐκτρέφει τὸν εὐαίωνα πλοῦτον Soph. 534, 3.

εὐαμερία: δμωσὶν γὰρ ἀνάκτων *εὐαμερίαι προσιοῦσαι μολπᾶν θράσος αἴρουσ' ἐπὶ χάρματα Eur. 773, 47.

εὐάμπελος: Σαλαμῖνα κοσμῶν πατρίδα τὴν εὐάμπελον Eur. 530, 3.

εὐανδρησία (?): τιμᾶν Μακεδόνων εἵνεκ' εὐανδρησίας adesp. 193.

εὐανδρία: ἀλλ' οὐκ ἔνεστι στέφανος οὐδ' εὐανδρία Eur. 1052, 5. κακόν τι παίδευμ' ἦν ἄρ' εἰς εὐαν-

δρίαν ὁ πλοῦτος ἀνθρώποισιν Eur. 54. (cf. εὐδοξία.) οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν Eur. 1052, 7.

εὐάνεμος: γλαυκᾶς μέδεις εὐανέμου λίμνας Soph. 342, 3. cf. εὐήνεμος.

εὐανθής: (cf. οἰνάνθη.) κόμαισιν εὐανθῆ ῥόδα εἶχον Chaer. 13 p. 786.

Εὔβοια: Λύκῳ τὸν ἀντίπλευρον κῆπον Εὐβοίας νέμει Soph. 872, 4.

Εὐβοιίς: ἔστι γάρ τις ἐναλία Εὐβοιὶς *αἶα Soph. 234, 2. cf. Εὐβοΐς.

Εὐβοικός: λαβὼν - αὐτόθηκτον Εὐβοικὸν ξίφος Aesch. 356.

Εὐβοΐς: Εὐβοΐδα καμπὴν ἀμφὶ Κηναίου Διὸς ἀκτήν Aesch. 30. οἳ γῆν ἔχουσ' Εὐβοΐδα Eur. 658. Εὐβοΐδα μὲν γῆν λεπτὸς Εὐρίπου κλύδων Βοιωτίας ἀκτῆς ἐχώρισεν Ion. 18 p. 735. cf. Εὐβοιίς.

εὔβοτος: βουσὶ καὶ ποίμναισιν *εὐβοτωτάτην Eur. 1083, 6.

εὐβουλία: τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία Chaer. 2 p. 782. γέλωτα, σοφίαν, ἀμαθίαν, εὐβουλίαν Chaer. 15 p. 787.

εὐγένεια: τὸ φρόνιμον εὐγένεια - δίδωσιν Eur. 52, 9. οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια Eur. 53. ἀλλ' οὐδὲν εὐγένεια πρὸς τὰ χρήματα Eur. 95. ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει Eur. 1066, 2. μί' εὐγένεια τὸν τρόπον χρηστὸν φορεῖν adesp. 182. ἐν τοῖς κακοῖσι δ' (κακοῖσι γὰρ ἡ l.) εὐγένει' ὅταν παρῇ τραχεῖα κώξύθυμος, ἀμαθίαν ἔχει adesp. 524. οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον· οὐ γὰρ πέφυκε δοῦλον οὔτε χρημάτων οὔτ' εὐγενείας Eur. 1029, 3. τὴν δ' εὐγένειαν πρὸς θεῶν μή μοι λέγε Eur. 22. περισσόμυθος ὁ λόγος, εὐγένειαν εἰ βρότειον εὐλογήσομεν Eur. 52. εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά Eur. 336. τὴν μὲν γὰρ εὐγένειαν αἰνοῦσιν βροτοί Eur. 395, 2. τὴν εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος, τιμῶσι πολλοὶ προσλαβεῖν τέκνων χάριν Eur. 405. οὐκ οἶδ' ὅτῳ σκοπεῖν χρεὼν τὴν εὐγένειαν Eur. 495, 41. ὃ μὲν γὰρ εὐγένειαν ἰμείρει λαβεῖν Eur. 659, 2. ἐγὼ μὲν οὔποτ' εὐγένειαν ᾔνεσα Theod. 15 p. 806. τὴν εὐγένειαν - ἐν τοῖς καλῶς φρονοῦσιν εὑρήσεις βροτῶν adesp. 171. cf. εὐγενία.

εὐγενής: (cf. εὐπρεπής.) ἐν χρήμασιν τόδ' ἐστί - κοινοῖσι δ' αὐτοῖς χρώμεθ'· ᾧ δ' ἂν ἐν δόμοις χρόνον συνοικῇ πλεῖστον, οὗτος εὐγενής (εὐτυχής ll.) Eur. 22, 5. φέρει δὲ καὶ τοῦτ' οὐχὶ μικρόν, εὐγενὴς ἀνὴρ στρατηγῶν Eur. 242. κεῖνο δ' ἰσχύει μέγα, πλοῦτος λαβών ‹τε› τοῦτον εὐγενὴς ἀνὴρ Eur. 249, 3. ὁ μὲν γὰρ ἐσθλὸς εὐγενὴς ἔμοιγ' ἀνήρ Eur. 336, 2. (cf. ἐγγενής.) μία δὲ γονὰ τό τ' εὐγενὲς καὶ τὸ δυσγενές Eur. 52, 7. τό τ' εὐγενὲς πολλὴν δίδωσιν ἐλπίδ' ὡς ἄρξουσι γῆς Eur. 404. κακὸν τὸ κεύθειν κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς Soph. 76. ὅταν δ' ὑπ' ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς Eur. 603, 4. τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο Eur. 739. ἀλλ' εὖ φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ Eur. 98. ἐπίσταμαι δὲ πάνθ' ὅσ' εὐγενῆ χρεών Eur. 413. ὅστις ἂν δίκαιος ᾖ τρόπους τ' ἄριστος, τοῦτον εὐγενῆ καλεῖν Astyd. 8, 3 p. 780. τοῦτο γὰρ τό τ' εὐγενὲς καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν Eur. 362, 14. τὴν μὲν εὑρήσεις κα-

κήν, τὴν δ' ὥσπερ αὕτη λῆμ' ἔχουσαν εὐγενές Eur. 657, 4. οἱ μὲν εὐγενεῖς βροτῶν πένητες ὄντες οὐδὲν ἀλφάνουσ' ἔτι Eur. 326. πολλῶν δ' ἐν πολυπληθίᾳ πέλεται οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς οὔτ' ἀχρείων τὸ λίαν κακός Soph. 606, 2. ἐν τοῖς τέκνοις γὰρ ἀρετὴ τῶν εὐγενῶν ἔλαμψε Eur. 232. φειδώμεθ' ἀνδρῶν εὐγενῶν Eur. 414. τοὺς εὐγενεῖς γὰρ κἀγαθοὺς - φιλεῖ Ἄρης ἐναίρειν Soph. 657. ἐσθλῶν ἀπ' ἀλόχων εὐγενῆ σπείρειν τέκνα Eur. 215, 2. τοὺς γὰρ ἀνδρείους φύσιν καὶ τοὺς δικαίους τῶν κενῶν δοξασμάτων - εὐγενεστέρους λέγω Eur. 495, 43.

εὐγενία: ἢ που κρεῖσσον τῆς εὐγενίας (εὐγενείας ll.) τὸ καλῶς πράσσειν Eur. 9.

εὐγενῶς: τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται Eur. 360.

εὐγλωσσία: ὃς δ' εὐγλωσσίᾳ νικᾷ Eur. 206, 4.

εὔγλωσσος: ἀγλωσσίᾳ δὲ πολλάκις ληφθεὶς ἀνὴρ δίκαια λέξας ἧσσον εὐγλώσσου φέρει Eur. 56, 3. εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον † μέλος - δοίη θεός Eur. 899.

εὐγνωμόνως: δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως Eur. 1131, 2.

εὐδαιμονία: ὁ γὰρ ἐν καιρῷ μόχθος πολλὴν εὐδαιμονίαν τίκτει θνητοῖσι τελευτῶν Eur. 745, 2.

εὐδαιμονίζω: εὐδαιμονίζων ὄχλος ἐξέπληξέ με Eur. 778.

εὐδαιμονῶ: ὥστ' οὔτις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ Eur. 45. εὐδαιμονεῖ τε καὖθις οὐκ εὐδαιμονεῖ Eur. 196, 3. κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ Eur. 273, 3. οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ Eur. 661. φεῦ, τὰ τῶν εὐδαιμονούντων ὡς τάχιστα στρέφει θεός Eur. 536. οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν Eur. 461. θεῶν ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν adesp. 313.

εὐδαίμων: ἦν Οἰδίπους τὸ πρῶτον εὐδαίμων (al. εὐτυχής, cf. add. p. XXV) ἀνήρ Eur. 157. οἴκοι μένειν χρὴ τὸν καλῶς εὐδαίμονα Aesch. 317. Soph. 848. οὔποτ' αὐτὸν ὄλβιον καλῶ, φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα Eur. 198, 4. τὸν καλῶς εὐδαίμονα Eur. 894. εὐδαίμονες οἱ τότε γέννας ἀφθίτου λαχόντες Soph. 256. καὶ ταῦτα δρῶντες μᾶλλόν εἰσ' εὐδαίμονες τῶν εὐσεβούντων ἡσυχῇ καθ' ἡμέραν Eur. 286, 8. μᾶλλον δὲ κηδεύουσι τοῖς εὐδαίμοσιν (al. πλουσίοις) Eur. 395, 3. ἐν Διὸς κήποις ἀροῦσθαι μόνον εὐδαίμονας ὄλβους Soph. 297. Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας χθονὸς ἐν ἀντιπόρθμοις πεδί' ἔχουσ' εὐδαίμονα Eur. 515, 2.

εὐδία: χαίνοντες οὐραίοισιν εὐδίαν ἁλός Ach. 27, 3 p. 753.

εὐδοκιμῶ: κἂν ὁ κάκιστος γήμῃ τὴν εὐδοκιμοῦσαν Eur. 546, 3.

εὐδοξία: οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν (al. εὐανδρίαν) Eur. 237, 3.

εὔδουλος: ὡς εὔδουλος, ὡς εὔοικος ἦν Ach. 32 p. 754.

εὕδω: εὕδει πιέζων χειρὶ δεξιᾷ ξύλον adesp. 416, 2. οὐχ εὕδει Διὸς ὀφθαλμός adesp. 485. ἐν ἀστρώτῳ πέδῳ εὕδουσι Eur. 367, 2. *εὕδουσα δ' Ἰνοῦς συμφορὰ χρόνον πολὺν νῦν ὕμμ' ἐγείρει Eur. 398. ὁρᾷς Δίκην - οὐχ ὁρωμένην εὕδοντι adesp. 493, 2. ὑπὸ στέγῃ πυκνῆς ἀκοῦσαι ψακάδος

εὐδούσῃ φρενί Soph. 579, 3. κερκίδος ὕμνοις, ἢ τοὺς εὕδοντας ἐγείρει Soph. 804.

εὐειδής: μισῶ παρ' ἐχθρῶν θῶπας εὐειδεῖς λόγους adesp. 24.

εὐεξία: ὅσοι μὲν σαρκὸς εἰς εὐεξίαν ἀσκοῦσι βίοτον Eur. 201.

εὐεργετῶ: καὶ τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν εἴτ' οὖν κακουργεῖν, ἀμφιδεξίως ἔχει Aesch. 266.

εὔζυγος: δίφρου τέτυκται βλῶσις εὔζυγον τέρας adesp. 150.

εὔζωνος: ἔχοντας εὐζώνους ἔστασαν ἱματίων ἐπιζώστρας (?) Soph. 318.

εὐήθεια v. εὐηθία.

εὐήθης: νοῦν φωτὸς *εὐήθους ἄγαν Sosith. 2, 3 p. 822.

εὐηθία: *ἄκρας *εὐηθίας ἅπτοιτ' ἂν ὅστις τὴν φύσιν νικᾶν θέλει Eur. 904.

εὐημερία v. εὐαμερία.

εὐήνεμος: καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον Eur. 316, 2. cf. εὐάνεμος.

εὐήτριος: δικτύου δ' εὐήτρια Aesch. 47.

εὐθαλής: πᾶσα δ' εὐθαλὴς Αἴγυπτος - φερέσβιον Δήμητρος ἀντέλλει στάχυν Aesch. 300, 5.

εὔθετος: πέλλυτρ' ἔχουσιν εὐθέτοις ἐν ἀρβύλαις Aesch. 259.

εὐθέως: ὀργῇ γὰρ ὅστις εὐθέως χαρίζεται Eur. 31. ἦν δ' εὐτυχῆτε, μηδὲν ὄντες εὐθέως ἴσ' οὐρανῷ φρονεῖτε Sosiph. 3, 4 p. 820.

εὐθηλοῦμαι (?): ἐγὼ δὲ χοῖρον καὶ μάλ' εὐθηλούμενον τόνδ' ἐν ῥοθοῦντι κριβάνῳ θήσω Aesch. 309.

εὐθημονῶ: τοὺς αὐλοὺς μέθες καὶ θῶπλα λάζευ καὶ γνάθους εὐθημόνει (al. εὐσχημόνει) adesp. 381, 2.

εὔθηρος: σύαγρον ἐκβόλειον εὔθηρον Dionys. 1, 2 p. 793.

εὐθύδημος: εὐθύδημον Eur. 227.

εὐθυμῶ: παιᾶν' ἐπηυφήμησεν εὐθυμῶν ἐμέ Aesch. 350, 4.

εὐθύνω: ἀγρεὺς δ' Ἀπόλλων ὀρθὸν εὐθύνοι (ἰθύνοι ll.) βέλος Aesch. 200.

εὐθύς: εὐθεῖαν ἕρπε τήνδε Aesch. 195.

εὐθύς: ὃς χίλι' εὐθὺς (?) ὃς στρατοῦ φρυκτωρίαν ἔδειξε Soph. 399, 6. πρὸς ἵππων εὐθὺς ὁρμήσας στάσιν Eur. 442. πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερός, ἀλλ' εὐθὺς αὐδᾷ Eur. 664, 2. ἐν τούτῳ δέ μου τὴν πεῖραν *εὐθὺς λάμβανε Eur. 691, 2. τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα (?) Eur. 1040, 4. ἐν παρθενῶσι δ' εὐθὺς οἷς ἐδείματο δίδωσιν Ἀργείαισιν ἔμφρουρον κόραις Eur. 1132, 22. ἐπώνυμον γοῦν εὐθὺς ἔσχομεν κλέος Agath. 3, 3 p. 763. ὅστις δὲ θνητῶν μέμφεται τὰ θεῖ', ὅτι οὐκ εὐθὺς ἀλλὰ τῷ χρόνῳ μετέρχεται τοὺς μὴ δικαίους Theod. 8, 2 p. 804. χρωματισθεὶς εὐθὺς ἐξ εὐνῆς φόνῳ adesp. 275. οἳ δ' εὐθὺς ἠλάλαξαν adesp. 418, 3.

εὐθύσκοπος: οὐκ εὐθυσκόπου adesp. 249.

εὔιος: στῦλον εὐίου θεοῦ Eur. 203, 2.

Εὐίππη — Soph. Εὐρύαλος.

εὐιῶτις: οὐδ' ἐργάτης σίδηρος *εὐιώτιδος θάλλοντας οἴνης ὀρχάτους ἐτημέλει Mosch. 6, 11 p. 814.

εὔκαρπος: εὔκαρπον Κυθέρειαν Soph. 763.

εὔκηλος: ἐξανθρακώσας πυθμέν' εὔκηλον δρυός Ion. 28 p. 737.

εὐκλεής: οὐδεὶς γὰρ ὧν ῥᾴθυμος εὐκλεὴς ἀνήρ Eur. 237, 2. τίς δ' ἄμοχθος εὐκλεής Eur. 240, 2. τῇ πόλει μὲν οὖν νόσος τόδ' ἐστί, τοῖς δὲ κατθανοῦσιν εὐκλεές Eur. 728, 4. δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ ζῶντι φθονῆσαι Mimn. 1 p. 829. εὐγενὴς ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν Eur. 242, 2. βίου πονηροῦ θάνατος εὐκλεέστερος Aesch. 90.

εὐκλεια: πόνος γάρ, ὡς λέγουσιν, εὐκλείας πατήρ Eur. 474. δόξαν ⟨δὲ⟩ βουλοίμην ἂν εὐκλείας ἔχειν Eur. 659, 10. ταῦτα δρῶν κάλλιστον ἔξεις στέφανον εὐκλείας ἀεί Eur. 853, 4. γένος γὰρ εἰς ἔλεγχον ἐξιὸν καλὸν εὔκλειαν ἂν κτήσαιτο μᾶλλον ἢ ψόγον Soph. 101, 3. εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων Eur. 134. οὐκ ἔστιν ὅστις ἡδέως ζητῶν † βιοῦν εὔκλειαν εἰσεκτήσατο Eur. 238, 2. καὶ μὴν θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα τύμβον τε κοινὸν ἔλαχον εὔκλειάν τ' ἴσην Eur. 360, 33. τὸ μὲν σφαγῆναι δεινόν, εὔκλειαν δ' ἔχει Eur. 854.

εὐκλεῶς: πολλὰ δεῖ μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον † εὐκλεῶς Theod. 11, 2 p. 805. κατθανεῖν γὰρ εὐκλεῶς ἢ ζῆν θέλοιμ' ἄν adesp. 537.

εὔκολος: ἅπαντα τοῖς σοφοῖσιν εὔκολα adesp. 577. εὐφημία γὰρ εὐκολώτατος πόνων Eur. 1087.

εὔκρας: ἀνθρώποισιν ἔστιν οἷς βίος ὁ μικρὸς *εὔκρας ἐγένετο Eur. 504, 2. βροτοῖσιν εὔκρας οὐ γένοιτ' ἂν ἡδονή Eur. 197.

εὔκρατος: θερμὴ δ' ἄνακτος φλὸξ - καίει τὰ πόρρω, τἀγγύθεν δ' εὔκρατ' ἔχει Eur. 772, 2.

εὐκταῖος: τρίτον Διὸς σωτῆρος εὐκταίαν λίβα Aesch. 55, 4.

εὐκτός: τὰ δ' εὐκτὰ παρὰ θεῶν ἠτησάμην Soph. 759, 2.

εὐλάβεια: ἡ δ' εὐλάβεια σκότον ἔχει καθ' Ἑλλάδα Eur. 1052, 8.

εὐλαβοῦμαι: βορεάδας ἥξεις πρὸς πνοάς, ἵν' εὐλαβοῦ στρόμβον καταιγίζοντα, μή σ' ἀναρπάσῃ Aesch. 195, 2. δίδωσιν Ἀργείαισιν ἔμφρουρον κόραις, εἰς ἀνδρὸς ὄψιν εὐλαβούμενος μολεῖν Eur. 1132, 24. ὡς εἰς τόδ' ἦλθε μέμψιν εὐλαβουμένη Eur. 1132, 37.

εὐλήματῶ: εὐληματεῖ Aesch. 106.

εὐλογῶ: οὔποτ' ἂν πάτραν τὴν σὴν ἀτίζων τήνδ' ἂν ηὐλόγεις πόλιν Eur. 347, 2. περισσόμυθος ὁ λόγος, εὐγένειαν εἰ βρότειον εὐλογήσομεν Eur. 52, 2. κενὴν ἑτερπόμην σου τέρψιν εὐλογουμένου ὡς ζῶντος Soph. 519, 2. καὶ τὸν ἐν Δωδῶνι παῦσον δαίμον' *εὐλογούμενον Soph. 423.

εὐλόγως: ἢ καὶ Παλικῶν εὐλόγως μενεῖ φάτις Aesch. 6, 3. (cf. εὐλόφως.)

εὔλοφος: κρᾶτα φρίξας εὐλόφῳ σφηκώματι Soph. 317, 2.

εὐλόφως: ὅστις δὲ πρὸς τὸ πῖπτον εὐλόφως (εὐλόγως ll.) φέρει Eur. 175.

εὔλυρος: παιᾶν Ἄπολλον εὔλυρε Eur. 477.

εὐμάρεια: ἐζήτησε γὰρ τόκοισιν εὐμάρειαν ἡ τεκοῦσά νιν Eur. 181, 2.

εὐμαρής: μαθεῖν δὲ πᾶσίν ἐστιν εὐμαρές Eur. 176, 2. πᾶν εὐμαρὲς θεοῖσι κοὐδαμῇ μακράν adesp. 11.

τὸ πέμπτον δ' οὐκ ἐν εὐμαρεῖ φράσαι Eur. 382, 10.

εὐμαρῶς: ἀλλ' ἐκ μεγίστων εὐμαρῶς λουτηρίων Aesch. 366. κάπρον φριξαύχεν' οὐ μόνον γυνή, παῖς δ' ἂν νεογνὸς - κλίνοι παλαιστοῦ παντὸς εὐμαρέστερον adesp. 383, 3.

εὐμενής: ἄλλ' ἐπ' ἄλλῃ φάρμακον κεῖται νόσῳ· λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλων Eur. 962, 2. τῇ δ' Ἀφροδίτῃ πόλλ' ἔνεστι ποικίλα - τύχοιμι δ' αὐτῆς ἡνίκ' ἐστὶν εὐμενής Eur. 26, 3. Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών Soph. 644, 2. δοῦλον εὐμενῆ δόμοις Eur. 529, 2.

Εὔμολπος: οὐδὲ - τρίαιναν - Εὔμολπος οὐδὲ Θρῄξ ἀναστέψει λεὼς στεφάνοισι Eur. 360, 48.

εὐμορφία: τί τῆς εὐμορφίας ὄφελος Eur. 548. ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας Eur. 1109, 8.

εὔμορφος: κἂν ἄμορφος ᾖ πόσις, χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ Eur. 909, 5. δυσειδὲς σῶμα καὶ δυσώνυμον γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν Soph. 85, 10.

εὐμουσία: παῦσαι μελῳδῶν, † πολέμων δ' εὐμουσίαν ἄσκει Eur. 188, 2.

εὐνάζω: ἆρ' ἔτυμον φάτιν ἔγνων, Αἴολε, σ' εὐνάζειν τέκνα φίλτατα Eur. 17, 2. μνησθείς ὅ μοί ποτ' εἶφ' ὅτ' ἠὐνάσθη θεός Eur. 773.

εὐναία adesp. 589.

εὐναῖος: εὐναῖος εἴη δραπέτην στέγην ἔχων Soph. 176. Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ Aesch. 383. χρὴ γὰρ εὐναίῳ πόσει γυναῖκα κοινῇ τὰς τύχας φέρειν ἀεί Eur. 823.

εὐνατήρ: ὄμβρος δ' ἀπ' *εὐνατῆρος οὐρανοῦ πεσὼν ἔδευσε γαῖαν Aesch. 44, 3.

εὐνή: χρῶματισθεὶς εὐθὺς ἐξ εὐνῆς φόνῳ adesp. 275. Ζεὺς - εὐνῇ συνελθεῖν λάθρᾳ πως ἠβούλετο Eur. 1132, 28. οὐδὲ γὰρ λάθρᾳ δοκῶ - σοὶ Ζῆν' ἐς εὐνὴν - μολεῖν Eur. 210, 3. πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος Eur. 889. εὐνὴν κρυφαίαν γνοῦσα καὶ μὴ γνοῦσα δή Eur. 1132, 14.

εὔνοια: πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν φρενῶν μεγάλα δίδωσιν εὐτυχήματα adesp. 82.

εὔνομος: ἱππάκης βρωτῆρες εὔνομοι Σκύθαι Aesch. 198.

εὔνους: ὅστις ὢν εὔνους ἐμοὶ - τἀπὸ καρδίας ἐρεῖ Eur. 412, 2. ψυχὴ γὰρ εὔνους καὶ φρονοῦσα τοὔνδικον κρείσσων σοφιστοῦ παντός ἐστιν εὑρετής Soph. 97. τὸν κλύοντα γὰρ λαβὼν ὁ μῦθος εὔνουν οὐ μάτην λεχθήσεται Mosch. 5, 3 p. 813.

εὐνοῦχος: οὐχ ὅπου λαμπάδες εὐνούχοισιν ὄμμασιν Soph. 721.

εὐνοῶ: εἰ κατ' οἴκους εὐνοῶν ἐτύγχανες Eur. 1132, 64.

εὐνῶμαι: πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ Soph. 600.

εὐξυνεσία Crit. 6 p. 774.

εὔογκος: τὸ σχῆμα σεμνὸς κοὐ ταπεινὸς οὐδ' ἄγαν εὔογκος ὡς ἂν δοῦλος Eur. 688, 3. ἠπιστάμην ἂν - εὔογκος εἶναι γαστρὶ μὴ πλησθεῖσ' adesp. 546, 5.

εὐοδία: εὐοδίαν μὲν πρῶτον ἀπὸ στόματος χέομεν Aesch. 36.

εὔοικος: ὡς εὔδουλος, ὡς εὔοικος ἦν Ach. 32 p. 754.

εὔοργος: † ὄχος γὰρ οὐδὲ τοῖσιν εὐόργοις ἔπος adesp. 212.

εὐορνιθία: εὐορνιθίαν Soph. 946.

εὔορνις: εὔορνις τύχη adesp. 343.

εὐοσμία: λάμπει δ' ἀγυιεύς βωμὸς ἀτμίζων πυρὶ σμύρνης σταλαγμούς, βαρβάρους εὐοσμίας Soph. 341, 2.

εὔοσμος: μύρῳ σε χρίσω πάμπαν εὐόσμῳ δέμας Ach. 17, 3 p. 750.

εὐπαγής: ὅταν πάγου φανέντος αἰθρίου χεροῖν κρύσταλλον ἁρπάσωσι παῖδες *εὐπαγῆ Soph. 153, 4. κλῇθρον γὰρ οὐδὲν ὧδ' ἂν *εὐπαγὲς λάβοις Soph. 849, 2.

εὐπαθῶ: τῷ γὰρ κακῶς πράσσοντι μυρία μία νύξ ἐστιν, εὐπαθοῦντα (εὖ παθόντα ll.) δ' ἡμέρα φθάνει Soph. 401, 2.

εὐπαιδευσία Eur. 1100.

εὐπαιδία: ὃ δ' ἐνδατεῖται τὰς ἐμὰς εὐπαιδίας Aesch. 350.

εὐπερικάλυπτος: εὐπερικάλυπτον ἔσχε τὴν δυσπραξίαν adesp. 547, 10.

εὐπετῶς: χρεὼν τὰ θεῖα θνητοὺς ὄντας εὐπετῶς φέρειν Soph. 526, 2.

εὔπιστος: τίς ὧδε μῶρος καὶ λίαν ἀνειμένος εὔπιστος ἀνδρῶν ὅστις ἐλπίζει θεοὺς ὀστῶν ἀσάρκων - χαίρειν ἀπαρχαῖς adesp. 118, 2.

εὔπλουτος: εὔπλουτον κανοῦν adesp. 213.

εὔπορος: πολλά τοι θεὸς κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις τελεῖ Eur. 100, 2. (cf. αἰρετός.) ἔχω - διδάσκαλον ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον, Ἔρωτα Eur. 430, 2.

εὔποτμος: ἃ δὲ μνᾶστις θνατοῖς *εὐποτμοτάτα μελέων Soph. 145, 3.

εὐπραξία: ἡ βροτῶν τ' εὐπραξία τῶν τἀλάχιστα γίγνεται λυπουμένων adesp. 360. ἡ δ' εὐπραξία ξὺν τοῖς ἀναισχύντοισιν ὥρισται βίου adesp. 557, 2. ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν Eur. 437, 2.

εὐπρεπής: λάμπει γὰρ ἐν χρείαισιν ὥσπερ εὐπρεπὴς (al. εὐγενὴς) χαλκός Soph. 780. ἐν γέλωτι δ' εὐπρεπεῖς οἰκοῦσιν οἴκους Eur. 492, 5. χὡταν περ αὐτῆς εὐπρεπεστάτη (al. εὐγενεστάτη) φανῇ, πάλιν διαρρεῖ Soph. 787, 7.

εὐπρεπῶς: ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται adesp. 515, 3.

εὐπροσήγορος: ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον adesp. 552. μύθους Δανάῃ τούσδ' εὐπροσηγόρους ἄγων ἐκ Διός Eur. 1132, 45.

εὔπυργος: δόμοι μὲν οἵδ' εὔπυργά τ' ἐρύματα χθονὸς οὐκ ἐν πολυχρύσοισιν ἤσκηται χλιδαῖς Eur. 1132.

εὑρετής: ψυχὴ γὰρ εὔνους καὶ φρονοῦσα τοὔνδικον κρείσσων σοφιστοῦ παντός ἐστιν εὑρετής Soph. 97, 2.

εὑρετός: τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ ζητῶ Soph. 759.

εὕρημα: οὗτος δ' ἐφηῦρε - σταθμῶν ἀριθμῶν καὶ μέτρων εὑρήματα (?) Soph. 399, 2.

Εὔριπος: Εὐβοΐδα μὲν γῆν λεπτὸς Εὐρίπου κλύδων Βοιωτίας ἀκτῆς ἐχώρισεν Ion. 18 p. 735.

εὑρίσκω: τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους Soph. 85. ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος adesp. 526. οὗτος γὰρ ὁ θεὸς - τίθησι καὶ τὸν ἄπορον εὑρίσκειν πόρον Aristarch. 2, 5 p. 728. τὸ δ' εὐτυχοῦντα πάντ'

ἀριθμήσας βροτῶν οὐκ ἔστιν οὗτος ὄντιν' εὑρήσεις ἕνα (?) Soph. 620, 2. πολλῶν γὰρ οὐσῶν τὴν μὲν εὑρήσεις κακήν Eur. 657, 3. τὴν εὐγένειαν - ἐν τοῖς καλῶς φρονοῦσιν εὑρήσεις βροτῶν adesp. 171, 2. (cf. γιγνώσκω.) κἀκ τῶν δέκ' αὖθις ηὗρε πεντηκοντάδας Soph. 399, 5. πόθεν ποτ' ἄλυπον ὧδε ηὗρον ἄνθος (?) ἀνίας Soph. 174, 2. τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς τυραννίς, οὐχ εὕροις ἂν ἀθλιώτερον Eur. 605, 2. ἢ σφηκιὰν βλίσσουσιν εὑρόντες τινά Soph. 710. ἁλίας στραβήλου τῆσδε - εἴ τινα δυναίμεθ' εὑρεῖν ⟨ὃς διείρειεν λίνον⟩ Soph. 301, 2. τῶν γὰρ πλούτων ὅδ' ἄριστος γενναῖον λέχος εὑρεῖν Eur. 137, 2. τίνα δεῖ μακάρων ἐκθυσαμένους εὑρεῖν μόχθων ἀνάπαυλαν Eur. 912, 13. ἐν ἑκατόν ἐστιν εὑρεῖν ἄνδρ' ἕνα (?) Astyd. 8, 4 p. 780. τὸν πάνσοφον ἀριθμὸν ηὕρηκ' ἔξοχον σοφισμάτων adesp. 470, 4. λακιστὸν ἐν πέτραισιν εὑρέσθαι μόρον adesp. 291. δόλοι δὲ καὶ σκοτεινὰ μηχανήματα χρείας ἀνάνδρου φάρμαχ' ηὕρηται βροτοῖς Eur. 288, 2. τόθ' ηὑρέθη μὲν καρπὸς ἡμέρου τροφῆς Δήμητρος ἁγνῆς, ηὑρέθη δὲ Βακχίου γλυκεῖα πηγή Mosch. 6, 23. 24 p. 814.

(εὖροος cf. εὔτροχος.)

Εὐρυδίκη — Eur. p. 509.

(εὔρυθμος cf. εὔτροχος.)

Εὐρύμαχος: Εὐρύμαχος οὐκ ἄλλος οὐδὲν ἧσσόνως ὕβριζ' ὑβρισμοὺς οὐκ ἐναισίους ἐμοί Aesch. 179.

εὐρύς: λαΐνοις εὐρεῖα πύργοις ὠχυρωμένη πόλις Mosch. 6, 8 p. 813. ἀωρὶ πόντου κύματ' εὐρέος περᾷ Eur. 921.

Εὐρυσθεύς: ἦκω δὲ δεῦρο πρὸς βίαν Εὐρυσθέως Eur. 591, 5.

Εὐρώπη: χθονὸς Εὐρώπης - ἠδ' Ἀσίας τέρμονα Φᾶσιν Aesch. 191. Φοινικογενοῦς - τέκνον Εὐρώπης καὶ τοῦ μεγάλου Ζηνός Eur. 472. cf. Eur. 820.

Εὐρωπία: μακρὰς (?) Εὐρωπίας Soph. 36. σχεδὸν παρ' αὐτοῖς κρασπέδοις Εὐρωπίας Eur. 381.

Εὐρώτας: νὴ τὸν Εὐρώταν τρίτον Soph. 871.

εὐσέβεια: τὸ γὰρ ἔχειν πλέον κρατεῖ τῆς εὐσεβείας Eur. 736, 5. οὐ γὰρ κατ' εὐσέβειαν αἱ θνητῶν τύχαι Eur. 434. cf. εὐσεβία.

εὐσεβής: ἦσθ' εἰς θεοὺς μὲν εὐσεβής Eur. 311. εἰ δ' εὐσεβὴς ὢν τοῖσι δυσσεβεστάτοις εἰς ταὐτ' ἔπρασσον Eur. 832. μηρῶν τε τῶν σῶν εὐσεβὴς ὁμιλία Aesch. 136. ζῶντας κολάζειν, οὐ θανόντας εὐσεβές Mosch. 3, 2 p. 813. ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς γνώμη Apollon. 1, 4 p. 825. πολλοὶ διὰ φόβον κοὐ δι' εὐσεβῆ τρόπον θεοὺς ἂν ηὖξον Theod. 8, 5 p. 804. ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα Soph. 103, 6. εἰσορῶ - ⟨τοὺς⟩ θεοῖσι μικρὰ θύοντας τέλη τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους Eur. 327, 7.

εὐσεβία: ἦλθε γὰρ ἥ πρόσθ' ἡ μετόπισθεν τῆς εὐσεβίας χάρις ἐσθλή Eur. 446, 6.

εὐσεβῶ: τάδ' ἐστὶ χρήματ', ἢν τις εὐσεβῇ θεόν Eur. 252, 3. ὅταν τις εὐσεβῶν θύῃ θεοῖς Eur. 946. ταῦτα δρῶντες μᾶλλόν εἰσ' εὐδαίμονες τῶν εὐσεβούντων ἡσυχῇ καθ'

ἡμέραν Eur. 286, 9. τῶν εὐσεβούντων - ἐρᾶν Eur. 388, 4. τοῖς δὲ συμφοραὶ σκληραὶ πάρεισιν εὐσεβοῦσιν εἰς θεούς Eur. 684, 3. θυσίας τε τούτοις καὶ κενὰς πανηγύρεις στέφοντες οὕτως εὐσεβεῖν νομίζομεν Soph. 1025, 9. τῷ πλουσίῳ τε τῷ τε μὴ διδοὺς μέρος ἴσον σεαυτὸν εὐσεβεῖν (?) πᾶσιν δίδου Eur. 362, 8. τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι χρηστοῖς θ' ὁμιλοῦντ' εὐσεβεῖν τ' ἠσκηκότα Eur. 1067, 2. ἄμεινον οὐδεὶς κάματος εὐσεβεῖν θεούς (?) adesp. 350, 2.

εὐσέληνος: εὐσέληνον φέγγος Eur. 1108.

εὔσελμος: σωτῆρες εὐσέλμων νεῶν adesp. 463.

εὔσκιος: *ὄγκος εὔσκιος adesp. 276. οἳ δ' ὑπ' εὐσκίους ⟨θάμνους κα⟩θῖζον Eur. 495, 36.

εὔσοια: τῶν τριῶν μίαν λαβεῖν εὔσοιαν ἀρκεῖ Soph. 118, 2.

εὔστοχος: λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι Eur. 321, 2.

εὐστόχως Eur. 613.

(εὐσχημονῶ cf. εὐθημονῶ.)

εὖτε: ἐγὼ μὲν εὖτ' ἂν τοὺς κακοὺς ὁρῶ βροτῶν πίπτοντας, εἶναι φημὶ δαιμόνων γένος Eur. 577. ὃς εὖτ' ἂν ἄλλων κρεισσόνων ὁρμὴν μάθῃ, στρόβιλος ἀμφ' ἄκανθαν εἰλίξας δέμας κεῖται Ion. 38, 3 p. 739. ἀλλ' εὖτ' ἂν Ἄρης νεοχμὸς ἐμπέσῃ στρατῷ, βουλὴ μὲν ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται Ion. 63, 2 p. 745.

εὐτεκνία: αἰτῶ δ' αὐδὰν (?) εὐτεκνίαν τε γάμοις Eur. 773, 72.

εὐτεκνῶ: ἡγησάμην οὖν, εἰ παραζεύξειέ τις χρηστῷ πονηρὸν λέκτρον, οὐκ ἂν εὐτεκνεῖν Eur. 520, 2.

εὐτέλεια: διδάσκαλος γὰρ ἡ τέλεια τῶν σοφῶν καὶ τῶν ἀρίστων γίγνεται βουλευμάτων adesp. 522, 3.

εὔτονος: τὸν Βοιώτιον νόμον, τὰ πρῶτα μὲν σχολαῖον, εἶτα δ' *εὔτονον Soph. 881, 2. (cf. ἔντονος.)

εὐτράπεζος: βίος δὲ πορφυροῦς - οὐκ εὐτράπεζος Eur. 670, 2. ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος Eur. 1052, 3.

εὔτροχος: νῦν δ' εὐτρόχοισι (εὐρύθμοις vel εὐρόοισι ll.) στόμασι τἀληθέστατα κλέπτουσιν Eur. 439, 3.

εὐτύχεια Soph. 947. cf. εὐτυχία.

εὐτύχημα: μηδ' εὐτύχημα μηδὲν ὧδ' ἔστω μέγα Eur. 963. πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν φρενῶν μεγάλα δίδωσιν εὐτυχήματα adesp. 82, 2.

εὐτυχής: (cf. εὐγενής.) οὐκ ἔστιν ὅστις εὐτυχὴς ἔφυ βροτῶν Eur. 150. (cf. εὐδαίμων et add. p. XXV.) ὁ μὲν ζάπλουτος, εἰς γένος δ' οὐκ εὐτυχής, ἀλγεῖ μὲν ἀλγεῖ Eur. 285, 6. πρὸς μάντιν οὐδεὶς εὐτυχὴς ἀπέρχεται adesp. 439. σοφὴ μὲν ἦμην, ἀλλὰ πάντ' οὐκ εὐτυχής adesp. 124. ἐν κοινῷ ψέγειν ἅπασι κεῖσθαι δυστυχὲς κοὐκ εὐτυχές Eur. 635, 3. ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν πλάστιγγ' ἐρείσῃ τοῦ βίου παλίντροπον Soph. 666, 4. οὐδεὶς οἶδεν ἄνθρωπος γεγὼς οὔτ' εὐτυχοῦς ἀριθμὸν οὔτε δυστυχοῦς Eur. 843, 2. οὐ γάρ ποτ' εἶων Σθένελον εἰς τὸν εὐτυχῆ χωροῦντα τοῖχον τῆς δίκης ἀποστερεῖν Eur. 89. δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς Eur. 208, 3.

γεννᾷ τὸ θεῖον εὐτυχῆ δωρήματα adesp. 475. ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους· ὅσοισι δ' εἰσίν, οὐδὲν εὐτυχεστέρους Eur. 571, 5.

εὐτυχία: οἴμοι, τὸ κακὸν τῆς εὐτυχίας ὡς μᾶλλον ἐς οὓς φέρεται θνητῶν adesp. 386. οὐδέποτ' εὐτυχίαν κακοῦ ἀνδρὸς ὑπέρφρονά τ' ὄλβον βέβαιον εἰκάσαι χρεών Eur. 303. cf. εὐτύχεια.

εὐτυχῶ: χρήμασιν γὰρ εὐτυχῶ· ταῖς συμφοραῖσι δ', ὡς ὁρᾷς, οὐκ εὐτυχῶ Eur. 143, 1. 2. ὅθεν δὲ νικᾶν χρῆν σε, δυστυχεῖς· ὅθεν δέ σ' οὐ χρῆν, εὐτυχεῖς Eur. 47, 2. ὅταν γὰρ ζῇ τις, εὐτυχεῖ χρεών (?) Eur. 154, 2. τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος· οὔτ' εὐτυχεῖ τὸ πάμπαν οὔτε δυστυχεῖ Eur. 196, 2. τῷ γένει μὲν εὐτυχεῖ Eur. 285, 12. θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ λαμπρᾷ γαλήνῃ, τῶν δὲ συννέφει πάλιν Eur. 330, 6. εἰ δέ τις κυρεῖ γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών Eur. 463, 4. ἅπασα Πελοπόννησος εὐτυχεῖ πόλις Eur. 730. θεοῦ γὰρ οὐδεὶς χωρὶς εὐτυχεῖ βροτῶν Eur. 1025. συμφορὰ δ' ὃς ἂν τύχῃ κακῆς γυναικός, εὐτυχεῖ δ' ἐσθλῆς τυχών Eur. 1056, 3. μακάριος ὅστις εὐτυχεῖ γάμον λαβὼν ἐσθλῆς γυναικός, δυστυχεῖ (εὐτυχεῖ ll.) δ' ὁ μὴ λαβών Eur. 1057. βέβαια δ' οὐδεὶς εὐτυχεῖ θνητὸς γεγώς Eur. 1074. οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις οὔτ' εὐτυχοῦσι Eur. 1056, 2. ἦν δ' εὐτυχῆτε, μηδὲν ὄντες εὐθέως ἴσ' οὐρανῷ φρονεῖτε Sosiph. 3, 4 p. 820. ἦ βαρὺ φόρημ' ἄνθρωπος εὐτυχῶν ἄφρων Aesch. 392. εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος μηδὲν δόμοισι τῶν καλῶν πειράσεται Eur. 198. χὠ πρὶν εὐτυχῶν πίτνει Eur. 262, 3. (cf. ἐντρυφῶ.) μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει Eur. 793. μηδεὶς ἄπειρος τῶν ἐμῶν εἴη φίλων ἔρωτος, εὐτυχῶν δὲ τὸν θεὸν λάβοι Zopyr. 1, 2 p. 832. μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα Eur. 409. † τὸ δ' εὐτυχοῦντα πάντ' ἀριθμήσας βροτῶν οὐκ ἔστιν οὕτος ὄντιν' εὑρήσεις ἕνα Soph. 620. τὸν εὐτυχοῦντα χρῆν σοφὸν πεφυκέναι Eur. 99. χρῆν γὰρ τὸν εὐτυχοῦνθ' ὅπως πλείστας ἔχειν γυναῖκας Eur. 402, 2. τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν Eur. 1017. πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος Eur. 626, 7. κακοὶ γὰρ εὐτυχοῦντες ἐκπλήσσουσί με adesp. 465, 2. τῶν εὐτυχούντων ἀνταγωνιστὴς φθόνος adesp. 167. (cf. ἔχω.) μὴ φθόνει τοῖς εὐτυχοῦσι Char. 3 p. 826. τοὺς δ' εὐτυχοῦντας ἄγει (?) Eur. 901, 5. χρυσοῦ νόμιζε σαυτὸν εἵνεκ' εὐτυχεῖν Eur. 142, 4. αὐτοὶ δι' αὐτοὺς εὐτυχεῖν ἡγούμενοι Eur. 608, 3. μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν Eur. 701. (cf. τυγχάνω.) εὐτυχεῖν δ' αἰτεῖν θεούς Carc. 4 p. 799. οἷος ἦν ποτε κἀγὼ μετ' ἀνδρῶν ἡνίκ' ηὐτύχουν βίῳ Eur. 285, 20. κοὐδεὶς ἂν οὕτως ηὐτύχει κακὸς γεγώς Soph. 103, 10. ὡς εὐτυχήσων καὶ κακῶς πράξων ποτέ adesp. 546, 3. ἀδόκητ' εὐτυχησάντων δόμων Eur. 362, 31.

εὐτυχῶς: σὺ δ' ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως - τοῖς ἐρῶσιν † εὐτυχῶς συνεκπόνει Eur. 136, 3.

εὐφαμῶ: εὐφαμεῖτε μελισσονόμοι δόμον Ἀρτέμιδος πέλας οἴγειν (?)

Aesch. 87. εὐφαμεῖτ' ὦ, ἐκτόπιοί τε δόμων ἀπαείρετε Eur. 773, 67. cf. εὐφημῶ.

Εὐφήμη — Sosith. 5 p. 824.

εὐφημία: εὐφημία γὰρ εὐκολώτατος πόνων Eur. 1087. (cf. βουλιμία.) στεφάνους τεμόντες ἀγγέλους εὐφημίας Chaer. 6 p. 783. στεφάνους - οἳς εὐφημίας κήρυκας εὐχαὶ προυβάλοντο δαιμόνων Chaer. 11 p. 785. τοὺς εὖ γεγονότας - κἀν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας adesp. 545, 2. γήρᾳ πρεπόντως σῷζε τὴν εὐφημίαν Soph. 194. εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω Soph. 807.

εὔφημος: εὔφημος ἴσθι μοῦνον ἐξορμωμένη Soph. 437. εὔφημα καὶ σᾶ καὶ κατεσφραγισμένα Eur. 762. εὐφήμοις γόοις Aesch. 40.

εὐφημῶ: τὸν δ' αὖ θανόντα - χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων Eur. 449, 4. cf. εὐφαμῶ.

εὐφήμως: ἵνα πλημοχόας τάσδ' εἰς χθόνιον χάσμ' εὐφήμως προχέωμεν Eur. 592, 2.

εὐφορβία: σὺ δὲ σφαδάζεις πῶλος ὡς εὐφορβίᾳ Soph. 764.

εὐφραίνω: εἰ μὲν φράσω τἀληθές, οὐχί σ' εὐφρανῶ· εἰ δ' εὐφρανῶ τί σ', οὐχὶ τἀληθὲς φράσω Agath. 12, 1. 2 p. 766. καὶ ποῦ τοσαῦτα χρήματ' ἐστίν - ἃ μᾶλλον ἀνδρὸς εὐφρανεῖ παρόντα με Eur. 953, 23.

εὐφρόνη: καὶ ταῦτ', ἐπειδὰν εὐφρόνη ζεύξῃ μία, χρεὼν ἐπαινεῖν Soph. 524, 11. ὅλην δ' ἐκείνην εὐφρόνην ἐθόρνυτο Soph. 1026, 9. οὐδ' ὄναρ κατ' εὐφρόνην φίλοις ἔδειξεν αὑτόν Eur. 107. ὥσπερ σελήνης ὄψις *εὐφρόνας δύο στῆναι δύναιτ' ἂν οὔποτ' ἐν μορφῇ μιᾷ Soph. 787, 3.

εὐφυής: πολὺς δ' ἀνεῖρπε κισσὸς εὐφυὴς κλάδος Eur. 88. ἥτις εὐφυᾶ λαβοῦσα τέχνη φῶτ' ἔθηκε χείρονα Eur. 186.

εὐχερής: ὅρκων ἐρῶσιν οὐδὲν εὐχερέστερον adesp. 567.

εὐχή: στεφάνους - οἳς εὐφημίας κήρυκας εὐχαὶ προυβάλοντο δαιμόνων Chaer. 11, 2 p. 785. εὐχαῖς δὲ σῴζοις δεσπότας παιωνίαις Aesch. 144, 2. γάμων τέλος, τὸ δή ποτ' εὐχαῖς ἐγὼ λισσομένα προσέβαν ὑμέναιον ἀεῖσαι Eur. 773, 52. Ἑστίας θ' ἕδος, ἀφ' ἧς γε σώφρων πᾶς ἂν ἄρχεσθαι θέλοι εὐχὰς πυ⟨εῖσθαι⟩ Eur. 781, 37.

εὔχομαι: κοὔποτ' εὔχομαι θανεῖν Eur. 533, 4. ὦ γαῖα πατρίς - χαῖρ', ὅς τε πέτρον Ἀρκάδων δυσχείμερον ⟨Πὰν⟩ ἐμβατεύεις, ἔνθεν εὔχομαι γένος Eur. 696, 3. Ἀργεῖος ἢ Θηβαῖος· οὐ γὰρ εὔχομαι μιᾶς adesp. 392. φίλων τοιούτων οἱ μὲν ἐστερημένοι χαίρουσιν, οἱ δ' ἔχοντες εὔχονται φυγεῖν Soph. 779, 2. εἴ τις ἀργὸς ὢν θεοῖς εὔχοιτο Eur. 286, 14. εὐχέσθω δ' ὅμως ἄπειρος εἶναι τῆς νόσου ταύτης ἀεί Eur. 1070, 3. εὔξῃ τοιοῦτον ἄνδρα σοι παρεστάναι Eur. 956. οὔτε γὰρ γάμον - οὔτ' ἂν ὄλβον ἔχμετρον ἔνδον εὐξαίμαν ἔχειν Soph. 327, 3. ὑμεῖς δὲ βωμὸν τόνδε - κύκλῳ περίστητ' ἐν λόχῳ τ' ἀπείρονι εὔξασθε Aesch. 379, 3.

εὐψυχία: τοῖσι γενναίοισιν ὡς ἁπανταχοῦ πρέπει χαρακτὴρ χρηστὸς εἰς εὐψυχίαν Eur. 329, 2.

εὐωριάζειν Soph. 517.

εὔωρος: εὔωρος *γάμου Soph. 190.

ἐφέδρανον: ἐφέδρανα Phryn. 7 p. 722.

ἐφέλκω: ὃ καὶ σίδηρον ἀγχόνας τ' ἐφέλκεται Eur. 362, 26.

ἔφεξις Eur. 599.

ἐφέρπω: ὅταν δ' ἐφέρπῃ κῦμα λοίσθιον βίου, τὸ ζῆν ποθοῦμεν Lycophr. 5, 3 p. 818.

Ἐφέσεια Soph. 93.

ἐφέσπερος: ἐφέσπερον δαίουσα λαμπτῆρος σέλας adesp. 407.

ἐφέστιος: περιστερὰν οἰκέτιν ἐφέστιόν τε Soph. 782, 2.

ἐφευρίσκω: οὗτος δ' ἐφηῦρε τεῖχος Ἀργείων στρατῷ - ἐφηῦρε δ' ἄστρων μέτρα καὶ περιστροφάς Soph. 399, 1. 8. οὐ λιμὸν οὗτος τῶνδ' ἔπαυσε - χρόνου τε διατριβὰς σοφωτάτας ἐφηῦρε Soph. 438, 3. κλέπτων δ' ὅταν τις ἐμφανῶς ἐφευρεθῇ Soph. 844.

ἐφηβῶ: ἐγὼ δὲ πατρὸς αἷμ' ἐτιμωρησάμην σὺν τοῖς ἐφηβήσασι τῶν ὁλωλότων Eur. 559, 2.

ἔφημαι: ἐφημένη τάφον τέκνοις ἐπῴζε τοῖς τεθνηκόσιν Aesch. 157.

ἐφήμερος: τὸ γὰρ νόσημα τοῦτ' ἐφήμερον κακόν Soph. 153. (cf. ἡμέρα.) Ζεὺς ἔσθ' ὁ πέμπων τὴν ἐφήμερον τροφήν adesp. 476. πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι τοὐφήμερον ζῆν ἡδέως adesp. 95, 2. διδάξεις τ' ἄλλους μυρίους ἐφημέρους θεῶν ὕπερθε μήποτ' αἴρεσθαι βροτοῖς Neophr. 3, 4 p. 731.

ἐφίημι: τί δ' οὐ γένοιτ' ἂν θεοῦ ἐφιέντος τύχῃ adesp. 474. τίς ἦν ὁ ‹τυφλὰ τάδε βέλεμν'› ἐφεὶς ἐμοί Eur. 495. ἔδρασαν πάντ' ἐφέντες ἡδονῇ Eur. 564, 3. σεμνοὺς Παλικοὺς Ζεὺς ἐφίεται καλεῖν Aesch. 6, 2. ἠβῶσα χεὶρ ἐφίετο Aesch. 179, 5.

ἐφικτός: ποιναῖς ἐφικταῖς adesp. 256.

ἐφίστημι: ταχὺς δὲ βαθμοῖς νυμφικοῖς ἐπεστάθη ὁ μοιχός Soph. 1026, 5.

ἐφορμῶ: αἴσχη μέν - οὐδ' ἂν εἷς φύγοι βροτῶν ποθ', ᾧ καὶ Ζεὺς ἐφορμήσῃ κακά Soph. 619, 2.

ἔφορος: ἔφορος οἰάκων adesp. 39.

ἐφορῶ: ἥκομεν . . τοὺς σοὺς ἄθλους τούσδε - δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι Aesch. 190, 3.

ἐφυμνῶ: ἐφυμνεῖς Soph. 87. πολὺς δὲ Φρὺξ τρίγωνος ἀντίσπαστά τε Λυδῆς ἐφυμνεῖ πηκτίδος συγχορδίᾳ Soph. 378, 2.

ἐχέγγυος: οὐδεὶς παρανομῶν πρὸς θεοὺς ἐχέγγυος adesp. 494.

ἐχθαίρω: σιγᾷ μέν, ἐχθαίρει δέ, βούλεταί γε μήν Ion. 44 p. 741. λύπας μὲν ἀνθρώποισιν - θεοὶ τοῖσιν διδοῦσιν οὓς ἂν ἐχθαίρωσι adesp. 489, 2.

*ἔχθημα Soph. 590.

ἔχθος: δεινόν γε ταὐτὸν τοῖς μὲν ἀνδάνειν βροτῶν, τοῖς δ' ἔχθος εἶναι adesp. 462, 2.

ἔχθρα: ἔχθραν μεγίστην σοῖσι συμβάλλων τέκνοις Eur. 338, 3. τὴν παραυτίχ' ἡδονὴν ἔχθραν καθίστης' εἰς τὸν ὕστερον χρόνον Crit. 3, 3 p. 774.

ἐχθρός: οὐδεὶς ἐχθρὸς οὔτε φύεται πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν Soph. 85, 4. ἐχθρὸς μὲν ἀνήρ adesp. 5. γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ Eur. 317, 4.

ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον Aesch. 201. ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον τέκος Eur. 727. ἐρρέτω φίλος σὺν ἐχθρῷ adesp. 362. γνῶναι τὸν ἐχθρὸν ἢ μάλισθ' ἁλώσιμος Eur. 743, 2. νόμου τὸν ἐχθρὸν δρᾶν, ὅπου λάβῃς, κακῶς Eur. 1091. τὰν δ' ἐχθρὰν στάσιν εἶργ' ἀπ' οἴκων Eur. 453, 10. μισῶ παρ' ἐχθρῶν θῶπας εὐειδεῖς λόγους adesp. 24. γέλως γὰρ ἐχθροῖς γίγνεται τὰ τοιάδε Eur. 460, 4. σφάλλειν σὺν ἐχθροῖς καὶ φίλους κέρδος φέρει adesp. 301. ἐχθροῖς ἀπιστῶν adesp. 310. μηχανωμένη κακὰ ἐχθροῖσι Eur. 874, 2. ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ' ἔχειν Eur. 1060. θῆλυς μὲν αὐτός, ἄρσενας δ' ἐχθροὺς ἔχων Soph. 136, 2. ἐχθρούς (ἐχθροῦ ll.) κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος Eur. 1092. — καὶ γὰρ κακοὶ γεγῶτες ἐχθίστη νόσος Eur. 571, 6. ἔτι γὰρ θάλλει πενία κακὸν ἔχθιστον Eur. 230, 3. ἐχθροῦ φωτὸς ἔχθιστον τέκος Eur. 727. (cf. αἰσχρός.) πρὶν ἐξαμαρτεῖν καὶ τὰ προσφιλέστατα ἔχθιστα θέσθαι Neophr. 2, 3 p. 730.

ἔχθω: οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί Aesch. 353.

ἔχιδνα: ὡς ἐξ ἐχίδνης πάλιν ἔχιδνα γίγνεται Isid. 1, 4 p. 829.

ἐχῖνος: τὰς λέοντος ἥνεσα ἢ τὰς ἐχίνου μᾶλλον οἰζυρὰς τέχνας Ion. 38, 2 p. 739.

Ἐχίων — Aesch. 376.

ἔχω: εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω Soph. 38. ὁμορροθῶ, συνθέλω, συμπαραινέσας ἔχω Soph. 449, 2. εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω Soph. 807. τὸ δ' ἐτήτυμον οὐκ ἔχω εἰπεῖν Eur. 18. εἰ γὰρ εὖ φρονεῖν ἔχω Eur. 199, 2. εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά Eur. 336. αἰδοῦς δὲ καὐτὸς δυσκρίτως ἔχω πέρι Eur. 365. ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον - Ἔρωτα Eur. 430. ἀμηχανῶ δ' ἔγωγε κοὐκ ἔχω μαθεῖν Eur. 571. οὐκ ἀξιῶ μικρῶν σε, μεγάλα δ' οὐκ ἔχω adesp. 31. ἔχω (?)· τὸ γὰρ πρᾶγμ' αὐτό μοι καλῶς ἔχον καλοὺς παρασχεῖν τοὺς λόγους δυνήσεται adesp. 553. ⟨ὦ⟩ γλῶσσ', ἐν οἷσιν ἀνδράσιν τιμὴν ἔχεις Soph. 192. τὸ γὰρ δρᾶν οὐκ ἔχων λόγους ἔχεις Eur. 610. ὦ γῆρας, οἷαν ἐλπίδ' ἡδονῆς ἔχεις Eur. 1080. μακαρίως ἔχεις φρενῶν Dionys. 2, 2 p. 793. παρεμφερεῖς ταύταισι τοὺς τρόπους ἔχεις Isid. 1, 2 p. 829. εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας adesp. 10, 2. ὃς τόνδ' ἔχεις τὸν σηκόν, ἴλεως γενοῦ adesp. 164. σὺ δ' ἐγγενὴς ὢν τήνδε δουλώσας ἔχεις adesp. 536. ὅστις χιτῶνας βασσάρας τε Λυδίας ἔχει ποδήρεις Aesch. 59, 2. ἀλλ' οὐκ ἐν αὐγαῖς ταῖς ἐμαῖς ζόας *ἔχει, τὸ μὴ παρόν τε τέρψιν οὐκ ἔχει φίλοις Aesch. 99, 13. 14. τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν εἶτ' οὖν κακουργεῖν, ἀμφιδεξίως ἔχει Aesch. 266, 2. κἀποδηλώσας ἔχει θρασὺν πετραῖον ὄρνιν ἐν παντευχίᾳ Aesch. 304, 2. πόνου γὰρ ἄκρον οὐκ ἔχει χρόνον Aesch. 352. δικαία γλῶσσ' ἔχει κράτος μέγα Soph. 77. πόλλ' ἔχει σιγὴ καλά Soph. 78. ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν Soph. 84, 2. ἔχει μὲν ἀλγεῖν', οἶδα Soph. 237. πατὴρ δὲ ποταμὸς Ἴναχος τὸν ἀντίπλαστον νόμον ἔχει κεκμηκότων Soph. 262, 2. τοίαν Πέ-

λοψ ἴυγγα θηρατηρίαν ἔρωτος, ἀστραπήν τιν' ὀμμάτων ἔχει Soph. 433, 2. νῦν δ', ὦ γεραιέ, ταῦτ' ἀνηνύτως ἔχει Soph. 513, 4. παῖδας γὰρ οὓς ἔφυσ' ἀναλώσας ἔχει Soph. 806. θανόντι κείνῳ συνθανεῖν ἔρως μ' ἔχει Soph. 867. κεῖνος γὰρ ἔχει τέλος ἠδὲ καὶ ἀρχήν Soph. 1028, 2. ἐν χρήμασιν τόδ' ἐστί, μὴ γαυροῦ - κύκλῳ γὰρ ἕρπει· τῷ μὲν ἔσθ', ὃ δ' οὐκ ἔχει Eur. 22, 3. παλαιὸς αἶνος ὡς καλῶς ἔχει Eur. 25. 333. ὁ κάμνων δακρύων μεταδοὺς ἔχει κουφότητα μόχθων Eur. 119, 2. θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος ἔχει Eur. 176, 2. τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ νοσοῦντα Eur. 205, 2. εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ, ἔχει λόγον καὶ τοῦτο Eur. 208, 2. (cf. φέρω.) τυραννίδ' ἣ θεῶν δευτέρα νομίζεται· τὸ μὴ θανεῖν γὰρ οὐκ ἔχει, τὰ δ' ἄλλ' ἔχει Eur. 250, 2. τίν' ἔχει στάσιν Εἰνοδία Eur. 308, 3. ὦ χρυσέ - οὔτε μήτηρ ἡδονὰς τοίας ἔχει, οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ, οἵας σὺ χοὶ σὲ δώμασιν κεκτημένοι Eur. 324, 2. τὰ γὰρ κακῶς οἴκους ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν Eur. 362, 13. οὑτος δ' ἔχει σημεῖον ἐν μέσῳ σαφές Eur. 382, 4. τὰ δ' αἰσχρὰ μισεῖ καὶ κατ' ὀφθαλμοὺς † ἔχει Eur. 410, 3. ὅστις δ' ἄμεικτον πατέρ' ἔχει νεανίας στυγνόν τ' ἐν οἴκοις Eur. 500. ἦμαρ ⟨ἓν⟩ τοι μεταβολὰς πολλὰς ἔχει Eur. 549. ταῦτα γὰρ λέγειν ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει Eur. 572, 5. οὐκ ἔστι τὰ θεῶν ἄδικ', ἐν ἀνθρώποισι δὲ κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει Eur. 606, 2. τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους Eur. 637. τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει Eur. 642, 2. ἥ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον Eur. 661, 2. ἡ παῖς νοσεῖ σου κἀπικινδύνως ἔχει Eur. 682. τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο ὅσην ἔχει φρόνησιν ἀξίωμά τε. κἂν γὰρ πένης ὢν τυγχάνῃ, χρηστὸς γεγὼς τιμὴν ἔχει τινά Eur. 739, 2. 4. ἀναγκαίως δ' ἔχει βίον θερίζειν Eur. 757, 5. θερμὴ δ' ἄνακτος φλὸξ - καίει τὰ πόρρω, τἀγγύθεν δ' εὔκρατ' ἔχει Eur. 772, 2. θυηπολοῦσα θεοῖς ἐκεῖσ' ἔχει φρένας Eur. 781, 56. τὸ μὲν σφαγῆναι δεινόν, εὔκλειαν δ' ἔχει Eur. 854. ἐν ⟨αὐτὸς⟩ αὑτῷ πάντα συλλαβὼν ἔχει Eur. 862, 2. ἔστ' ἀνδρὶ καὶ γυναικὶ κείμενος νόμος, τῷ μὲν διὰ τέλους ἣν ἔχει στέργειν ἀεί Eur. 953, 15. βίος γὰρ ὄνομ' ἔχει πόνος γεγώς Eur. 966. πᾶς τις ἥδεται λέγων τά τ' ὄντα καὶ μή· ζημίαν γὰρ οὐκ ἔχει Eur. 978, 5. νέος δ' ὅταν πόλλ' ἐξαμάρτῃ, τὴν ἁμαρτίαν ἔχει εἰς γῆρας αὐτοῦ τοῖς τρόποισιν ἔμφυτον Eur. 1027, 4. τὸ σκαιὸν εἶναι - ἀμουσίαν ἔχει Eur. 1033, 2. ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει Eur. 1039. ἡ δ' εὐλάβεια σκότον ἔχει καθ' Ἑλλάδα Eur. 1052, 8. ἥτις γὰρ ἡμῶν καρδίαν θύραζ' ἔχει Eur. 1063, 12. καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει Eur. 1065. Ζεὺς ἐν θεοῖσι μάντις ἀψευδέστατος καὶ τέλος αὐτὸς ἔχει Eur. 1110, 2. ἐγκατάκλειστον δόμοις ἔργει - καὶ σκότῳ κρύψας ἔχει Eur. 1132, 40. τίς δεσπότιν ἐμὴν Δανάην βάξις ἔχει κατὰ πτόλιν Eur. 1132, 54. αὐτὸς ἰσχύων ἔτι παῖδας παρασπίζοντας ἀλκίμους ἔχει Dicaeog. 2, 2 p. 775.

ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει Chaer. 23 p. 788. πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ Chaer. 35 p. 790. σοφόν γέ τοί τι πρὸς τὸ βουλεύειν ἔχει τὸ γῆρας Antiph. 3 p. 793. πλοῦτος - μέγιστον ζῆλον ἐν βροτοῖς ἔχει Carc. 10, 2 p. 800. οὔτε βροτοῖσιν ἔχει γυίων αὔξησιν ὁμοίαν Theod. 18, 2 p. 807. οὐκ οἶσθα, πήρα δύναμιν ἡλίκην ἔχει Crat. 2 p. 810. μόνη γὰρ ὢν πέπονθεν οὐκ ἔχει χάριν Char. 1, 2 p. 826. οὗτος τὰ πλείω τῶν κακῶν ἔχει κακά Char. 1, 5 p. 826. ἀλλ' ἔν γ' ἔχει τι χρηστόν Hippoth. 3, 2 p. 828. αὐτὴ δ' ἑαυτὴν ἆθλα τῶν πόνων ἔχει adesp. 116, 3. τῶν γὰρ πενήτων πίστιν οὐκ ἔχει λόγος adesp. 119, 4. χρυσὸς γάρ ἐστιν ὃς βροτῶν ἔχει κράτη adesp. 294. γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει adesp. 364. ὅπου τις ἀλγεῖ, κεῖσε καὶ τὴν χεῖρ' ἔχει adesp. 385. τἀμὰ γὰρ καλῶς ἔχει adesp. 513, 2. ἐν τοῖς κακοῖσι δ' εὐγένει' ὅταν παρῇ τραχεῖα κώξύθυμος, ἀμαθίαν ἔχει adesp. 524, 2. τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον adesp. 547. μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει adesp. 550. οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ κεκραμένον Eur. 981, 2. ἔρωτα δεινὸν ἔχομεν Eur. 1054. πέλλυτρ' ἔχουσιν εὐθέτοις ἐν ἀρβύλαις Aesch. 259. ἔνθα νυκτέρων φαντασμάτων ἔχουσι μορφὰς ἄπτεροι πελειάδες Aesch. 312, 4. τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποταινίους Soph. 153, 5. οἳ μακρὸν βίον θνητῶν ἔχουσι Soph. 328, 3. οἵτινες τήτει σοφῶν ἀχάλιν' ἔχουσι στόματα Eur. 492, 4. ἔργα μὲν νεωτέρων, βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος Eur. 508, 2. δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ ἀριθμόν Eur. 519. ἀνθρώποισι πᾶσιν αἱ τύχαι μορφὴν ἔχουσι Eur. 580, 2. οἳ γῆν ἔχουσ' Εὐβοΐδα Eur. 658. πολλοὶ γεγῶτες ἄνδρες οὐκ ἔχουσ' ὅπως δείξουσιν αὐτοὺς τῶν κακῶν ἐξουσίᾳ Eur. 738. τυφλὰς ἔχουσι τὰς φρένας Eur. 776, 4. ἔξεστ' ἐρωτᾶν πότνιά σ' ἢ σιγὴν *ἔχω adesp. 282. κέκτησο δ' ὀρθῶς ἂν ἔχῃς ἄνευ ψόγου Eur. 417. Δίκα - ὑποπεσοῦσ' ἔλαθεν, ὅταν ἔχῃ τιν' ἀσεβῆ βροτῶν Eur. 223, 2. κἂν σμίκρ' ἔχῃ τις Eur. 275, 4. ἢν τις οἴκων πλουσίαν ἔχῃ φάτνην Eur. 378. ὅταν τις μὴ φρένας καλὰς ἔχῃ Eur. 548, 2. ὃς δ' ἂν πλεῖστ' ἔχῃ σοφώτατος Eur. 580, 5. ὅταν ξηρὸν πέδον - νοτίδος ἐνδεῶς ἔχῃ Eur. 898, 8. γυναικὶ δ' ὄλβος, ἢν πόσιν στέργοντ' ἔχῃ Eur. 1062. ἵνα δίκῃ τύραννος ᾖ.. τὴν δ' ὕβριν δούλην ἔχῃ Crit. 1, 7 p. 771. ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι Soph. 153, 2. τί δεῖ καλῆς γυναικός, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι Eur. 212, 2. καλῶς *ἔχοι μοι Eur. 707. πῶς τάδ' ἂν καλῶς ἔχοι Eur. 832, 2. ὡς ἐλαφρίζον γόνυ ἔχοιεν Eur. 530, 9. ἔχε τὸ δελήτιον Soph. 1023. ἢ λέγε τι σιγῆς κρεῖσσον ἢ σιγὴν ἔχε Dionys. 6 p. 795. ἐν χερσὶν βόμβυκας ἔχων Aesch. 57, 3. ἔχων δὲ τούτων θυμὸν ἱππογνώμονα Aesch. 243, 3. θῆλυς μὲν αὐτός, ἄρσενας δ' ἐχθροὺς ἔχων Soph. 136, 2. γραμμάτων πτυχὰς ἔχων νέμε Soph. 144. εὐναῖος εἴη δραπέτην στέγην ἔχων Soph. 176. ἐν πύλαισιν Αἰνέας - πάρεστ', ἐπ' ὤμων πατέρ' ἔχων Soph. 344, 2.

ὁ δ' ἥκιστ' ἔχων μακάρτατος Soph. 376, 2. ποδαπὸν τὸ δῶρον (?) ἀμφὶ φαιδίμοις ἔχων ὤμοις Soph. 415. τίς [ὄρνις] οὗτος ἕξεδρον χώραν ἔχων Soph. 593 (cf. add. p. XXIV). εἰ μὴ κἀρετὴν ἔχων τύχοι Eur. 163, 2. ἡμῶν τί δῆτα τυγχάνεις χρείαν ἔχων Eur. 231. εὐγενὴς ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν Eur. 242, 2. μακάριος ὅστις νοῦν ἔχων τιμᾷ θεόν Eur. 256. ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων βίου σπανίζει Eur. 285, 11. ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων Eur. 285, 17. πλείω δὲ μισθὸν μείζονος τόλμης ἔχων Eur. 297, 4. κακὸς δ' ὁ μὴ ἔχων Eur. 326, 8. πάλλευκα - ἔχων εἵματα Eur. 472, 16. τὸ γὰρ δρᾶν οὐκ ἔχων λόγους ἔχεις Eur. 610. οὐδ' εἰ πέλεκυν ἐν χεροῖν ἔχων μέλλοι τις εἰς τράχηλον ἐμβαλεῖν ἐμόν, σιγήσομαι δίκαιά γ' ἀντειπεῖν ἔχων Eur. 706, 1. 3. σμίκρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων ἄλυπος οἰκεῖν μᾶλλον ἢ πλουτῶν νοσεῖν Eur. 714, 2. τὸ νήπιον ἄπλητον ἔχων Eur. 754, 3. πεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχων Eur. 775, 2. ἔλα δὲ μήτε Λιβυκὸν αἰθέρ' εἰσβαλών· κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων, ἀψῖδα σὴν κάτω διήσει.. ἴει δ' ἐφ' ἑπτὰ πλειάδων ἔχων δρόμον Eur. 779, 2. 4. θαυμάζεται δ' ὁ πλεῖστον ἐν ναοῖς ἔχων χρυσόν Eur. 794, 2. ὡς δειλὸς εἴη θάνατον ἐκποδὼν ἔχων Eur. 816, 4. γνώμης σόφισμα καὶ χέρ' ἀνδρείαν ἔχων δύσμορφος εἴην μᾶλλον ἢ καλὸς κακός Eur. 842. Ἔρως - ἄλυπον τέρψιν τιν' ἔχων εἰς ἐλπίδ' ἄγει Eur. 897, 5. κορυφὴ δὲ θεῶν ὁ πέριξ χθόν' ἔχων φαεννὸς αἰθήρ Eur. 919. ὁ δ' ἐσφάδαζεν οὐκ ἔχων ἀπαλλαγάς Eur. 1020. σαφῶς δὲ πείθειν οὐκ ἔχων Eur. 1132, 29. ἀκρατέα νηδὺν ἔχων Aristiae 3, 2 p. 727. ἀσκεῖν μὲν ἀρετήν, εὐτυχεῖν δ' αἰτεῖν θεούς· ἔχων γὰρ ἄμφω ταῦτα μακάριός θ' ἅμα κεκλημένος ζῆν κἀγαθὸς δυνήσεται Carc. 4, 2 p. 799. ὅστις ὦτ' ἔχων ὄνου ἤνασσε καὶ νοῦν φωτὸς εὐήθους ἄγαν Sosith. 2, 2 p. 822. ὦ χρυσέ - πάντων κρατιστεύων τύραννε· πολέμοις δ' Ἄρεως κρείσσον' ἔχων δύναμιν adesp. 129, 5. βίον ἔχων τοῦφ' ἡμέραν adesp. 284, 2 περισφάτως ἔχων adesp. 333. Ἅιδην δ' ἔχων βοηθὸν οὐ τρέμω σκιάς adesp. 370. στείχει πολίταις ὄμμ' ἔχων ἰδεῖν πικρόν adesp. 415. τραύματ' ἐξόπισθ' ἔχων adesp. 450. Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον Aesch. 463. ἢ τὰς ἀρύστεις ὧδ' ἔχουσ' ἐκώμασας Soph. 697, 2. ὡς ἔλθῃ θεὰ χρυσῆν ἔχουσα Γοργόν' ἐπίκουρος πόλει Eur. 351, 2. Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας χθονὸς ἐν ἀντιπόρθμοις πεδί' ἔχουσ' εὐδαίμονα Eur. 515, 2. ἥτις πονηρὰ τἄργ' ἔχουσ' ‹εἶτ'› εὖ λέγεις Eur. 528, 2. Ἀρκὰς Ἀταλάντη, κύνας καὶ τόξ' ἔχουσα Eur. 530, 5. ἀλλ' ἡμέρας ἢ νυκτὸς ἡ Δίκη ποτὲ τῷ δυσσεβοῦντι σῖγ' ἔχουσ' ἐνήλατο adesp. 486, 4. ἢ πῶς δίκαιόν ἐστιν ἢ καλῶς ἔχον τῶν μὲν ἀγαθῶν με τὸ μέρος - λαβεῖν, τοῦ συναπορηθῆναι δὲ μὴ λαβεῖν μέρος Eur. 953, 24. τὸ γὰρ πρᾶγμ' αὐτό μοι καλῶς ἔχον καλοὺς παρασχεῖν τοὺς λόγους δυνήσεται adesp. 553. νοῦν ἔχοντος ‹ἦν ἄρα› φίλον πρίασθαι χρημάτων πολλῶν

σαφῆ Eur. 934. γαίας Λακαίνης - ἀρετὴν ἐχούσης μείζον' ἢ λόγῳ φράσαι Eur. 1083, 10. γνώμην δ' ἔχοντά μ' ἡ φύσις βιάζεται Eur. 840, 2. ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις Eur. 941, 2. τὴν μὲν εὑρήσεις κακήν, τὴν δ' ὥσπερ αὕτη λῆμ' ἔχουσαν εὐγενές Eur. 657, 4. σεμνὰ Κοτυτοῦς ὄργι' ἔχοντες Aesch. 57. ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις Aesch. 462. φίλων τοιούτων οἱ μὲν ἐστερημένοι χαίρουσιν, οἱ δ' ἔχοντες εὔχονται φυγεῖν Soph. 779, 2. ὦ παγκάκιστοι καὶ τὸ δοῦλον οὐ λόγῳ ἔχοντες, ἀλλὰ τῇ τύχῃ κεκτημένοι Eur. 57, 2. μαχοῦνται πολεμίοισιν ἐν χεροῖν δίσκους ἔχοντες Eur. 282, 20. σκέψασθε δ' αὐτοί, μὴ ἐπὶ τοῖς ἐμοῖς λόγοις γνώμην ἔχοντες Eur. 286, 5. οἱ δ' ἔχοντες ὄλβιοι Eur. 326, 8. σπουδάζομεν δὲ πόλλ' ὑπ' ἐλπίδων, μάτην πόνους ἔχοντες Eur. 391, 3. οἱ τὰς τέχνας δ' ἔχοντες ἀθλιώτεροι τῆς φαυλότητος Eur. 635. τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει. κοινὸν δ' ἔχοντες αὐτὸ κοινὰ πάσχομεν πάντες Eur. 733, 2. οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν ποθεῖτ' ἔχοντες μυρίων ἄχθος κακῶν Eur. 816, 8. θεοὶ χθόνιοι ζοφερὰν ἀδίαυλον ἔχοντες ἕδραν Eur. 868, 2. ἃ δ' Ἑλλὰς Ἀσία τ' ἐκτρέφει κάλλιστα, γῆν δέλεαρ ἔχοντες ‹τήνδε› συνθηρεύομεν Eur. 981, 5. (cf. χέω.) ἄδην δ' ἐλαίου στέρνα - χρίουσιν, ὡς ἔχοντες οἰκοθεν τρυφήν Ach. 4, 5 p. 747. τὰ τῶν ἐχόντων χρήμαθ' ἁρπάζειν βίᾳ Eur. 389, 3. τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι Eur. 462, 2. νοσεῖν τίθησι τὰς ἀμεινόνων φρένας, παράδειγμ' *ἐχόντων τὴν κακῶν ἐξουσίαν Eur. 644, 3. ἐν τοῖς δ' ἔχουσιν † ἡβητὴς πέφυχ' ὅδε Eur. 322, 5. ὦ γῆρας, οἷον τοῖς ἔχουσιν εἶ κακόν Eur. 805. ὅλοιθ' ὁ τοῖς ἔχουσι τἀγαθὰ φθονῶν Agath. 23 p. 768. αὐτὸς πενόμενος τοῖς ἔχουσι (al. τοῖς εὐτυχοῦσι) μὴ φθόνει Dionys. 8 p. 795. λύπη γὰρ ὀργή τ' εἰς ἕνα ψυχῆς τόπον ἐλθόντα μανία τοῖς ἔχουσι γίγνεται Cleaen. 2, 2 p. 807. ἔχοντας (?) εὐζώνους ἔστασαν ἱματίων ἐπιζώστρας Soph. 318. κοὐ δεῖ τύραννα‹ σκῆπτρα καὶ θρόνους λαβεῖν› πρεσβεῖ' ἔχοντ‹ας δυσγενεῖς τῶν εὐγενῶν› Eur. 495, 21. κἂν ταῦτ' ἀληθῆ καὶ σαφῶς ἔχοντ' ἴδῃ Eur. 1132, 42. ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα Soph. 103, 7. οὔτε γὰρ γάμον - οὔτ' ἂν ὄλβον ἔκμετρον ἔνδον εὐξαίμαν ἔχειν Soph. 327, 3. καὶ ταῦτα - χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν Soph. 524, 12. ἐμοὶ δὲ λῷστον αἷμα ταύρειον πιεῖν καὶ μή γε πλείω τῶνδ' ἔχειν δυσφημίας Soph. 663, 2. καὶ τὰς τελευτὰς εἰκὸς ἐσθ' οὕτως ἔχειν Soph. 747, 2. πλείστη γὰρ ἀρετὴ τοῦθ' ὑπάρχον ἐν βίῳ, τὴν ἀξίωσιν τῶν καλῶν τὸ σῶμ' ἔχειν Eur. 15, 4. οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά, ἀλλ' ἔστι τις σύγκρασις ὥστ' ἔχειν καλῶς Eur. 21, 4. χρυσὸν μάλιστα βούλομαι δόμοις ἔχειν Eur. 142. νόσον ἔχειν Eur. 226. κἂν σμίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομιζέτω Eur. 275, 4. (cf. τρέφω.) πρῶτον φρένας μὲν ἠπίους ἔχειν χρεών Eur. 362, 6. ἔχειν δὲ πειρῶ· τοῦτο

γὰρ τό τ' εὐγενές καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν Eur. 362, 14. 15. χρῆν γὰρ τὸν εὐτυχοῦνθ' ὅπως πλείστας ἔχειν γυναῖκας Eur. 402, 2. (cf. ἄγω.) ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ' ἀνήρ Eur. 425. φεῦ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνήν Eur. 439. ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν Eur. 603, 3. δόξαν ‹δὲ› βουλοίμην ἂν εὐκλείας ἔχειν Eur. 659, 10. ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν Eur. 718. τὸ γὰρ ἔχειν πλέον κρατεῖ τῆς εὐσεβείας Eur. 736, 4. χρὴ - πειθὼ - τοῖς μὲν σώφροσιν πολλὴν ἔχειν Eur. 759, 3. ἔχειν χρὴ στόμ' ἐν ἡσυχίᾳ Eur. 773, 61. οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν ἀθάνατον Eur. 799, 2. τοὺς νεανίας χρεὼν - ἐν σιδήρῳ κἀν ὅπλοις τιμὰς ἔχειν Eur. 880, 2. οὐκ ἀρκεῖ μίαν ψυχὴν ἀλύειν κἀπὶ τῇδ' ἔχειν πόνους Eur. 908, 8. ἡδὺ δέ - συσκυθρωπάζειν πόσει ἄλοχον ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν μέρος Eur. 909, 10. λέκτρα αὐτοῖς καλῶς ἔχειν Eur. 1058. ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ' ἔχειν Eur. 1060. σοφῆς δὲ πενίας σκαιότητα πλουσίαν κρεῖσσον σύνοικόν ἐστιν ἐν δόμοις ἔχειν Crit. 5, 2 p. 774. βούλου γονῆς πρώτιστον ἐν τιμαῖς ἔχειν Chaer. 34 p. 790. ἔργῳ νόμιζε νεβρίδ' ἔχειν ἐπενδύτην Thesp. 1 p. 832. τοὺς εὖ γεγονότας - κἀν τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας adesp. 545, 2. ἐγὼ γὰρ ἕξω (?) λέκτρα αὐτοῖς καλῶς ἔχειν Eur. 1058. ἑλέσθαι δ' οὔτιν' ἐκ γαίας λίθον ἕξεις Aesch. 199, 5. ταῦτα δρῶν κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί Eur. 853, 4. λίαν φιλῶν σεαυτὸν οὐχ ἕξεις φίλον adesp. 316. Ἀδριαναί τε γυναῖκες τρόπον ἕξουσι γόων Aesch. 71. οὐ χρή ποτ' ὀρθαῖς ἐν τύχαις βεβηκότα ἕξειν τὸν αὐτὸν δαίμον' εἰς ἀεὶ δοκεῖν Eur. 1073, 2. ὃς εἶχε πώλους τέσσαρας ζυγηφόρους Aesch. 326. τῶν μὲν ἀγαθῶν με τὸ μέρος ὧν εἶχεν λαβεῖν Eur. 953, 25. ὡς - κάλλος εἶχεν ἔξοχον καθ' Ἑλλάδα Eur. 1132, 26. οὐ χρυσός - οὐ πλούτου χλιδὴ τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονάς Apollon. 1, 3 p. 825. εἰ νοῦν εἶχ' ἐμ' ὁ σπείρας πατήρ adesp. 546. ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα Eur. 321, 4. ὡς δ' οὐκ ἐφαινόμεσθα, σῖγα δ' εἴχομεν Eur. 495, 2. ‹κοῦφον› πόδ' ἄλλος ἄλλοσ' εἴχομεν φυγῇ Eur. 495, 33. κόμαισιν - εὐανθῆ ῥόδα εἶχον Chaer. 13, 2 p. 786. θηρσὶν διαίτας εἶχον ἐμφερεῖς βροτοί Mosch. 6, 4 p. 813. τοὺς δ' ὄλβος ἡμῶν, τοὺς δὲ δουλείας.. ζυγὸν ἔσχ' ἀνάγκας Soph. 532, 6. ὄλβιος ὅστις τῆς ἱστορίας ἔσχε μάθησιν Eur. 910, 2. πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας τιμὰς ἰὼν οὐκ ἔσχεν ὄγκον ὥστε καὶ δόξης τυχεῖν Chaer. 36, 2 p. 790. κακὸς δ' ἀνὴρ σιγηλὸν ἔσχε ζῶν τε καὶ θανὼν βίον Zenod. 1, 2 p. 831. ἦν γὰρ πέσῃ τις ἐξ ἐλάσσονος μέτρου, εὐπερικάλυπτον ἔσχε τὴν δυσπραξίαν adesp. 547, 10. ἴδιον οὐδὲν ἔσχομεν Eur. 52, 6. ἐπώνυμον - ἔσχομεν κλέος, Κούρητες εἶναι Agath. 3, 3 p. 763. καὶ καμίνου σχῶσι μάκιστον σέλας Aesch. 281. μηδ' ἀθυμία σχέθῃ τις ὑμᾶς (σκεθρήν τις ὑμῶν ll.) Eur. 87, 2. κατεύχομαι κακὰ αὐτοῖσιν ἀντὶ

τῶνδε δὶς τόσα σχεθεῖν adesp. 458, 13. τοῦ γε κερδαίνειν ὅμως ἀπριξ ἔχονται Soph. 328, 4. τοῦ δὲ κερδαίνειν ἔχου Soph. 25, 3. ἐλπίδος κεδνῆς ἔχου Eur. 409, 2. οὗτος δ' ἔρωτι παιδὸς ἄρσενος σχεθεὶς Πυθῶδ' ἀφῖκτο Eur. 1132, 6.

ἑψία Soph. 3.

† ἑψιοῦσα: βιοτὴν αὔξιμον ἑψιοῦσα Aesch. 51.

ἕψω: ἕψου, μηδὲ λυπηθῇς πυρί Aesch. 310, 2.

ἑῶ: ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν Eur. 141. τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι Eur. 507. ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτε πλεῖν ἐᾷ Aesch. 250. ἀλλ' ἢ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ Eur. 23. τὰ μὲν κατ' οἴκους ἀμελίᾳ παρεὶς *ἐᾷ Eur. 187, 2. ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακὰ δέλτος διαιρεῖ, κοὐκ ἐᾷ ψευδῆ λέγειν Eur. 578, 9. τὰ Πυθοῖ δ' οὐκ ἐᾷ με γράμματα Eur. 923, 2. τῶν ἄγαν γὰρ ἅπτεται θεός, τὰ μικρὰ δ' εἰς τύχην ἀφεὶς ἐᾷ Eur. 974, 2. ὅλως τὸ κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα Chaer. 30 p. 789. τὰ μικρὰ δ' ἄλλοις δαίμοσιν παρεὶς ἐᾷ adesp. 353, 2. ἔα με κερδαίνοντα κεκλῆσθαι κακόν adesp. 181. τὸν νόμον χαίρειν ἐῶν πρὸς τὴν δίκην ἄγουμ' ἄν Eur. 1049, 2. Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα adesp. 378. χρῆν δὲ τοῖς βροτοῖσι τόνδ' εἶναι νόμον τῶν εὐσεβούντων - ἐρᾶν, Κύπριν δὲ τὴν Διὸς χαίρειν ἐᾶν Eur. 388, 5. τοιάνδε χρὴ γυναικὶ πρόσπολον † ἐᾶν Eur. 410. οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ δοῦναι χαλινοὺς οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν Eur. 463, 2. ᾧ γὰρ θεοὶ διδῶσι μὴ φῦναι τέκνα, οὐ χρὴ μάχεσθαι πρὸς τὸ θεῖον, ἀλλ' ἐᾶν Eur. 491, 5. αἰσχρὸν σιωπᾶν, βαρβάρους δ' ἐᾶν λέγειν Eur. 796, 2. τοὺς θανόντας ὥρισεν νόμος τύμβοις καλύπτειν - μηδ' ἐν ὀφθαλμοῖς ἐᾶν τῆς πρόσθε θοίνης μνημόνευμα δυσσεβοῦς Mosch. 6, 32 p. 814. οὐ γάρ ποτ' εἴων Σθένελον εἰς τὸν εὐτυχῆ χωροῦντα τοῖχον τῆς δίκης ἀποστρεῖν Eur. 89. ἔασον Ἀχοῖ με σὺν φίλαισιν γόου κόρον λαβεῖν Eur. 118, 2.

ἑωθινός: ἑωθινὸς γάρ - θαλλὸν χιμαίραις προσφέρων νεοσπάλα εἶδον στρατὸν στείχοντα Soph. 461.

ἕωλος: † ἕωλον Soph. 179, 2.

ἑῷος: ἑῷος ἡνίχ' ἱππότης ἐξέλαμψεν ἀστήρ Eur. 929. cf. Eur. 486.

ἕως: εἶσι λαμπρὸν ἡλίου φάος, ἕως ἐγείρω πρευμενεῖς τοὺς νυμφίους Aesch. 43, 2. ἕως ἀπώλεσέν τε καὐτὸς ἐξαπώλετο Soph. 215. παιδεύματα προσλαμβάνειν δὲ δεῖ καθ' ἡμέραν ἀεί, ἕως ἄν ἐξῇ μανθάνειν βελτίονα Soph. 1019, 5. — ἕως ὅτου κριθώσης ὄνου (?) Soph. 792.

ἕως: πρῶτα μὲν λαμπρᾶς ἕω κεκλημάτωται χλωρὸν οἰνάνθης δέμας Soph. 234, 3. ὁ τὴν ἕω καλῶν κατέλαβεν ὄρνις Lycophr. 4 p. 818. — Μέροπι τῆσδ' ἄνακτι γῆς - καλοῦσι δ' αὐτὴν γείτονες μελάμβροτοι Ἕω φαεννὰς Ἡλίου θ' ἱπποστάσεις Eur. 771, 5. cf. Aesch. p. 88.

Z.

Ζαγρεύς Aesch. 5. νυκτιπόλου Ζαγρέως βροντὰς τοὺς ὠμοφάγους δαίτας τελέσας Eur. 472, 11. Ζαγρεῖ τε νῦν με καὶ πολυξένῳ.. χαίρειν Aesch. 228.

ζάθεος: τὴν αἰπεινὴν ζαθέαν Ὤλενον Aesch. 284. ἐκ ζαθέων πιθακνῶν ἀφύσαντες ὄλπαις οἶνον - κελαρύζετε Ion. 10 p. 734. ἥκω ζαθέους ναοὺς προλιπών Eur. 472, 4.

ζάπλουτος: ὁ μὲν ζάπλουτος, εἰς γένος δ' οὐκ εὐτυχής Eur. 285, 6.

ζευγηλάτης Soph. 559.

ζευγηλατρίς: ποππύζεται ζευγηλατρὶς Soph. 794.

ζεῦγλα: πλουτῶν ὑπ' ἄτης ζεῦγλαν ἀσχάλλει πεσών Eur. 285, 10. ζεύγλας Eur. 685.

ζεύγνυμι: ζευγνὺς ἁρμονίᾳ πολύκαρπον ὄχημα Eur. 943, 2. ἐπειδὰν εὐῤῥόνη ζεύξῃ μία Soph. 524, 11. Ξέρξης βαθὺν ζεύξας θαλάσσης αὐχέν' Ἑλλησποντίας adesp. 372, 3. κακὸν γυναῖκα πρὸς νέαν ζεῦξαι νέον Eur. 24. παῖδ' ὑμεναίοις - θέλων ζεῦξαι νύμφης τε λεπάδνοις Eur. 773, 65. κακὸν γυναῖκα πρὸς νέον ζεῦξαι νέαν Eur. 914. αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις Eur. 595. ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος Hippoth. 3 p. 828. παίδων δ' *ἐζύγην ξυνάονι Aesch. 99, 6. γυνὴ - ἡ ζυγεῖσα δευτέρῳ πατρί Eur. 4, 2.

ζεῦγος: ζεῦγος τέθριππον Aesch. 346. ζεῦγος τριπάρθενον Eur. 357. ὅδε - βασιλεὺς πρὸ δόμων κῆρύξ τε - καὶ παῖς Φαέθων βαίνουσι, τριπλοῦν ζεῦγος Eur. 773, 61.

ζευκτήριος: πάτερ Θέοινε, μαινάδων ζευκτήριε Aesch. 382.

ζευξίλεως Soph. 129.

Ζεύς: σεμνοὺς Παλικοὺς Ζεὺς ἐφίεται καλεῖν Aesch. 6, 2. Ζεύς ἐστιν αἰθήρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ' οὐρανός, Ζεύς τοι τὰ πάντα χὠτι τῶνδ' ὑπέρτερον Aesch. 70, 1. 2. ταῦτα γὰρ πατὴρ Ζεὺς ἐγκαθίει Λοξίᾳ θεσπίσματα Aesch. 86, 2. τοιόνδε μὲν Ζεὺς κλέμμα πρεσβύτου πατρὸς αὐτοῦ μένων ἄμοχθον ἤνυσεν λαβεῖν Aesch. 99, 2. ἰδὼν δ' ἀμηχανοῦντά σ' ὁ Ζεὺς οἰκτιρεῖ Aesch. 199, 6. Ζεὺς ὃς κατέκτα τοῦτον Aesch. 221. πρὶν ἂν σταλαγμοῖς αἵματος - αὐτὸς σε χράνῃ Ζεύς Aesch. 327, 2. Δωδῶνι ναίων Ζεὺς ὁ νάιος βροτῶν Soph. 417. ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι Soph. 481, 3. ᾧ καὶ Ζεὺς ἐφορμήσῃ κακά Soph. 619, 2. Ζεὺς ἐμὸς ἄρχων Soph. 688, 3. Ζεὺς νόστον (?) ἄγοι τὸν νικομάχαν Soph. 801. ἤδη γὰρ ἕδρᾳ Ζεὺς ἐν ἐσχάτῃ θεῶν Soph. 821. τὴν τοῦδε γάρ τοι Ζεὺς ἔγημε μητέρα Soph. 1026. τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει Ζεύς Eur. 431, 5. Ζεὺς ὅστις ὁ Ζεύς Eur. 480. Ζεύς - Ἕλλην' ἔτικτεν Eur. 481. ἐμῇ γὰρ ἦλθε μητρὶ κεδνὸν εἰς λέχος Ζεύς Eur. 591, 4. ἢ Ζεὺς ὁ λῷστος μηδὲν ἔνδικον φρονεῖ Eur. 832, 3. αἰθὴρ - Ζεὺς ὃς ἀνθρώποις ὀνομάζεται Eur. 877, 2. εἴπερ ἔστ' ἐν οὐρανῷ Ζεύς Eur.

900, 2. Ζεὺς εἴτ' Ἀΐδης ὀνομαζόμενος στέργεις Eur. 912, 2. ἀλλ' ἔστι - Ζεὺς καὶ θεοὶ βρότεια λεύσσοντες πάθη Eur. 991, 2. Ζεὺς συγγένειος Eur. 1000. Ζεὺς γὰρ - ταῦτ' ἐβούλευσεν πατήρ Eur. 1082. Ζεὺς ἐν θεοῖσι μάντις ἀψευδέστατος Eur. 1110. φίλτροις ἀφύκτοις Ζεὺς κατασχεθεὶς πατὴρ εὐνῇ συνελθεῖν λάθρᾳ πως ἠβούλετο Eur. 1132, 27. ἔργον δ' ὅσον Ζεὺς μόνος ἐπίσταται θεῶν Ion. 55, 2 p. 743. ὁρᾷς ὅτι Ζεὺς τῷδε πρωτεύει θεῶν Thesp. 3 p. 833. ὡς Ζεὺς οἶδεν adesp. 132. Ζεὺς - τὰ μὲν μέγιστα φροντίζει βροτῶν adesp. 353. Ζεὺς κατείδε χρόνιος εἰς τὰς διφθέρας adesp. 446. Ζεὺς ὁ καὶ ζωῆς καὶ θανάτου πείρατα νωμῶν adesp. 472. Ζεὺς ἔσθ' ὁ πέμπων τὴν ἐφήμερον τροφήν adesp. 476. πάντα βροτοῖς Ζεὺς ἐπικάρσια τέμνει adesp. 482, 3. ἀμφὶ Κηναίου Διὸς ἀκτήν Aesch. 30. λοιβὰς Διὸς μὲν πρῶτον ὡραίου γάμου Aesch. 55. τρίτον Διὸς σωτῆρος εὐκταίαν λίβα Aesch. 55, 4. ὧν κατ' Ἰδαῖον πάγον Διὸς πατρῴου βωμός ἐστ' ἐν αἰθέρι Aesch. 162, 3. ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ Aesch. 384, 2. ἐν Διὸς κήποις Soph. 297. μηροῖς ὑπαίθων τὴν Διὸς τυραννίδα Soph. 320. Ζεῦ παυσίλυπε καὶ Διὸς σωτηρίου σπονδὴ τρίτου κρατῆρος Soph. 392. πῶς δῆτ' ἔγωγ' ἂν - Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος Soph. 481, 7. οὐκ ἔστιν πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων ταμίας Soph. 531, 3. οἳ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς λίκνοισι προστρέπεσθε Soph. 760, 2. ὁ σκηπτροβάμων αἰετός, κύων Διός Soph. 799. ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι Soph. 809. ὡς ἂν Διὸς μέτωπον ἐκταθῇ χαρᾷ Soph. 816. Διὸς τυραννεῖ πλευμόνων Soph. 855, 15. οὐδὲ θεοῖς αὐθαίρετα πάντα πέλονται, νόσφι Διός Soph. 1028, 2. Ἕλλην γάρ, ὡς λέγουσι, γίγνεται Διός Eur. 14. τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διός (al. χρόνου) Eur. 151. Κύπριν δὲ τὴν Διὸς χαίρειν ἐᾶν Eur. 388, 5. ἐξ οὗ Διὸς Ἰδαίου μύστης γενόμην Eur. 472, 10. ὄμνυμι δ' ἱερὸν αἰθέρ', οἴκησιν Διός Eur. 487. κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς γράφειν τιν' αὐτά Eur. 506, 2. οὐδ' ὁ πᾶς ἂν οὐρανὸς Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας ἐξαρκέσειεν Eur. 506, 5. θεῶν - πάντων πατρὸς ἐξέφυν Διός Eur. 591, 2. ὦ μοῖραι Διός Eur. 620 (v. add. p. XX). τὰν Διὸς οὐρανίαν ἀείδομεν τὰν ἐρώτων πότνιαν Eur. 781, 15. κεραύνιαί τ' ἐκ Διὸς - πλαγαί Eur. 781, 68. Γαῖα μεγίστη καὶ Διὸς Αἰθήρ Eur. 839. σκῆπτρον τὸ Διὸς μεταχειρίζεις Eur. 912, 7. ἱερὸν ἀνὰ Διὸς αἰθέρα Eur. 985. Ἥλιος ἡ Διὸς γείτων Eur. 1083, 13. μύθους Δανάῃ - ἄγων ἐκ Διός Eur. 1132, 46. Διὸς ἀπωτάτω κεῖται καλὸς θησαυρός adesp. 130, 5. ὥσπερ ὀφθαλμὸς Διός adesp. 278. οὐχ εὕδει Διὸς ὀφθαλμός adesp. 485. ἐλευθερία Διὸς ὄλβιον τέκος adesp. 555. ἡ βία δὲ σύνθρονος Διί Mosch. 6, 16 p. 814. καταιδέσθητι πατρῷον Δία adesp. 59. Ζεῦ παυσίλυπε Soph. 392. μὴ ψεῦσον, ὦ Ζεῦ Soph. 453. ὃ μὴ γένοιτο, Ζεῦ φίλε Eur. 953, 28. ὦ Ζεῦ, τί χρὴ γυναῖκας ἐξειπεῖν κακόν Carc. 3 p. 798. ὦ Ζεῦ πανόπτα

καὶ κατόπτα πανταχοῦ adesp. 43. Ἑλλάνιε Ζεῦ adesp. 56. ὦ Ζεῦ, γενέσθαι τῆσδέ μ' ἐξάντη νόσου adesp. 151. ὦ Ζεῦ, γένοιτο καταβαλεῖν τὸν σὸν ἐμέ adesp. 188. ὦ Ζεῦ, τίς εἶναι φησὶ σοῦ σοφώτερος adesp. 351. cf. Aesch. 7. 35. Ἡρομ. λυόμ. 193. Ψυχοστ. 343. 344. 368. Soph. 23. 253. 292. Eur. Ἀντιόπη. Δανάη. Κρῆτες. Μυσοί. Philisc. 2 p. 819. •adesp. 146. — cf. Ζήν.

Ζῆθος: τὸν μὲν κίκλησκε Ζῆθον Eur. 181. Ζῆθον μὲν ἐλθόνθ' ἁγνὸν ἐς Θήβης πέδον οἰκεῖν κελεύω Eur. 224.

ζῆλος: ζῆλός μοι σέθεν ὡς χρονίζεις Eur. 453, 3. ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον adesp. 311. πλοῦτος - μέγιστον ζῆλον ἐν βροτοῖς ἔχει Carc. 10, 2 p. 800.

ζηλῶ: πολλά σε ζηλῶ βίου Soph. 525. ζηλῶ Soph. 640.

ζηλωτός: ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως ζηλωτὸς ἀνθρώποισιν Eur. 672, 2. τόδ' ἐστὶ τὸ ζηλωτὸν ἀνθρώποις adesp. 354.

ζημία: γῆρας - οὐ μὴ τυχόντι θάνατός ἐσθ' ἡ ζημία Crat. 3, 2 p. 810. ζημίαν λαβεῖν ἄμεινόν ἐστιν ἢ κέρδος κακόν Soph. 738. πέμπειν ἑκάστῳ ζημίαν Eur. 506, 7. οὐκ ἐγγυῶμαι, ζημίαν ὁρῶν σκοπῶν Eur. 923. ζημίαν γὰρ οὐκ ἔχει Eur. 978, 5.

ζημιῶ: ἐζημιοῦτο δ' εἴ τις ἐξαμαρτάνοι Crit. 1, 8 p. 771.

Ζήν: οἱ θεῶν ἀγχίσποροι οἱ Ζηνὸς ἐγγύς Aesch. 162, 2. Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ Aesch. 383. Θρῇσσαν σκοπιὰν Ζηνὸς Ἄθῳου Soph. 216. μαχέλλῃ Ζηνὸς ἐξαναστραφῇ Soph. 659. οὐδ' ἂν πρὸς αὐλὰς Ζηνὸς ἐκφύγοι μολών Soph. 865, 4. ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ Eur. 312. κἂν ἀμείνονος πατρὸς Ζηνὸς πεφύκῃ Eur. 336, 4. τέκνον Εὐρώπης καὶ τοῦ μεγάλου Ζηνός (Ζανός Il.) Eur. 472, 2. ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος Παλλάς Eur. 1109. λῆξαι τῆς - Ζηνὸς θυσίας Ach. 2, 4 p. 746. Ζηνὸς ἑρκείου adesp. 71. ὦ Ζηνὸς καὶ Λήδας κάλλιστοι σωτῆρες adesp. 139. ὦ παῖ Ζηνός adesp. 561. βάσομαί τ' εἰς αἰθέριον πόλον ἀρθεὶς Ζηνὶ προσμείξων Eur. 911, 4. οὐδὲ γὰρ λάθρᾳ δοκῶ - σοὶ *Ζῆν' ἐς εὐνὴν ὥσπερ ἄνθρωπον μολεῖν Eur. 210, 3. Ζῆνα δ' εἰσορῶντά νιν θνητοῖς δικάζειν Eur. 506, 3. ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα - τοῦτον νόμιζε Ζῆνα Eur. 941, 3.

ζητῶ: τὰ δ' εὑρετὰ ζητῶ Soph. 759, 2. ὅστις εἰδέναι τὰ τῶν θεῶν ζητεῖ Ioph. 2, 3 p. 761. πολλοί γε θνητῶν - τὰς συμφορὰς ζητοῦσ' ἀμαυροῦν Eur. 416, 2. οἳ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ - ζητοῦσιν Eur. 659, 8. ἰδίας ὁδοὺς ζητοῦσι φιλόπονοι φύσεις Agath. 21 p. 767. ζητῶμεν Eur. 277, 2. μηδὲ σὺ ζήτει πυθέσθαι adesp. 329. οὐκ ἔστιν ὅστις ἡδέως ζητῶν βιοῦν εὔκλειαν εἰσεκτήσατο Eur. 238. ζητῶν τὰ πλείον', εἶτα πάντ' ἀπώλεσεν Eur. 417, 4. ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος adesp. 526. κεἰ τοῦτον οἱ ζητοῦντες εἰσὶ μυρίοι Astyd. 8, 5 p. 780. οὐκ ἔστιν οὐδὲν - ὅτι οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται Chaer. 21, 2 p. 788. τότε σε χρὴν ζητεῖν

ἐμοὶ ἄνδρα Eur. 953, 34. ἐζήτησε γὰρ τόκοισιν εὐμάρειαν ἡ τεκοῦσά νιν Eur. 181.

ζόη: οὐδὲν γὰρ ἄλγος οἷον ἡ πολλὴ *ζόη Soph. 512. πικρὰ γὰρ κοὐδιὰ ζόης ἀτμοί Aesch. 206, 2. τὰν γὰρ ἀνθρώπου ζόαν - ἄται - μεταλλάσσουσιν Soph. 533. οὐκ ἐν αὐγαῖς ταῖς ἐμαῖς ζόας (?) ἔχει Aesch. 99, 13. cf. ζωή.

ζοφερός: θεοὶ χθόνιοι ζοφερὰν - ἔχοντες ἕδραν Eur. 868, 2.

731. ἔργον δ' ὅσον Ζεὺς μόνος ἐπίσταται θεῶν Ion. 55, 2 p. 743. θαλλούς τε θεῶν γέρας Ach. 2, 2 p. 746. ὅστις εἰδέναι τὰ τῶν θεῶν ζητεῖ Ioph. 2, 2 p. 761. θεῶν ὑμνῳδὸν ἰατρόν θ' ἅμα Diog. Ath. 1, 5 p. 776. θεῶν - ἄξειν βίοτον, οὐ θνητῶν δοκεῖς Dionys. 2, 3 p. 793. ἀπὸ τῶν θεῶν ἀρχὴν δὲ ποιεῖσθαι πρέπον Theod. 7 p. 804. ὦ καὶ θεῶν κρατοῦσα καὶ θνητῶν μόνη μοῖρα Mosch. 2 p. 812. ὁρᾷς ὅτι Ζεὺς τῷδε πρωτεύει θεῶν Thesp. 3 p. 833. ὦ μῶρε μῶρε, μὴ θεῶν κίνει φρένας adesp. 48. πῶς οὖν τάδ' εἰσορῶντες - θεῶν γένος εἶναι λέγωμεν adesp. 99. σέβοντα τοὺς θεῶν νόμους adesp. 181, 2. θεῶν ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν adesp. 313. τίς καλλίκαρπον θύρσον ἀνασείει θεῶν adesp. 406. ὀξὺς θεῶν ὀφθαλμὸς εἰς τὰ πάντ' ἰδεῖν adesp. 491. τὸ δὲ θεῶν κράτος μέγα κατ' ἀνθρώπους adesp. 499. πάντων τύραννος ἡ τύχη ἐστὶ τῶν θεῶν adesp. 506. αὔρα, θεῶν ὄχημα τιμιώτατον adesp. 565. κρεῖσσον θεοῖς γὰρ ἢ βροτοῖς χάριν φέρειν Soph. 208. ὅταν μεταστῇ καὶ θεοῖς δοκῇ τάδε Soph. 588, 6. ἐτῆρας ἀμνοὺς θεοῖς ἔρεξ' ἐπακτίοις Soph. 685. ἐν θηρσίν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω Soph. 855, 12. οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακῶν Soph. 860. οὐδὲ θεοῖς αὐθαίρετα πάντα πέλονται Soph. 1028. ταῦτα - δρῶν τίμιος † θεοῖς ἔσῃ Eur. 136, 5. εἴ τις ἀργὸς ὢν θεοῖς εὔχοιτο Eur. 286, 13. τοῦ γὰρ δικαίου κἀν βροτοῖσι κἀν θεοῖς ἀθάνατος ἀεὶ δόξα διατελεῖ Eur. 585. πᾶσι τοῖς κατὰ στόμα (?) θεοῖς χορεῦσαι Eur. 781, 34. ξυνπολοῦσα θεοῖς ἐκεῖσ' ἔχει φρένας Eur. 781, 56. παρὸν γε κἀξομοιοῦσθαι θεοῖς Eur. 794, 4. μήποτ' εἴην ἄλλο πλὴν θεοῖς φίλος Eur. 800. ὅδ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος Eur. 852, 2. μή μοι γένοιτο - συνθύτης τοῖς θεοῖς Eur. 852, 4. σὺ γὰρ ἓν τε θεοῖς τοῖς οὐρανίδαις σκῆπτρον τὸ Διὸς μεταχειρίζεις Eur. 912, 6. ὅταν τις εὐσεβῶν θύῃ θεοῖς Eur. 946. μὴ τεθυμῶσθαι θεοῖς Eur. 1078, 2. ἔδει γὰρ ἡμᾶς τοῖς θεοῖς (al. τῷ θεῷ) θύειν, ὅταν γυναῖκα κατορύττῃ τις Eur. 1112. ἐγάμησεν Ἑλένη τὸν θεοῖς στυγούμενον adesp. 194. εἰσορῶ - ⟨τοὺς⟩ θεοῖσι μικρὰ θύοντας τέλη τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους Eur. 327, 6. εἷς γάρ τις ἔστι κοινὸς ἀνθρώποις νόμος καὶ θεοῖσι τοῦτο δόξαν Eur. 346, 2. ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ στρατηλάτας χρή Eur. 352. εἰκ' ἀνάγκῃ καὶ θεοῖσι μὴ μάχου Eur. 716. ὁρᾶτε δ' ὡς κἀν θεοῖσι κερδαίνειν καλόν Eur. 794. Ζεὺς ἐν θεοῖσι μάντις ἀψευδέστατος Eur. 1110. πᾶν εὐμαρὲς θεοῖσι κοὐδαμῇ μακράν adesp. 11. μόνη γὰρ ἐν θεοῖσιν οὐ δεσπόζεται μοῖρα adesp. 503. εἰς θεοὺς ὁρῶντα, κἂν ἔξω δίκης χωρεῖν κελεύῃ, κεῖσ' ὁδοιπορεῖν χρεών Soph. 226, 2. φυλάσσεται φίλων τε μέμψιν κεἰς θεοὺς ἁμαρτάνειν Soph. 431, 3. οὐ - τίκτουσιν αἱ θνηταὶ θεούς Soph. 705, 2. νὴ τοὺς ἐν Ἄργει καὶ κατὰ Σπάρτην θεούς Soph. 871, 2. τὸ ῥᾷστον εἶπας, αἰτιάσασθαι θεούς Eur. 254, 2. φησίν τις εἶναι δῆτ' ἐν οὐρανῷ θεούς Eur. 286. πόλεις τε μικρὰς οἶδα τιμώσας θεούς Eur. 286, 10. ἦσθ' εἰς θεοὺς

μὲν εὐσεβής Eur. 311. (cf. δαίμων.) δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς πτεροῖσι Eur. 506. συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δόκει Eur. 645. τοῖς δὲ συμφοραὶ σκληραὶ πάρεισιν εὐσεβοῦσιν εἰς θεούς (al. πρὸς θεούς et πρὸς θεόν) Eur. 684, 3. ὅστις - οἴεται - κακόν τι πράσσων τοὺς θεοὺς (al. τὸν θεὸν) λελῆθέναι Eur. 835, 2. θεούς τε τιμᾶν τούς τε φύσαντας γονῆς Eur. 853, 2. *θεοὺς ἀρέσκου Eur. 948. οὐ τρέσας θεούς Eur. 1049, 3. πάντων ἄριστον μὴ βιάζεσθαι θεούς Eur. 1076. *θεοὺς θνητοῖσιν ἐξευρεῖν Crit. 1, 13 p. 771. τοῦτ' οὐχὶ λήσει τοὺς θεούς Crit. 1, 23 p. 771. ναίειν δ' ἔφασκε τοὺς θεοὺς ἐνταῦθα Crit. 1, 27 p. 771. ἀσκεῖν μὲν ἀρετήν, εὐτυχεῖν δ' αἰτεῖν θεούς Carc. 4 p. 799. πολλοὶ διὰ φόβον - θεοὺς ἂν ηὗξον Theod. 8, 6 p. 804. οὔτ' ἐν Καρίᾳ, μὰ τοὺς θεούς, οὔτ' ἐν Ῥόδῳ Lycophr. 1, 3 p. 817. θνητοὶ γεγῶτες μὴ φρονεῖθ' ὑπὲρ θεούς Demon. 1 p. 827. ὅστις ἐλπίζει θεοὺς ὀστῶν ἀσάρκων - χαίρειν ἀπαρχαῖς adesp. 118, 2. ἄμεινον οὐδεὶς κάματος εὐσεβεῖν θεούς adesp. 350, 2. δῶρα καὶ θεοὺς (al. σοφοὺς) παρήπαφεν adesp. 434. καὶ τἀμπλακήματ' ἔρχεται *θεοὺς ἔπι adesp. 481, 2. τὸ μὴ δίκαιον ἔργον οὐ λήθει θεούς adesp. 487. οὐδεὶς παρανομῶν πρὸς θεοὺς ἐχέγγυος adesp. 494. ὦ θεοί, τίς ἆρα Κύπρις - τοῦδε ξυνήψατο Soph. 790. ὦ θεοί, τίν' εἰς γῆν - ἀφίγμεθα Eur. 124. ὦ θεοί, μαρτύρομαι ἐγὼ τάδ' ὑμᾶς adesp. 458, 11. ἀλλ' ὦ θυρέτρων τῶνδε κωμῆται θεοί Ion. 37 p. 739. cf. Soph. 766. — τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός Eur. 898. ὁσίᾳ δ' ἀνάγκη πολεμιωτάτη θεός adesp. 501. δεῖμα προσπαίοντα ἀνταίας θεοῦ Soph. 311, 2. νῦν δ' ἐν πύλαισιν Αἰνέας ὁ τῆς θεοῦ πάρεστι Soph. 344. τίς οὐχὶ τῆσδε δεύτερος θεοῦ Soph. 855, 8. οὐκ ἔστι πενίας ἱερὸν αἰσχίστης θεοῦ Eur. 248. ὦ παῖ τῆς θαλασσίας θεοῦ Eur. 885. ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ Eur. 898, 6. Τρωλίαν θεὸν - Ἄρτεμιν σέβειν Diog. Ath. 1, 7 p. 777.

Θεόσπορος: γέμουσαν κύματος θεοσπόρου Eur. 106.

Θεοστυγής: κάτισχε λῆμα καὶ σθένος θεοστυγές Neophr. 2, 4 p. 731.

Θεοφιλής: εἰπὼν θεοφιλεῖς ἐμὰς τύχας Aesch. 350, 3. Ὑπέρεια κρήνη, νᾶμα θεοφιλέστατον Soph. 825, 2. cf. adesp. 145, 2.

Θεοφόρος: νίπτρα δὴ χρὴ θεοφόρων ποδῶν φέρειν Aesch. 225.

Θερίζω: ὄγμον θερίζει Sosith. 2, 10 p. 822. πυρὸν ἠκονημένῃ ἅρπῃ θερίζει Sosith. 2, 19 p. 822. ἀναγκαίως δ' ἔχει βίον θερίζειν ὥστε κάρπιμον στάχυν Eur. 757, 6. τῶν μὲν αὔξεται βίος, τῶν δὲ φθίνει τε καὶ θερίζεται (al. κἀκθερίζεται) πάλιν Eur. 415, 5. πώλου δίκην, ἥτις - θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο Soph. 598, 4.

Θεριστής: γελῶν θεριστὴν ὡς ἄνουν ἠρίστισεν Sosith. 2, 21 p. 822.

Θερμαίνομαι: θεὸς δ' ἐπὶ σμικροῖσιν οὐ θερμαίνεται adesp. 448.

Θερμόβουλος: ὦ θερμόβουλον σπλάγχνον Eur. 858.

Θερμός: θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς καίει τὰ πόρρω Eur. 772. δειναὶ δὲ ποταμῶν καὶ πυρὸς

θερμοῦ πνοαί Eur. 1059, 2. οὔτ' αὖ τεθρίππους ἡλίου θερμὴν ἄγαν Eur. 1083, 8. τὸ θερμὸν τοῦ ὁβελοῦ Soph. 744. πῶς οὖν πρόσειμι δῶμα *θερμὸν Ἡλίου Eur. 773, 5. ἵν' ὁ παντόπτας Ἥλιος - χρῶτ' ἀθάνατον κάματόν θ' ἵππων θερμαῖς ὕδατος - προχοαῖς ἀναπαύει Aesch. 192, 7. θερμά θ' ἡλίου τοξεύματ' αἰνεῖν adesp. 546, 7.

θέρμος: ὅ τ' ἀλιτήριος καὶ δημόκοινος ἐπεχόρευε δαψιλὴς θέρμος Lycophr. 2, 5 p. 817. οὐκ οἶσθα, πήρα δύναμιν ἡλίκην ἔχει θέρμων τε χοῖνιξ Crat. 2, 2 p. 810.

θέρος: πώλου δίκην, ἥτις - θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο Soph. 598, 4. ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος Eur. 419, 4. — δυσήλιον θέρος adesp. 340. πηλαμὺς - ὡραία θέρους τῷ Βοσπορίτῃ Soph. 462, 2. θέρους τε λαμπρὸν ἐκπέμπει σέλας χειμῶνά τ' αὔξει Eur. 330, 3. μετὰ θέρους Chaer. 41 p. 791. τοῦ ποτοῦ προύτεινεν ὡς ἂν ἐν θέρει πλέον Sosith. 2, 14 p. 822.

θέσμιον: προγόνων παλαιὰ θέσμι' ὅστις ἐκβαλεῖ Eur. 360, 45.

θεσμός: οὐκ οἶδ' ἀνάγκης θεσμόν Aristarch. 2, 2 p. 728. οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει Soph. 89.

θεσπίζω: ἄκραντα γάρ μ' ἔθηκε θεσπίζειν θεός adesp. 414.

θέσπισμα: ταῦτα γὰρ πατὴρ Ζεὺς ἐγκαθίει Λοξίᾳ θεσπίσματα Aesch. 86, 2.

θεσπιῳδός: τὰς θεσπιῳδοὺς ἱερέας Δωδωνίδας Soph. 418.

θεσπιῳδῶ: ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου adesp. 61.

θεσσαλικός: τρύχει καλυφθεὶς Θεσσαλικῆς ἁπληγίδος Soph. 709.

Θεσσαλίς: πᾶσα Θεσσαλὶς κόρη ψευδὴς σελήνης αἰθέρος καταιβάτις Sosiph. 1 p. 819.

Θεσσαλός: Αἶα Θεσσαλῶν παγκληρία Soph. 829. πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστα *Θεσσαλῶν Eur. 422.

Θέστιος: Ἀλθαίαν - Λήδας ὄμαιμον, Θεστίου δὲ παρθένον Eur. 515, 5. οἱ δὲ Θεστίου παῖδες Eur. 530, 6.

θέσφατον: τὸν θεὸν τοιοῦτον ἐξεπίσταμαι, σοφοῖς μὲν αἰνικτῆρα θεσφάτων ἀεί Soph. 704, 2.

Θέτις: τῇ παντομόρφῳ Θέτιδι συμπλακείς Soph. 561, 2. cf. Aesch. Προμ. λυόμ. Ψυχοστ. 350. Soph. 154. 155. Eur. 1093.

θετός: θετὸς υἱός Aesch. 320. θετῶν δὲ παίδων ποῦ κράτος Eur. 359.

θεῶμαι: νοῦν χρὴ θεᾶσθαι Eur. 548.

θεωρία: ἐνάλιος θεωρία Ach. 27, 2 p. 753.

θεωρίς: ῥίλη γὰρ ἡ Θεωρὶς Soph. 698.

θεωρός: βοᾷς τοιοῦδε πράγματος θεωρὸς ὤν Aesch. 289. ὁρῶ μὲν ἀνδρῶν τόνδε γυμνάδα στόλον στείχοντα † θεωρὸν ἐκ τρόχων πεπαυμένον Eur. 105, 2. πότερα θεωροῖς εἶτ' ἀγωνισταῖς λέγεις Ach. 3 p. 747.

Θῆβαι: πρὸ Θηβῶν Soph. 731, 5. Θήβας λέγεις μοι τὰς πύλας ἑπταστόμους Soph. 705. ὃθ' ἅρματ' εἰσέβαινεν εἰς Θήβας ἰών Eur. 69, 2. σὺ δ' ἀμφὶ Θήβας στεῖχε τὰς Καδμηίδας adesp. 177, 2. cf. Soph. Νιόβη.

Θηβαῖος: Ἀργεῖος ἢ Θηβαῖος adesp.

392. ἐδέξατο ῥαγεῖσα Θηβαία κόνις Soph. 873. Κάδμος - ἦλθε Θηβαίαν χθόνα Eur. 819, 2.

Θήβη: Ζῆθον μὲν ἐλθόνθ' ἁγνὸν ἐς Θήβης πέδον οἰκεῖν κελεύω Eur. 224.

θήγω: ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς ἐν χειρὶ † θήγει Soph. 808, 2. παρακελεύομαι δὲ σοὶ τεθηγμένῳ νῦν Theod. 9, 3 p. 804.

θηκτός: ἔριν θηκτῷ τερπομέναν σιδάρῳ Eur. 453, 12.

θηλαμών: σπένδω κναζζῖ τὸ λευκὸν ἀπὸ θηλαμόνων θλίψας κνακῶν Thesp. 4, 2 p. 833.

θηλάστρια Soph. 94.

θηλύνω: τὰ μητέρων δὲ δάκρυα - πολλοὺς ἐθήλυν' εἰς μάχην ὁρμωμένους Eur. 360, 29.

θῆλυς: θῆλυς μὲν αὐτός, ἄρσενας δ' ἐχθροὺς ἔχων Soph. 136, 2. θήλεια (νύξ?) Soph. 950. θήλεια δ' ἥβη θᾶσσον ἐκλείπει δέμας Eur. 24, 3. ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος πέφυκεν ἀνδρῶν Eur. 401, 2. ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος Eur. 493. θήλυδος Soph. 951. ἄλλης προσαμπέχουσα θῆλυν αὐχένα Chaer. 14, 8 p. 786. πρῶτα γὰρ θῆλυν σπορὰν φῦσαι δεήσει Eur. 1132, 12. λήθουσι γάρ τοι κἀνέμων διέξοδοι θήλειαν ὄρνιν Soph. 436, 2. τὸ δ' ἀσθενές μου καὶ τὸ θῆλυ σώματος κακῶς ἐμέμφθης Eur. 199. πλὴν τῆς τεκούσης θῆλυ πᾶν μισῶ γένος Eur. 498. μοχθοῦμεν ἄλλως θῆλυ φρουροῦντες γένος Eur. 1061. πρὸς θῆλυ νεύει μᾶλλον ἢ ἐπὶ τἄρσενα adesp. 355. εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θηλειῶν στάχυς ἄρσην Eur. 360, 22.

θηλύφρων: γυναικῶν θηλύφρων ξυνουσία adesp. 51.

θῆμα Soph. 498.

θήρ: κοίλοις ἐν ἄντροις ἄλυχνος, ὥστε θήρ, μόνος Eur. 421. στέργειν θ' ὑδρηλοῖς ὥστε θὴρ ἀεὶ ποτοῖς adesp. 546, 6. πρόβλημα θηρός Eur. 530, 2. χρυσωπὸν ἦν νώτισμα θηρός adesp. 541, 2. θῆρ' ἑλεῖν πρόθυμος ὢν Eur. 495, 4. οὐχ ἵνα κάνωσι θῆρα Antiph. 2 p. 792. τίκτει βοτάνην φῦλά τε θηρῶν Eur. 839, 5. ἐπὶ γὰρ Ὀρφείαις - ᾠδαῖς εἵπετο δένδρεα καὶ θηρῶν (θηρίων l.) ἀνόητα γένη adesp. 129, 8. θηρσὶν αὐτὸς γίνεται παρεμφερής Aesch. 464, 5. ἐν θηρσίν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω Soph. 855, 12. θεοῖσι τοῦτο δόξαν - θηρσίν τε πᾶσι, τέκνα τίκτουσιν φιλεῖν Eur. 346, 3. ἦν ποθ' ἡνίκα θηρσὶν διαίτας εἶχον ἐμφερεῖς βροτοί Mosch. 6, 4 p. 813. βίον διώκηθ' ὄντα πρὶν πεφυρμένον θηρσίν θ' ὅμοιον adesp. 470, 3. τίκτουσι πάντα - δένδρη, πετεινά, θῆρας Eur. 484, 5.

θήραγρος: θήραγρος πέδη Ion. 40, 3 p. 740.

θηρατήριος: τοίαν Πέλοψ ἴυγγα θηρατηρίαν ἔρωτος - ἔχει Soph. 433.

θηρεύω: τρυφῇ - ἄλλων ἐδεστῶν μηχανὰς θηρεύομεν (al. θηρώμεθα) Eur. 892, 5. μολπαῖσι δ' ἡσθεὶς τοῦτ' ἀεὶ θηρεύεται Eur. 187, 3. ἁλίσκεταί τε πάντα καὶ θηρεύεται Eur. 434, 3.

Θηρίμαχος (?) — Eur. 1016.

θηρίον: ἀνθρωποειδὲς θηρίον Aesch. 26. (cf. θήρ et κρείσσων.)

θηριώδης: ἦν χρόνος ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος καὶ θηριώδης Crit. 1, 2 p. 771.

θηροφόνος: ἤδη δ' εἰς ἔργα κυναγοὶ στείχουσιν θηροφόνοι Eur. 773, 32.

θηρῶ: σοὶ δ' εἶπον - τὰς τύχας ἐκ τῶν πόνων θηρᾶν Eur. 233, 2. (cf. θηρεύω.) ἡ δ' εὐλάβεια σκότον ἔχει - τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη Eur. 1052, 9. κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι Eur. 419, 2. *θηρώμεναι - λειμώνων τέκνα Chaer. 10, 3 p. 784. οἱ γὰρ Κύπριν φεύγοντες - νοσοῦσ' ὁμοίως τοῖς ἄγαν θηρωμένοις Eur. 428, 2.

θησαυρίζω: ἀμπέλου σπονδή τε καὶ ῥᾳξ εὖ τεθησαυρισμένη Soph. 366, 2.

θησαύρισμα: παῖδες - χρηστοὶ - δώμασιν καλόν τι θησαύρισμα Eur. 518, 4. οὐ - σὺ σώζῃ σεμνὰ *θησαυρίσματα χρυσοῦ Eur. 781, 44.

θησαυρός: Διὸς ἀπωτάτω κεῖται καλὸς θησαυρός adesp. 130, 6. ὅταν πυρὸς γέμοντα θησαυρὸν σχάσῃ χρυσωπὸς αἰθήρ Soph. 1027, 2.

Θησεύς: τὴν - ἐντεθραμμένην ἀστοῖς Ἀθάνας τῇ τε Θησέως πόλει - παρρησίαν Mosch. 4, 3 p. 813. Θησεῦ, παραινῶ σοὶ τὸ λῷστον Eur. 440. cf. Aesch. Ἐλευσίν. Soph. 819. Eur. Πειρίθ. 595. 964. Agath. 4 p. 764. Theod. 6 p. 803.

θίασος Ion. 32 p. 738.

θιγγάνω: μή μοι λεπτῶν θίγγανε μύθων Eur. 924. ὦ τέκνον μοι δὸς χέρ', ὡς θίγῃ πατρός Eur. 362, 32. οὔτε δαιτὸς οὔτε χέρνιβος θιγών Soph. 1026, 7. κεῖται δακεῖν τε καὶ θιγεῖν ἀμήχανος Ion. 38, 5 p. 739.

θινώδης: οὐδ' ἔτ' ἀντέχει θινῶδες ὡς ἄγκιστρον ἀγκύρας σάλῳ adesp. 379, 2.

θίς: θινὸς ἐμβολὰς ἁλός Aesch. 321.

θλίβω: ἀπὸ θηλαμόνων θλίψας κνακῶν Thesp. 4, 2 p. 833.

θνατός v. θνητός.

θνήσκω: οὔτε πολλὰ τραύματα - λαβὼν θνήσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου Aesch. 362, 2. θάπτει τε τέκνα - αὐτός τε θνήσκει Eur. 757, 4. θνήσκει δ' οὐδὲν τῶν γιγνομένων Eur. 839, 12. cf. Soph. 766. ἦν καὶ δίκῃ θνήσκῃ τις Eur. 834, 2. θνήσκοιμ' ἄν Eur. 293, 2. γαμεῖτε νῦν, γαμεῖτε, κἆτα θνήσκετε Eur. 464. τέθνηκεν αἰσχρὸς χρημάτων ἀπαιόλῃ Aesch. 186. Δωρὶς τέθνηκεν ἡ Διονυσίου γυνή Dionys. 9 p. 796. τὸ μὲν τέθνηκε σῶμα, τοῦτο δ' ἀναβλέπει Eur. 1013. τόν τε παρελθόντ' ἀπόλωλε χρόνον καὶ τὸν μέλλοντα τέθνηκεν Eur. 1028, 3. τεθνᾶσι παῖθες οὐκ ἐμοὶ μόνῃ βροτῶν Eur. 454. κρυφθεὶς δ' ὑπὸ γῆς κεῖται *τεθνεώς (θνητὸς Il.) τὸν ἅπαντα χρόνον Soph. 518, 2. ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον Aesch. 138. μηδὲ τῷ τεθνηκότι τὸν ζῶντ' ἐπαρκεῖν αὐτὸν ὡς θανούμενον Soph. 350. πέμπεις δ' ἐς Ἅιδου ζῶντα κοὐ τεθνηκότα Eur. 371. ἐφημένη τάφον τέκνοις ἐπῴζε τοῖς τεθνηκόσιν Aesch. 157, 2. τοὺς καλῶς τεθνηκότας ζῆν ῥᾳμί Eur. 361. τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι Eur. 507. τὸν παῖδ' ἐν ὑγροῖς κύμασιν τεθνηκέναι Eur. 636, 6. καλῶς τεθνάναι κάλλιον - ἢ σεσῶσθαι Aesch. 453. οἴμοι, θανοῦμαι διὰ τὸ χρήσιμον φρενῶν Eur. 58. φθο-

νεῖν γὰρ τοῖς θανουμένοις ὀκνεῖ Sosith. 2, 15 p. 822. ἣν θάνω Eur. 362, 3. ἀρετὴ δὲ κἂν θάνῃ τις οὐκ ἀπόλλυται Eur. 734. ὅταν τις ἐκ δόμων ἀνὴρ θάνῃ Eur. 736, 6. κἂν θάνωσι Eur. 518, 3. πῶς ἄν οὐκ ἄν ἐν δίκῃ θάνοιμ' ἄν Soph. 673, 2. ἔζης ἄρ' οὐδὲ γῆς ἔνερθ' ᾤχου θανών Soph. 624. ὃδ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος Eur. 852, 2. θανὼν μὲν οὖν Μαίανδρον ἐρρίφη ποδὸς σόλος τις ὥσπερ Sosith. 3 p. 823. κακὸς δ' ἀνὴρ σιγηλὸν ἔσχε ζῶν τε καὶ θανὼν βίον Zenod. 1, 2 p. 831. ὁ γὰρ θανὼν τὸ μηδέν ἐστι καὶ σκιὰ κατὰ χθονός adesp. 95, 2. καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται adesp. 582. καὶ τοῦ θανόντος ἡ Δίκη πράσσει κότον Aesch. 266, 5. κενὸν θανόντος ἀνδρὸς αἰκίζειν σκιάν Mosch. 3 p. 813. ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί adesp. 513. Κρητικοὺς αὐλοὺς θανούσης κῶλα ποικίλης νεβροῦ adesp. 419. θανόντι κείνῳ συνθανεῖν ἔρως μ' ἔχει Soph. 867. στέφανος εἷς μιᾷ μόνῃ πόλεως *θανούσῃ τῆσδ' ὑπερδοθήσεται Eur. 360, 35. τὸν θανόντα δακρύοις ἀνιστάναι Soph. 513, 2. τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων Eur. 449, 3. ἓν' ἀσφαλὲς γὰρ τὸν θανόντ' ἐπολβίσαι Dionys. 3, 3 p. 794. καὶ μὴν θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα τύμβον τε κοινὸν ἔλαχον εὔκλειάν τ' ἴσην Eur. 360, 32. καὶ θανόντων ἰσὶν οὐκ ἔνεστ' ἰκμάς Aesch. 229. δαπάνας ὅταν θανοῦσι πέμπωσιν κενάς Eur. 640, 2. σπάνιον ἄρ' ἦν θανοῦσιν ἀσφαλεῖς φίλοι Eur. 736, 3. τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν Aesch. 266. ζῶντας κολάζειν, οὐ θανόντας εὐσεβές Mosch. 3, 2 p. 813. τοὺς θανόντας ὥρισεν νόμος τύμβοις καλύπτειν Mosch. 6, 30 p. 814. καὶ δὶς ἑπτ' αὐτῆς τέκνα Νιόβης θανόντα Λοξίου τοξεύμασιν Eur. 455, 2. θανεῖν - οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς Soph. 64, 2. ὅταν δ' ὁ καιρὸς τοῦ θανεῖν ἐλθὼν τύχῃ Soph. 865, 3. πάντων τὸ θανεῖν Eur. 46. τὸ μὴ θανεῖν - οὐκ ἔχει Eur. 250, 2. ἑξὸν προπάντων μίαν ὑπερδοῦναι θανεῖν Eur. 360, 18. κοὔποτ' εὔχομαι θανεῖν Eur. 533, 4. τοῦ θανεῖν δ' ἀπειρίᾳ πᾶς τις φοβεῖται φῶς λιπεῖν Eur. 816, 10. τίς δ' οἶδεν εἰ ζῆν τοῦθ' ὃ κέκληται θανεῖν, τὸ ζῆν δὲ θνήσκειν ἐστί Eur. 833, 1. 2. τὸ μὴ θανεῖν δὲ δειλόν, ἡδονὴ δ' ἔνι Eur. 854, 2. τίς - ἔστι δοῦλος τοῦ θανεῖν ἄφροντις ὢν Eur. 958. εἰ δὲ θανεῖν θέμις, ὧδε θανεῖν καλόν Eur. 994. φαῦλοι βροτῶν γὰρ τοῦ πονεῖν ἡσσώμενοι θανεῖν ἐρῶσιν Agath. 7, 2 p. 765. τὴν μὲν θανεῖν ἔκριναν, ἐμὲ δὲ μὴ κτανεῖν Theod. 2, 4 p. 801. οἰκτρῶς θανεῖν μ' ἄνωγε σύγγαμος πατήρ adesp. 8. οὐ κατθανεῖν - δεινόν, ἀλλ' αἰσχρῶς θανεῖν adesp. 88. — cf. adesp. 461, 7.

θνητός: πῶς οὖν μάχωμαι θνητὸς ὢν θείᾳ τύχῃ Soph. 197. πῶς δῆτ' ἔγωγ' ἂν θνητὸς ἐκ θνητῆς τε φὼς Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος Soph. 481, 6. (cf. θνήσκω.) θνητὸς γεγὼς Eur. 392, 2. θνητῶν δὲ θνητὸς ὄλβος Eur. 1073, 5. βέβαια δ' οὐδεὶς εὐτυχεῖ θνητὸς γεγώς Eur. 1074. θνητὸς γὰρ ὢν καὶ θνητὰ πείσεσθαι δόκει Eur. 1075. θνητὸς πεφυκὼς τὰ ὀπίσω πειρῶ βλέπειν Isid. 2 p. 829.

ἀθάνατον ὀργὴν μὴ φύλασσε θνητὸς ὤν adesp. 79. μή νυν τὰ θνητὰ θνητὸς ὢν ἀγνωμόνει adesp. 112, 5. τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνή Aesch. 369. ᾧ μέλει τι τοῦ θνητοῦ βίου adesp. 492, 3. οὐδὲν ἔστι χεῖρον ἐν θνητῷ γένει Eur. 1080, 4. οὐδ' ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει adesp. 547, 3. καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα Soph. 321. ἄνδρα θνητὸν εἰ κατέφθιτο στένεις Soph. 761. φρονεῖν δὲ θνητὸν ὄντ' οὐ χρὴ μέγα Eur. 76, 2. οὐ θαῦμ' ἔλεξας θνητὸν ὄντα δυστυχεῖν Eur. 651. θνητὸν καὶ τὸ σῶμ' ἡμῶν ἔφυ Eur. 799. χρόνος τὸν θνητὸν ἠλλοίωσεν - βίον Mosch. 6, 19 p. 814. οὐ μάντιν οὐδ' ἰατρόν, ἀλλὰ † θνητὸν ἅμα ψυχαῖς adesp. 405, 2. ὦ *θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος Soph. 859. θνητοὶ δὲ πολλοὶ - ἱδρυσάμεσθα πημάτων παραψυχὴν θεῶν ἀγάλματα Soph. 1025, 4. μάτην δὲ θνητοὶ τοὺς νόθους φεύγουσ' ἄρα παῖδας φυτεύειν Eur. 377. θνητοὶ γεγῶτες μὴ φρονεῖθ' ὑπὲρ θεούς Demon. 1 p. 827. τί δῆτα θνητοὶ πόλλ' ἀπειλοῦμεν μάτην Patrocl. 1, 3 p. 830. οὐ δὴ μόνον τίκτουσιν αἱ θνηταὶ θεούς Soph. 705, 2. χώριζε θνητῶν τὸν θεόν Aesch. 464. οὐ χρῆν τάδ' οὕτω δαίμονας θνητῶν πέρι τάσσειν Soph. 103, 5. οἳ μακρὸν βίον θνητῶν ἔχουσι Soph. 328, 3. Ζεὺς ἐμὸς ἄρχων, θνητῶν δ' οὐδείς Soph. 688, 3. πάντα τοι συντέμνεται Κύπριδι τὰ θνητῶν καὶ θεῶν βουλεύματα Soph. 855, 17. ὅστις δὲ θνητῶν θάνατον ὀρρωδεῖ λίαν Soph. 865. τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος Eur. 196. πολλοὶ δὲ θνητῶν τοῦτο πάσχουσιν κακόν Eur. 220. νόσοι δὲ θνητῶν αἳ μέν εἰσ' αὐθαίρετοι Eur. 292, 4. τύχας δὲ θνητῶν τὸ μὲν μέγ' εἰς οὐδὲν ὁ πολὺς χρόνος μεθίστησι Eur. 304, 3. θνητῶν σπέρματῶν μὲν εὐτυχεῖ λαμπρᾷ γαλήνῃ Eur. 330, 6. κύκλος αὐτὸς καρπίμοις τε γῆς φυτοῖς θνητῶν τε γενεᾷ (al. γένει βροτῶν τε) Eur. 415, 4. πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς ζητοῦσ' ἀμαυροῦν Eur. 416. αἱ θνητῶν τύχαι Eur. 434. θῆρας οὓς θ' ἅλμη τρέφει γένος τε θνητῶν Eur. 484, 6. ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον εἰς γῆρας ἐλθεῖν Eur. 575. θνητῶν εἰσιν ἀσυνετώτεροι Eur. 645, 5. ὅστις δὲ θνητῶν οἴεται - κακόν τι πράσσων τοὺς θεοὺς λελῆθέναι Eur. 835. τὰς θνητῶν - χαίρειν κελεύω θεῶν ἄτερ προθυμίας Eur. 1025, 2. ὦ καὶ θεῶν κρατοῦσα καὶ θνητῶν μόνη μοῖρα Mosch. 2 p. 812. τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία Chaer. 2 p. 782. θεῶν γὰρ ἄξειν βίοτον, οὐ θνητῶν δοκεῖς Dionys. 2, 3 p. 793. θνητῶν δὲ μηδεὶς μηδέν' ὄλβιόν ποτε κρίνῃ Dionys. 3 p. 794. ὅστις δὲ θνητῶν μέμφεται τὰ θεῖα Theod. 8 p. 804. ὅσῳ περ αὔξεται θνητῶν γένος Theod. 12, 4. p. 805. τὸ κακὸν τῆς εὐτυχίας ὡς μᾶλλον ἐς οὓς φέρεται θνητῶν adesp. 386, 2. ὅλοιο θνητῶν ἐκλέγων τὰς συμφοράς adesp. 388. ἡ τὰ θνητῶν καὶ τὰ θεῖα πάντ' ἐπισκοποῦσα - τύχη adesp. 505. ὡς ἔφυς μέγας θεός, Διόνυσε, θνητοῖς τ' οὐδαμῶς ὑποστατός Eur. 177, 2. οὔποτε θνητοῖς ἀρετῆς ἄλλη δύναμις μείζων Eur. 446, 3. Ζῆνα δ' εἰσ-

ορῶντα - θνητοῖς δικάζειν Eur. 506, 4. ἔστι - κἀν κακοῖσιν ἡδονὴ θνητοῖς ὀδυρμοὶ δακρύων τ' ἐπιρροαί Eur. 573, 2. προσομιλεῖν οὗτος ὁ δαίμων πάντων ἥδιστος ἔφυ θνητοῖς Eur. 897, 4. ὦ πολύμοχθος βιοτὴ θνητοῖς Eur. 916. κοὐκ ἔστιν ὅρος κείμενος οὐδεὶς εἰς ὅντινα χρὴ κέλσαι θνητοῖς Eur. 916, 5. τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα Eur. 1026. τὸ δὲ σύντροφον ἀδύ τι θνητοῖς Eur. 1046, 3. πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι adesp. 95. ὅθεν ἅπασιν ἦρξατο τρέφειν ὁδ' αἰθὴρ ἐνδιδοὺς θνητοῖς πνοάς adesp. 112, 4. πολλοῦ σε θνητοῖς ἄξιον τίκτει πατήρ adesp. 410. τὸ δεῖσθαι τῶν πέλας θνητοῖς μέγα διδασκαλεῖον τῆς ἀναιδείας ἔφυ adesp. 558. κἄστι πρὸς τὰ χρήματα θνητοῖσι τἄλλα δεύτερα Soph. 328, 5. τὸ θεῖον ὡς ἄελπτον ἔρχεται θνητοῖσιν Eur. 62, 2. μετρίων δὲ γάμων - κῦρσαι θνητοῖσιν ἄριστον Eur. 503, 3. εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα θνητοῖσιν εἴτ' ἄπαιδα καρποῦσθαι βίον Eur. 571, 3. ὁ γὰρ ἐν καιρῷ μόχθος πολλὴν εὐδαιμονίαν τίκτει θνητοῖσι Eur. 745, 3. θεοὺς θνητοῖσιν ἐξευρεῖν Crit. 1, 13 p. 771. θνητοῖσι τὴν ἀκεσφόρον λύπης ἔφηνεν οἰνομήτορ' ἄμπελον Astyd. 6 p. 780. καὶ γὰρ τὸν ἄλλον ὧδε θνητοῖσιν νόμον ὄψει διαθρῶν adesp. 26. θνητοῖσιν ἀνθρώποισι καταφυγὴ θεοί adesp. 481. χρεὼν τὰ θεῖα θνητοὺς ὄντας εὐπετῶς φέρειν Soph. 526, 2. θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φέρειν Eur. 79, 2. ἡ δ' ὑγροβόλους σταγόνας νοτίας παραδεξαμένη τίκτει θνητούς (al. θνατούς) Eur. 839, 4. οὕτω δὲ πρῶτον οἶομαι πεῖσαί τινα θνητοὺς νομίζειν δαιμόνων εἶναι γένος Crit. 1, 42 p. 772. θνητὰ φρονεῖν χρὴ θνητὴν φύσιν Soph. 531. θνητά τοι πεπόνθαμεν Eur. 300. θνητὰ δὴ γύναι φρόνει Eur. 986. ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες Eur. 400. — μόνος ἀθανάτων γαμβρὸς δι' ἀπείρονα γαῖαν θνατὸς ὑμνήσῃ Eur. 781, 31. μακρὰς ἀφαιρούμενος ἐλπίδας *θνατῶν πολύμοχθος Ἅιδας adesp. 127, 10. ἃ δὲ μνᾶστις *θνατοῖς εὐποτμοτάτα μελέων Soph. 145, 3. ποῦ δή τὸ σαφὲς θνατοῖσι βιοτᾶς Eur. 304.

θοάζω: ὁρῶ - κῆτος θοάζον ἐξ Ἀτλαντικῆς ἁλός Eur. 145, 2.

θοίναμα: ὁρῶ δὲ πρὸς τὰ παρθένου θοινάματα κῆτος θοάζον Eur. 145.

θοίνη: τῆς πρόσθε θοίνης μνημόνευμα δυσσεβοῦς Mosch. 6, 33 p. 814. αὐτὸς ἐν θοίνῃ (al. δαίτῃ vel γάμοις) παρών Aesch. 350, 7. *θοίνῃ σε πρῶτον τέρψομεν Ach. 17 p. 750. παρὰ κρατῆρα καὶ θοίνην Eur. 642.

θοινῶμαι: φαγέδαιν' ἀεί μου σάρκα θοινᾶται ποδός Eur. 792.

θοός: θοαῖσι - ναυσὶ πόρον πνοαὶ - ἰθύνουσι Eur. 304, 2.

θόρνυμαι: ὅλην δ' ἐκείνην εὐφρόνην ἐθόρνυτο (al. ἐθρύπτετο) Soph. 1026, 9.

θοῦρος: καὶ θοῦρός περ ὢν Aesch. 199, 2.

θράσος: νεότης μ' ἐπῆρε καὶ θράσος (al. σθένος) τοῦ νοῦ πλέον Eur. 149. ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον Eur. 430. ἔκκαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσους Eur. 1031,

2. οὐκ ἄν ποτ' ἦλθες εἰς τόδε θράσους Eur. 1132, 65. τραύματ' ἐξόπισθ' ἔχων τῆς δειλίας σημεῖα κοὐχὶ τοῦ θράσους adesp. 450, 2. πολλοί γε - τῷ θράσει τὰς συμφορὰς ζητοῦσ' ἀμαυροῦν Eur. 416. οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλοιτό τις Eur. 276, 2. εὐαμερίαι - μολπᾶν θράσος αἴρουσ' ἐπὶ χάρματα Eur. 773, 48.

Θράσσω: ἢ θράσσει γένυν Soph. 179. θρᾶξαι Eur. 600. ἐθράχθη Soph. 952.

Θρασύς: ὅ τοι θρασὺς πρὸς ἔργον ἐκ πολλοῦ κακός adesp. 449. ἔγειρέ μοι σεαυτὸ καὶ γίγνου θρασύ Eur. 693, 2. τὸ νέον ἅπαν ὑψηλόν ἐστι καὶ θρασύ adesp. 538. θρασὺν πετραῖον ὄρνιν Aesch. 304, 3. πότερα γενέσθαι - χρησιμώτερον συνετὸν ἄτολμον ἢ θρασύν τε κἀμαθῆ Eur. 552, 2. οἱ δὲ τῇ γλώσσῃ θρασεῖς φεύγοντες ἄτας ἐκτός εἰσι τῶν κακῶν Soph. 657, 2.

Θρασύστομος: δειλῶν γυναῖκες δεσποτῶν θρασύστομοι Eur. 3.

(Θρεκτός cf. κρεκτός.)

Θρηίκιος: Θρηίκιον πέλταν πρὸς Ἀθάνας περικίοσιν ἀγκρεμάσας θαλάμοις Eur. 369, 4.

Θρηνῶ: θρηνεῖ δὲ γόον τὸν ἀηδόνειον Aesch. 291. ἐχρῆν γὰρ ἡμᾶς - τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά Eur. 449, 2. σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων Soph. 592, 2.

Θρῄξ: Ἥλιε, φιλίπποις Θρῃξὶ πρέσβιστον σέλας Soph. 523. — οὐδὲ *Θρῄξ ἀναστέψει λεὼς στεφάνοισι Eur. 360, 48.

Θρῆσσα: Θρῆσσαν σκοπιὰν Ζηνὸς Ἀθφου Soph. 216.

Θριάζω: θριάζειν Soph. 428. Eur. 478.

Θρίαμβος: Ἴακχε θρίαμβε (διθύραμβε ll.), σὺ τῶνδε χοραγέ adesp. 140.

Θριγκός: τειχέων καὶ δὴ τοὺς Ποσιδείους .. θριγκοὺς ἀποσεισαμένη Soph. 465, 2.

Θρίξ: ἐλαιοῦται θρὶξ Soph. 567. ξανθὴν καθαίρονθ' ἵππον αὐχμηρᾶς τριχός Soph. 434, 2. κουρίμου χάριν τριχός Agath. 3, 4 p. 763. ἐγὼ μίαν μὲν ἐξιονθίζω τρίχα (al. τρίχας) Soph. 661. ἀναστήσαντα προσθίαν τρίχα Ach. 10, 2 p. 749.

Θρόνος: αἵ τε παρὰ θρόνον ἀγχοτάτω θεῶν ἑζόμεναι Eur. 620, 2 (v. add. p. XX). λειτὸς ἐκ τυραννικῶν θρόνων Mosch. 9, 3 p. 816. σὺ δ' ἐν θρόνοισι γραμμάτων πτυχὰς ἔχων νέμ' εἴ τις οὐ πάρεστιν ὃς ξυνώμοσεν Soph. 144.

Θρῳῶ: Σειρῆνας εἰσαφικόμην Φόρκου κόρας *θροοῦντε τοὺς Ἅιδου νόμους Soph. 777, 2.

Θρυλῶ: ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλούμενον κράτιστον εἶναι φημὶ μὴ φῦναι βροτῷ Eur. 285.

(Θρύπτομαι cf. θόρνυμαι.)

Θρῴσκω: θρῴσκων κνώδαλα Aesch. 15.

Θυγάτηρ: θυμῷ δ' οὔ τις φαιδρὰ χορεύει τάρβους θυγάτηρ Soph. 699, 2. ἣν σφάζοντες αὐχήσουσι σὴν σφάζειν θυγατέρα Eur. 857, 3. Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατήρ Eur. 228.

Θυέστης: ὦ τάλαν Θυέστα Theod. 9 p. 804.

Θυέστης Dionys. 12 p. 796.

θυηπολῶ: θυηπολοῦσα θεοῖς ἐκεῖσ' ἔχει φρένας Eur. 781, 56. νόμος γάρ ἐστι τοῖς βαρβάροις θυηπολεῖν βρότειον ἀρχῆθεν † γέρος Soph. 122, 2. ποίμνας Ὀλύμπου συναγαγὼν θυηπόλει Soph. 479, 2.

θῦμα: θυμάτων πυρουμένων Eur. 781, 52.

θυμαίνω: θυμαίνειν καλόν Soph. 141, 4.

Θυμβραῖον — Soph. Τρωίλος.

θυμιῶ: δόμων κειμήλια - φοιβῶσι κἀπιχωρίοις ὀσμαῖσι θυμιῶσιν εἰσόδους δόμων Eur. 773, 14.

θυμός: πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ Soph. 600. πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν Eur. 257. γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ Eur. 362, 34. ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει Eur. 1039. νῦν σοι πρὸς ὄψιν θυμὸς ἡβάτω Sosiph. 2 p. 820. ὁ θυμὸς αὐτὸν τῶν φρενῶν ἐξῆρ' ἄνω adesp. 175. πηδῶν δ' ὁ θυμὸς ἔνδοθεν μαντεύεται adesp. 176. εἶκει γὰρ ἤδη θυμὸς οὐδ' ἔτ' ἀντέχει adesp. 379. πηδῶν ὁ θυμὸς τῶν φρενῶν ἀνωτέρω adesp. 390. νῦν οὐκέτι μοι δίχα θυμός adesp. 482. ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν Eur. 718. μόνον σὺ θυμοῦ χωρὶς ἔνδεξαι λόγους Mosch. 5 p. 813. σιωπὴ δ' ἐστὶ τοῦ θυμοῦ τροφή adesp. 18. εἶπέ τ' ἐκ θυμοῦ τάδε adesp. 458, 7. ἀμφὶ θυμῷ τὴν κάκοσμον οὐράνην ἔρριψεν Soph. 140. θυμῷ δ' οὔ τις φαιδρὰ χορεύει τάρβους θυγάτηρ Soph. 699. ἔχων δὲ τούτων θυμὸν ἱππογνώμονα Aesch. 243, 3. φοινία μέγαν δέδυκε λύσσα θυμόν Neophr. 2, 12 p. 731. τί δράσεις, θυμέ Neophr. 2 p. 730. οὐ μὴ προδώσεις, θυμέ, σαυτὸν Neophr. 2, 9 p. 731.

θυμοῦμαι: χαῖρ' ὦ Χάρων, ἡ που σφόδρα θυμοῖ Ach. 11, 2 p. 749. εἶτα δὴ θυμούμεθα παθόντες οὐδὲν μεῖζον ἢ δεδρακότες Eur. 711. κόλαζε κρίνων, ἀλλὰ μὴ θυμούμενος Demon. 2 p. 827. θατέρου θυμουμένου Eur. 654. τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών Eur. 287. ἐν κακοῖσι θυμωθείς Soph. 530, 3. κἀν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς Eur. 1078, 2.

θύννος: ὃς ἀστενακτὶ θύννος ὡς ἠνείχετο ἄναυδος Aesch. 307, 2. θύννος βολαῖος πέλαγος ὡς διαστροβεῖ adesp. 391. τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην Aesch. 308.

θύρα: βλέφαρα κέκληταί γ' ὡς καπηλείου θύραι Soph. 645. παρὰ θύραν adesp. 290.

θύραζε: ἥτις - ἡμῶν καρδίαν θύραζ' ἔχει Eur. 1063, 12.

θύραθεν: ἐρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς Eur. 1063, 4.

θυραῖος: (cf. ὡραῖος.) σπουδὴ γάρ ἡ κατ' οἶκον ἐγκεκρυμμένη οὐ πρὸς θυραίων (προσθυραῖον l.) οὐδαμῶς ἀκουσίμη Soph. 679, 2. ἀρετὴ - μόνη οὐκ ἐκ θυραίων τἀπίχειρα λαμβάνει adesp. 116, 2. θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα ἢ τοῖς - ἐν γένει πεφυκόσιν Dicaeog. 1, 2 p. 775. ἄφρων - ὅστις ἄτεκνος ὢν τὸ πρὶν παῖδας θυραίους εἰς δόμους ἐκτήσατο Eur. 491, 2.

θύρασι: ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν ἐσθλήν, θύρασι δ' ἀξίαν τοῦ μηδενός Eur. 521, 2.

θύρετρον: ἀλλ' ὦ θυρέτρων τῶνδε κωμῆται θεοί Ion. 37 p. 739.

θύρσος: οὐδ' ἔτι θύρσος φύλλα βακχείου adesp. 397, 2. τίς καλλίκαρπον θύρσον ἀνασείει θεῶν adesp. 406. Διόνυσος - ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς καθαπτὸς - πηδᾷ χορεύων Eur. 752.

θυρωρός: πύλης ἄναξ θυρωρέ Soph. 707.

Θύσα: Θύσαν (?) Διονύσου κόραν Eur. 586.

θυσία: λῆξαι τῆς - Ζηνὸς θυσίας Ach. 2, 4 p. 746. θυσίας γὰρ ἀπαρχὰς κρέας ἐπέμπομεν πατρί adesp. 458, 2. θυσίαν ἄπυρον παγκαρπείας δέξαι πλήρη προχυθεῖσαν Eur. 912, 4. θυσίας τε τούτοις καὶ κενὰς πανηγύρεις στέφοντες οὕτως εὐσεβεῖν νομίζομεν Soph. 1025, 8.

θυστάς Eur. 1101.

θύω: ὅταν τις εὐσεβῶν θύῃ θεοῖς, κἂν μικρὰ θύῃ, τυγχάνει σωτηρίας Eur. 946, 1. 2. οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων ἄνοις Aesch. 161, 2. Οἰνεύς - θύων ἀπαρχάς Eur. 516, 2. γέλωτα δή με ποιοῦνται κόροι θύοντες ὕβρει adesp. 458, 10. θεοῖσι μικρὰ θύοντας τέλη Eur. 327, 6. ἔδει γὰρ ἡμᾶς τοῖς θεοῖς θύειν, ὅταν γυναῖκα κατορύττῃ τις Eur. 1112. τί δῆτα *θύειν δεῖ σε κατθανούμενον adesp. 350. θύσας δὲ χοῖρον τόνδε τῆς αὐτῆς ὑός Aesch. 311. δώσω κόρην θῦσαι πρὸ γαίας Eur. 360, 39.

(θῶκος cf. θᾶκος.)

θωμιγξ: θώμιγγα νευρῶν ἱππικήν adesp. 215.

θωπεία: οὐ γὰρ πέφυκε δοῦλον οὔτε χρημάτων οὔτ' εὐγενείας οὔτε θωπείας ὄχλου Eur. 1029, 3.

θώπτω: θώψεις Aesch. 234.

† θῶσθαι Aesch. 49.

θώσσω: θωχθείς Soph. 175.

θώψ: πρόσθε γὰρ κάτω γῆς εἶσιν ἄστρα - πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον Eur. 687, 4. μισῶ παρ' ἐχθρῶν θῶπας εὐειδεῖς λόγους adesp. 24.

I.

ἴ: ἡ μὲν ὡς ἴ θάσσονα, ἡ δ' ὡς ἴ τέτοκε παῖδα Soph. 430, 1. 2.

ἰαί Soph. 574.

ἰαίνομαι: ἰαίνεται Phryn. 1 p. 720.

Ἴακχος: ἦν ὁ βούκερως Ἴακχος αὐτῷ μαῖαν ἡδίστην νέμει Soph. 874, 3. Ἴακχε θριάμβε, σὺ τῶνδε χοραγέ adesp. 140.

ἴακχος Dionys. 12 p. 796.

(ἴαμα cf. ἔρεισμα et ῥῦμα.)

ἰαμβίς Aesch. 81.

Ἴαννα Soph. 53. 476. 560.

ἴασις: ἐκ τῶν τοιούτων χρή τιν' ἴασιν λαβεῖν Soph. 237, 3.

Ἰάσων — Aesch. 20. Κάβειροι. Soph. Κολχ. Eur. Πελιάδες. Carc. Μήδεια p. 798.

ἰατρεύω: ἰατρεύειν καλῶς Eur. 917.

ἰατρός: μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν ἰατρός Aesch. 255, 3. ἰατρός ἐστιν οὐκ ἐπιστήμων ἀκῶν Soph. 530, 5. ἀλλ' ἔσθ' ὁ θάνατος λῷστος ἰατρὸς νόσων Soph. 636. μέλλων τ' ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον Eur. 1072. ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσιν βρύων Eur. 1086. ὕπνον ἰατρὸν νόσου Soph. 198. πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν ἰδόντ' ἀκεῖσθαι Eur. 292. σοφὴν θεῶν ὑμνῳδὸν ἰατρόν θ' ἅμα Diog. Ath. 1, 5 p. 776. οὐ μάντιν οὐδ' ἰατρόν adesp. 405, 2. οἷα δὴ φιλοῦσιν ἰατροὶ λέγειν Mimn. 2 p. 830. ὡς ἦν μόχθος ἰατροῖς μέγας Eur. 403, 5.

ἰαχή: ὃς ἀν' Ἴδαν τέρπεται σὺν ματρὶ φίλᾳ τυμπάνων ⟨ἐπ'⟩ *ἰαχαῖς Eur. 586, 4.

Ἰβηρία — Aesch. 73.

Ἰδαία — Soph. 587.

Ἰδαῖος: ῥοθεῖ δέ τοι σῦριγξ Ἰδαῖος ἀλέκτωρ Ion. 45 p. 741. Διὸς Ἰδαίου μύστης γενόμην Eur. 472, 10. κατ' Ἰδαῖον πάγον (al. ἐν Ἰδαίῳ πάγῳ) Aesch. 162, 2. Σίπυλον Ἰδαίαν ἀνὰ χθόνα Aesch. 163. τήνδ' ἀν' Ἰδαίαν χθόνα Soph. 479. μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας πρήσειεν ἄν τις Eur. 411, 2. Ἰδαῖοι Δάκτυλοι Soph. 337.

ἴδε et ἰδεῖν v. ὁρῶ.

Ἴδη: ἔνθ' Ἀθραστείας ἔδος Ἴδη (Ἴδης II.) τε μυκηθμοῖσι καὶ βρυχήμασιν ἢ ἕρπουσι μήλων Aesch. 158, 3. Ἴδης Soph. 469, 1. 2. ἀλλ' ὦ Κρῆτες Ἴδης τέκνα Eur. 471. ναίειν Κελαινὰς ἐσχάτοις Ἴδης τόποις Eur. 1085, 2. Διονύσου - ὃς ἀν' Ἴδαν τέρπεται σὺν ματρὶ φίλᾳ τυμπάνων ⟨ἐπ'⟩ ἰαχαῖς Eur. 586, 2. cf. Soph. 344.

ἴδιος: μὴ γὰρ καλῶς κρίνασ' ἐμαυτῆς τὸν ἴδιον βλάψω βίον Eur. 953, 38. ἴδιον οὐδὲν ἔσχομεν Eur. 52, 6. εἰ μὴ γὰρ ἴδιον ἔλαβον εἰς χεῖρας μύσος Eur. 847. ἰδίας ὁδοὺς ζητοῦσι φιλόπονοι φύσεις Agath. 21 p. 767.— Σπάρτην ἔλαχες, κείνην κόσμει· τὰς δὲ Μυκήνας ἡμεῖς ἰδίᾳ Eur. 723, 2.

ἰδού v. ὁρῶ.

ἴδρις: στρατοῦ καθαρτὴς κἀπομαγμάτων ἴδρις Soph. 31. ἐγὼ πέφυκα γραμμάτων μὲν οὐκ ἴδρις Eur. 382. ἴδριδα Soph. 953. ἴδριδες Phryn. 22 p. 725.

ἵδρυμα: ἀρχὴν δὲ τῶνδε καὶ θεῶν ἱδρύματα Ἀκρίσιος εἵληχεν Eur. 1132, 3.

ἱδρύω: θνητοὶ δὲ πολλοὶ καρδίᾳ πλανώμενοι ἱδρυσάμεσθα - θεῶν ἀγάλματ' ἐκ λίθων Soph. 1025, 5. πέλας δὲ ταύτης δεινὸς ἵδρυται Κράγος ἔνθηρος Eur. 669.

ἱδρώς: δρυός μ' ἱδρὼς - ἥ τ' Αἰγυπτία βόσκει λινουλκὸς χλαῖνα Ion. 40 p. 740.

Ἰδυῖα: ἣν Ἰδυῖα πρίν ποτε Ὠκεανοῦ κόρη τίκτεν Soph. 503, 2.

Ἱερὰ πόλις — Aesch. 11.

ἱέρεια: τὰς θεσπιῳδοὺς ἱερέας Δωδωνίδας Soph. 418.

ἱερεῖτις: ἱερεῖτιν Aesch. 93.

ἱερεύς: ἃ δ' ἄναγν' ἔσθ' ἱερεῦσιν καθαρεύειν φράσομεν Phryn. 15 p. 723.

ἱερόλας Soph. 54.

ἱερόν: οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος Eur. 170. οὐκ ἔστι πενίας ἱερὸν αἰσχίστης θεοῦ Eur. 248.

ἱερός: κἠρύξ θ' ἱερὸς καὶ παῖς Φαέθων βαίνουσι Eur. 773, 60. ὦ νὺξ ἱερά Eur. 114. ποῦ δ' ἐστὶν Ἀργοῦς ἱερόν, αὔδασον, ξύλον Aesch. 20. Ἥλιε δέσποτα καὶ πῦρ ἱερόν Soph. 492. ἱερᾶς νυκτὸς ἀμολγόν Aesch. 69, 6. αἰθέρος ἱερᾶς Eur. 114, 4. ὄμνυμι δ' ἱερὸν αἰθέρ', οἴκησιν Διός Eur. 487. οἰνάνθα τρέφει τὸν ἱερὸν βότρυν Eur. 765. ὁ πετόμενος ἱερὸν ἀνὰ Διὸς αἰθέρα γοργοφόνος Eur. 985. προλιποῦσ' Ἀκροκόρινθον, ἱερὸν ὄχθον, πόλιν Ἀφροδίτας Eur. 1084, 2. Βοῦράν θ' ἱερὰν καὶ κεραυνίας Ῥύπας Aesch. 403. φοινικόπεδόν τ' ἐρυθρᾶς ἱερὸν χεῦμα θαλάσσης Aesch. 192. γῆς ναίουσ' ἱερὰς τριόδους Soph. 492, 4.

ἵζομαι: δήμους τ' ἔσωσα καὶ τύραννος ἱζόμην Eur. 861, 2.

ἰή: τί ποτ', ἀνδροδάικτον ἀκούων ἰὴ κόπον, οὐ πλάθεις ἐπ' ἀρωγάν Aesch. 132, 2.

ἰήιος Soph. 575. Ion. 12 p. 734.

ἵημι: ὀμμάτων ἄπο λόγχας ἵησιν Soph. 161. ἵει δ' ἐφ' ἑπτὰ πλειάδων ἔχων δρόμον Eur. 779, 4. ἔγχος ἱέμενος (?) Soph. 714.

Ἰθάκη — Soph. Εὐρύαλος.

ἰθύνω: θοαῖσι μὲν ναυσὶ πόρον πνοαὶ κατὰ βένθος ἅλιον ἰθύνουσι Eur. 304, 3. cf. εὐθύνω.

ἱκανός: ἔκκαυμα τόλμης ἱκανόν Eur. 1031, 2. ἱκανὸν ἐδείπνουν Pyth. 1, 12 p. 811.

Ἴκαρος — Eur. Κρῆτες.

ἱκέτης: τὸν ἱκέτην γὰρ οὐ θέμις κτανεῖν Eur. 937. ἱκέται Ach. 2 p. 746.

ἱκέτις: ἐξῆλθον ὑμῶν ἱκέτις ἡβώντων τροφὸς παίδων Ion. 54 p. 743.

ἰκμάς: καὶ θανόντων ἰσὶν οὐκ ἔνεστ' ἰκμάς Aesch. 229.

ἱκνοῦμαι: ὕβρις δέ τοι οὐπώποθ' ἥβης εἰς τὸ σῶφρον ἵκετο Soph. 718, 2.

ἵκταρ Aesch. 67.

ἴκτινος: ἴκτινος ὡς ἔκλαγξε παρασύρας κρέας Soph. 700. γέρανοι, χελῶναι, γλαῦκες, ἰκτῖνοι, λαγοί Soph. 107.

ἱκτορεύω: ἱκτορεύσομεν Soph. 55.

ἴλεως: ὃς τόνδ' ἔχεις τὸν σηκόν, ἴλεως γενοῦ adesp. 164.

Ἴλιον — Soph. 414.

ἰλλάς: ἰλλάδας γονάς Soph. 67. ἰλλάδας Eur. 837.

Ἰλλυρίς: Ἰλλυρὶς γονή Soph. 544.

ἱμάτιον: ἔχοντες εὐζώνους ἔστασαν ἱματίων ἐπιζώστρας Soph. 318.

ἱμείρω: ὅστις γὰρ ἐν κακοῖσιν ἱμείρει βίου Soph. 866. ὃ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν Eur. 659, 2. ὃ μὲν γὰρ ἄλλης λέκτρον ἱμείρει λαβεῖν Eur. 914, 2.

Ἰμέρα: εἰς ὑψίκρημνον Ἰμέραν δ' ἀφικόμην Aesch. 32, 2.

ἵμερος: τοὺς ἐρῶντας αὐτὸς ἵμερος δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προσίεται Soph. 153, 8. τίς ἆρα Κύπρις ἢ τίς ἵμερος τοῦδε ξυνήψατο Soph. 790. ἔστι δ' ἵμερος ἄκρατος Soph. 855, 4. πρὸς τοῦ παρόντος ἱμέρου νικωμένη (νικώμενος) Soph. 846, 4. Eur. 1132, 19.

ἵνα: a) *ἵν' οὖν τὰ πολλὰ κεῖνα διὰ παύρων λέγω Aesch. 99, 4. ἵνα πλημοχόας τάσδ' εἰς χθόνιον χάσμ' εὐφήμως προχέωμεν Eur. 592. ἵνα

μὴ καταζῶ τὸν βίον λυπουμένη Eur. 953, 21. ἵνα δίκη τύραννος ᾖ Crit. 1, 6 p. 771. οὐχ ἵνα κάνωσι θῆρα Antiph. 2 p. 792. ἵνα τὰς συμφορὰς λάβωσιν ἐπιφανεστέρας adesp. 82, 2. ἵν' εἰδῇ μηδὲν ὢν ἁμαρτάνει adesp. 296, 4. — ἵν' εἴ τι πάσχοιμ' ὧν ἐδόξαζον φρενί, μή μοι νεῶρες προσπεσὸν μᾶλλον δάκοι Eur. 964, 5. — φεῦ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν Eur. 439, 2.

b) ἵν' ὁ παντόπτας Ἥλιος αἰεὶ χρῶτ' ἀθάνατον κάματόν θ' ἵππων ἀναπαύει Aesch. 192, 5. ἵν' εὐλαβοῦ στρόμβον καταιγίζοντα Aesch. 195, 2. ἵν' οὔτ' ἄροτρον οὔτε γατόμος τέμνει δίκελλ' ἄρουραν Aesch. 196, 3. ἵν' αὐτὸς αὐτοῦ τυγχάνει κράτιστος ὢν Eur. 183, 3. σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλές Eur. 413, 2. ἵν' οὔτ' ἄγαν πῦρ οὔτε χεῖμα συμπίτνει Eur. 981, 3. ναίειν δ' ἔφασκε τοὺς θεοὺς ἐνταῦθ' ἵνα μάλιστ' ἂν ἐξέπληξεν ἀνθρώπους λέγων Crit. 1, 27 p. 771. ἵν' ἀστραπὰς κατεῖδεν οὖσας Crit. 1, 31 p. 771.

Ἰνάχειος: Ἰνάχειον ἄστυ adesp. 563.

Ἰναχίδης: χθονίους Ἰναχίδας adesp. 274.

Ἴναχος: πατὴρ δὲ ποταμὸς Ἴναχος τὸν ἀντίπλαστον νόμιον ἔχει κεκμηκότων Soph. 262. Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις Aesch. 168, 3. ἐλθὼν ἐς Ἄργος ᾤκισ' Ἰνάχου πόλιν Eur. 228, 6. βάδιζε τὰς ἐπ' Ἰνάχου ῥοάς adesp. 177. Ἴναχε νᾶτορ, παῖ τοῦ κρηνῶν πατρὸς Ὠκεανοῦ Soph. 248.

Ἰνώ: εὔδουσα δ' Ἰνοῦς συμφορὰ χρόνον πολὺν νῦν ὅμμ' ἐγείρει Eur. 398.

Ἰξίων: Φλεγύαντος υἱέ, δέσποτ' Ἰξίων Eur. 424. — cf. Aesch. 89.

ἰξοφόρος: ἰξοφόρους δρύας Soph. 370.

Ἰοβάτης — Eur. Σθενέβοια.

Ἰοκάστη — Eur. Οἰδίπους. Carc. Οἰδίπους p. 798.

Ἴολμος (?) — Sosiph. 5 p. 820.

ἴον: ἴων τε μελανόφυλλα συγκλῶσαι πτερά Chaer. 14, 13 p. 786.

ἱππάκη: ἀλλ' ἱππάκης βρωτῆρες εὔνομοι Σκύθαι Aesch. 198.

ἱππαλεκτρυών: ἐπ' αἰετὸς δὲ ξουθὸς ἱππαλεκτρυών Aesch. 134.

ἵππειος: μάνδραις ἐν ἱππείαισιν Soph. 598, 3.

ἵππευμα: ὡς μακρὸν ἵππευμα διώκεις Eur. 114, 2.

ἱππεύω: πατὴρ δ' ὄπισθε νῶτα σειραίου βεβὼς ἵππευε Eur. 779, 9.

Ἵππη — Eur. Μελαν. ἡ σοφή. 482. 488.

ἱππικός: ἱππικὴ βάσις adesp. 214. θώμιγγα νευρῶν ἱππικήν adesp. 215. ἱππικὸν χλίδος Ion. 3 p. 732.

ἱπποβουκόλοι Soph. 954.

ἱππογνώμων: ἔχων δὲ τούτων θυμὸν ἱππογνώμονα Aesch. 243, 3.

Ἱππόθων — Eur. Ἀλόπη.

Ἱππόλυτος: ὦ μάκαρ, οἵας ἔλαχες τιμάς, Ἱππόλυθ' ἥρως Eur. 446, 2.

ἵππος: ἄσειρος ἵππος adesp. 200. ἄβολον ἵππον Soph. 380. διὰ ψήκτρας σ' ὁρῶ ξανθὴν καθαίρονθ' ἵππον αὐχμηρᾶς τριχός Soph. 434, 2. ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι

Aesch. 38, 2. ἵν' ὁ παντόπτας Ἥλιος αἰεὶ χρῶτ' ἀθάνατον κάματόν θ' ἵππων θερμαῖς ὕδατος μαλακοῦ προχοαῖς ἀναπαύει Aesch. 192, 6. ἵππων ὄνων τ' ὀχεῖα - δοὺς ἀντίδουλα Aesch. 194. πρὸς ἵππων εὐθὺς ὁρμήσας στάσιν Eur. 442. αἳ δὲ κἀπὶ τεσσάρων φοιτῶσιν ἵππων ἀργυρῶν Eur. 675, 3. ἐν τοῖσιν ἵπποις τοῖσιν ἐκλελεγμένοις ἥδιον ἂν χωροῖμεν ἢ παντὶ σθένει Soph. 818. ἵπποισιν ἢ κύμβαισι ναυστολεῖς χθόνα Soph. 123. σχοινίνας γὰρ ἵπποισι φλοίνας ἡνίας πλέκει Eur. 284. cf. Eur. 1128.

ἱππόστασις: Ἕω φαεννὰς Ἡλίου θ' ἱπποστάσεις Eur. 771, 5.

ἱππότης: ἑῷος ἡνίχ' ἱππότης ἐξέλαμψεν ἀστήρ Eur. 929.

Ἶρις: κυανωπὸν ὥς τις Ἶρις ἀντηύγει σέλας adesp. 541, 3.

ἱροπῶτις Aesch. 459.

ἴς: καὶ θανόντων ἰσὶν οὐκ ἔνεστ' ἰκμάς Aesch. 229.

ἰσαμέριος: τανυφλοίου γάρ ἰσαμέριος ⟨φύλλοισιν⟩ αἰγείρου βιοτὰν ἀποβάλλει Soph. 535, 2.

ἰσάργυρος: ἰσαργύρου τ' εἰς χεῖρα Κυπρίου λίθου δώσουσι κόσμον Ach. 5 p. 747.

ἰσημέριος v. ἰσαμέριος.

ἴσθμιον: πεσοῦσ' ἀπ' *ἰσθμίου Eur. 656.

ἰσθμός: ἀνέχουσα βίου βραχὺν ἰσθμόν Soph. 145, 4.

ἰσοθάνατος: ἰσοθάνατον Soph. 332.

ἰσόμετρος: δισσοὶ κανόνες ἰσόμετροι πάνυ Theod. 6, 2 p. 803. πέμπται δ' ἄνωθεν ἰσόμετροι ῥάβδοι δύο Theod. 6, 6 p. 803.

ἴσος: στεῖχεν ἴσος Ἄρει βίαν Aesch. 74, 7. ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' ἴση Eur. 168. εἴ μοι γένοιτο φᾶρος ἴσον ἐν οὐρανῷ Aesch. 216. τὸ πρὸς βίαν πίνειν ἴσον πέφυκε τῷ διψῆν κακόν Soph. 669, 2. οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον Eur. 1048. καὶ ταῦτ' ἴσον μὲν εὖ λέγειν, ἴσον δὲ μή· ἴσον δ' ἐρευνᾶν, ἐξ ἴσου δὲ μὴ εἰδέναι Aristarch. 1, 1. 2 p. 728. ἐπὶ δυσμαῖς † ἴσου πατρός Aesch. 69. οὐκ ἦν ἂν - φθόνος, εἰ πάντες ἡμεν ἐξ ἴσου πεφυκότες Agath. 24, 2 p. 768. ἴσον μετρῶν ὀφθαλμόν Soph. 433, 4. (cf. γνήσιος.) τύμβον τε κοινὸν ἔλαχον εὐκλειάν τ' ἴσην Eur. 360, 33. ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω Eur. 543, 2. τῷ πλουσίῳ τε τῷ τε μὴ διδοὺς μέρος ἴσον σεαυτὸν εὐσεβεῖν πᾶσιν δίδου Eur. 362, 8. εἰ νόθος τις γνησίοις ἴσον σθένει Soph. 84. οὐνὸς οἶκος οὐ πλέον σθένει πταίσας ἁπάσης πόλεος οὐδ' ἴσον φέρει Eur. 360, 21. ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης Eur. 787, 3. φίλης τ' ὀπώρας διπτύχους ἠρός τ' ἴσους Eur. 990. εἶθ' ἥσθα σώφρων ἔργα τοῖς λόγοις ἴσα Soph. 810. καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα Soph. 321. ἢν δ' εὐτυχῆτε, μηδὲν ὄντες εὐθέως ἴσ' οὐρανῷ φρονεῖτε Sosiph. 3, 5 p. 820.

ἰσόσπριος: κυλισθεὶς ὥς τις ὄνος ἰσόσπριος Soph. 336.

ἵστημι: τοίους *πέριξ *ἔστησεν ἀνθρώποις φόβους Crit. 1, 37 p. 772. Τεῦκρος δὲ - ὑπὲρ τάφρου πηδῶντας ἔστησεν Φρύγας adesp. 569, 2. τὸ δ' ἄρσεν ἕστηκ' ἐν δόμοις ἀεὶ γένος θεῶν πατρῴων καὶ τάφων τιμάορον

Eur. 318, 3. ἕς τε μονομάχου πάλης ἀγῶνα νῦν ἑστᾶσιν adesp. 72, 3. πόρρω γὰρ ἑστὼς ὁ θεὸς ἐγγύθεν βλέπει adesp. 496, 2. ἔχοντας εὐζώνους ἕστασαν ἱματίων ἐπιζώστρας Soph. 318. ὃς γὰρ ἂν σφαλῇ εἰς ὀρθὸν ἕστη Eur. 262, 3. οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας στάς Eur. 282, 23. στὰς ἐν μέσοισιν εἶπε Eur. 305, 2. τρίαιναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις Eur. 360, 47.

ἱστίον: ἱστία Eur. 773, 37.

ἱστορία: ὄλβιος ὅστις τῆς ἱστορίας ἔσχε μάθησιν Eur. 910.

ἱστός: ἁρπεδόνην τε λύσιν ἱστοῦ Aristiae 2 p. 726.

Ἴστρος: Ἴστρος τοιαύτας παρθένους ἐξεύχεται τρέφειν (al. παρθένους λοχεύεται et μαιεύεται) Aesch. 155. cf. Aesch. 197.

ἴστωρ: γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι σοφοῦ τινος γένοιτ' ἂν ἴστορος λόγων Apollon. 2, 2 p. 825.

ἰσχάς: ναῦται δ' ἐμηρύσαντο νηὸς ἰσχάδα Soph. 694.

ἰσχναίνω: κἀκ τῶνδ' ἔπινε βρῦτον ἰσχναίνων χρόνῳ Aesch. 124.

ἰσχυρός: ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ Eur. 290.

ἰσχύς: ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη Aesch. 381. μακρὰ γὰρ ἰσχὺς μᾶλλον ἀρσένων μένει Eur. 24, 2. ἦν χρόνος ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος καὶ θηριώδης ἰσχύος θ' ὑπηρέτης Crit. 1, 2 p. 771. ὅστις κατ' ἰσχὺν πρῶτος ὢν ἠτάζετο Eur. 1048, 4.

ἰσχύω: τἀληθὲς ἀεὶ πλεῖστον ἰσχύει λόγου Soph. 869. εἷς τ' αὖ πόλεμον ἰσχύει μέγα Eur. 200, 2. κεῖνο δ' ἰσχύει μέγα Eur. 249, 2. τό τοι δίκαιον ἰσχύει μέγα Eur. 343. οὐδεὶς ἀνάγκης μεῖζον ἰσχύει νόμος adesp. 502. μακάριος ὅστις αὐτὸς ἰσχύων ἔτι παῖδας - ἀλκίμους ἔχει Dicaeog. 2 p. 775.

ἴσχω: ἴσχειν κελεύω χεῖρα διψῶσαν φόνου adesp. 96.

ἴσως: οὐ γὰρ ὀρθῶς ταῦτα, γενναίως ⟨δ'⟩ ἴσως ἔπραξας Eur. 97. ἴσως ἀλάστορ' οὐκ ἐτόλμησεν κτανεῖν Eur. 513. λοιπόν ἐστ' ἴσως ἐμὲ - τά γε δίκαι' αὐτὴν λέγειν Eur. 953, 4. ἀλλ' ἀγνοῶ δὴ τυχὸν ἴσως ἄφρων ἐγὼ οὖσα Eur. 953, 9. περὶ τῶν γ' ἑαυτῆς πραγμάτων ἴσως φρονεῖ Eur. 953, 12. ἔστιν δ' ἴσως αὐτοῖσιν ὀλέθρου κοὐχ ἑταίρας ἀρραβών Pyth. 1, 17 p. 811.

Ἰταλία — Soph. 541. 543.

ἰταμός: κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις Aesch. 282.

ἴτηλον (?) Aesch. 42.

ἴτριον: ἐγὼ δὲ πεινῶσ' αὖ πρὸς ἴτρια βλέπω Soph. 189.

† ἴττυγα Aesch. 427.

Ἴτυς: μέλπει δ' ἐν δένδρεσι λεπτὰν ἀηδὼν ἁρμονίαν ὀρθρευομένα γόοις Ἴτυν Ἴτυν πολύθρηνον Eur. 773, 26.

ἴυγξ: τοίαν *Πέλοψ *ἴυγγα θηρατηρίαν ἔρωτος, ἀστραπήν τιν' ὀμμάτων ἔχει Soph. 433.

Ἴφικλος: ἐγένοντο τοῦ μὲν Ἡρακλῆς, τοῦ δ' Ἴφικλος (Ἶφιτος ll.) adesp. 400.

(Ἶφιτος cf. Ἴφικλος.)

Ἶφυς — Aesch. 21.

ἰχθύς: τὸν ἰχθύων γάρον Aesch. 211. χορὸς δ' ἀναύδων ἰχθύων ἐπερ-

ρόθει Soph. 695. εἰσέρχεται μὲν ἰχθύων πλωτῷ γένει Soph. 855, 9.

ἴχνος: οἱ δὲ Θεστίου παῖδες τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδός Eur. 530, 7.

ἰώ: ἰὼ Κάικε Μύσιαί τ' ἐπιρροαί Aesch. 143. ἰὼ βαλλήν Soph. 472. ἰώ, πύλαισιν ἤ τις ἐν δόμοις Eur. 623, 2. ἰώ μοί μοι Eur. 781, 65. 75. ἰὼ τέκνον Eur. 781, 77. ἰὼ τυραννὶ βαρβάρων ἀνδρῶν φίλη adesp. 359.

Ἰώ — Soph. 259.

ἰώδης: ἰώδη Soph. 210.

ἰῶμαι: ἀλλὰ τῷ νόμῳ ἰώμεθ' αὐτάς Eur. 292, 6. μὴ κακοῖς ἰῶ κακά Aesch. 349. κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά Soph. 74, 2. εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακά Soph. 513. (cf. ἀκοῦμαι.) θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει Eur. 339, 6. ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον ἰάσατ' ἤδη μᾶλλον ἢ τεμὼν χρόα Eur. 1072, 2.

ἰῶτα: δέλτ' ἰῶτα καὶ τρίτον Ω νῦ τό τ' Υ πάρεστι Ach. 33, 2 p. 754.

K.

Καδμηίς: Θήβας - τὰς Καδμηίδας (Καδμηίας ll.) adesp. 177, 2.

Κάδμος: Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών, Ἀγήνορος παῖς Eur. 819.

κάδος: ὀπὸν - στάζοντα τομῆς χαλκέοισι κάδοις δέχεται Soph. 491, 3.

καθαιρῶ: ἐν γὰρ βραχεῖ καθεῖλε κὠλίγῳ χρόνῳ πάμπλουτον ὄλβον δαίμονος κακοῦ δόσις Soph. 588, 4. μί' ἡμέρα τὰ μὲν καθεῖλεν ὑψόθεν, τὰ δ' ἦρ' ἄνω Eur. 420, 3. καθελὼν Soph. 203. Ζεὺς - καθελὼν μὲν δοκέοντ', ἀδόκητον δ' ἐξαείρων adesp. 482, 4.

καθαίρω: διὰ ψήκτρας σ' ὁρῶ - καθαίρονθ' ἵππον αὐχμηρᾶς τριχός Soph. 434, 2. ἢν μὴ καθάρῃς κἀλέσῃς adesp. 134. καθαίρομαι γῆρας Aesch. 45. ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα Aesch. 354.

καθαπτός: θύρσοισι καὶ νεβρῶν δοραῖς καθαπτός Eur. 752, 2.

καθαρεύω: ἃ δ' ἄναγν' ἔσθ' ἱερεῦσιν καθαρεύειν φράσομεν Phryn. 15 p. 723.

καθαρτής: στρατοῦ καθαρτής Soph. 31.

καθέρπω: ἀπ' ὀρθίων πάγων καθεῖρπεν ἔλαφος Soph. 86, 2.

κάθεφθος: κεκερματίσθω δ' ἄλλα μοι παροψίδων κάθεφθα καὶ κνισηρὰ παραφλογίσματα Ach. 7, 2 p. 748.

καθηγητής adesp. 591.

κάθημαι: (cf. κλίνω.) πρόσω δὲ βάντι ποταμὸν Ἦλις ἡ Διὸς γείτων κάθηται Eur. 1083, 14. καθῆσθ' ἂν ἐν δόμοισιν Eur. 709. εὕδοντι καὶ στείχοντι καὶ καθημένῳ adesp. 493, 2. χρόνου τε διατριβὰς σοφωτάτας ἐφηῦρε φλοίσβου μετὰ κόπον καθημένοις Soph. 438, 3. πλούτῳ δ' ἀρετὰν κατεργάσασθαι δοκεῖτ', ἐν ἐσ-

θλοῖς δὲ καθήσεσθ' (?) ἄνολβοι Eur. 960, 2.

καθίζω: οἳ δ' ὑπ' εὐσκίους ‹θάμνους κα›θῖζον Eur. 495, 37. οὐρὰν δ' ὑπίλασ' ὑπὸ λεοντόπουν βάσιν καθίζετο (al. καθέζετο) Eur. 540, 2.

καθίημι: κρατὸς ἐξ ἄκρου δεινὸν καθιεὶς πρίον' εἰς ἄκρους πόδας adesp. 114, 3. τὸ λαιψηρὸν φρενῶν εἰς συμφορὰν καθῆκε (al. καθίστησι) πολλὰ δὴ βροτούς Eur. 1032, 2.

καθικνοῦμαι: αἰχμὴ δ' ἐξ Ἄρεως καθίκετο (?) Aesch. 99, 16.

καθίστημι: (cf. καθίημι.) τὴν παραυτίχ' ἡδονὴν ἔχθραν καθίστησ' εἰς τὸν ὕστερον χρόνον Crit. 3, 3 p. 774. ὤφειλε δῆθεν, εἴπερ ἔστ' ἐν οὐρανῷ Ζεύς, μὴ τὸν αὐτὸν δυστυχῆ καθιστάναι (al. καθεστάναι) Eur. 900, 2. ποῖ πόδα πτερόεντα καταστάσω Eur. 781, 62. χώριζε θνητῶν τὸν θεὸν καὶ μὴ δόκει ὅμοιον ἑαυτῷ σάρκινον καθεστάναι Aesch. 464, 2. ὅρκου δὲ προστεθέντος ἐπιμελεστέρα ψυχὴ κατέστη Soph. 431, 2. ὅταν τις αἵματος μέλλῃ πέρι λέγειν καταστὰς εἰς ἀγῶν' ἐναντίον Eur. 67, 2. ἐξίτηλος ἀρετὴ καθίσταται Eur. 497, 6. μελέτῃ χρονισθεῖσ' εἰς φύσιν καθίσταται adesp. 516.

καθορῶ: ἀθανάτου καθορῶν φύσεως κόσμον ἀγήρων Eur. 910, 5. ὅθεν κατεῖδον τὴν βεβακχιωμένην βροτοῖσι κλεινὴν Νῦσαν Soph. 874. ἑαυτὴν ὡς κατεῖδ' ἐγκύμονα Eur. 1132, 35. ἵν' ἀστραπὰς κατεῖδεν οὖσας Crit. 1, 32 p. 771. Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας adesp. 446.

καθοσιῶ: καθωσίωσε Eur. 539.

καί passim. A) κἀγαθός, κἀγαθῆς, κἀγαθῷ, κἀγαθοί, κἀγαθῶν, κἀγαθοῖς, κἀγαθούς, κἀγαθά v. ἀγαθός. κἀγκυλητά. κἀγρίῳ. κἀγύναιξ. κἄδικα, κἀδικώτατος. κἀκροθίνια. κἀκρότητα. κἀλέσῃς. κἄλλος, κἄλλο. κἀμαθῆ. κἄν v. infra C) c). κἀνακίρναται. κἀνακουφίζει. (κἄνανδροι cf. ἀνδρεῖος.) κἀνάξιοι. κἀναπαιδεύω. κἀνάρατος. κἀνάσχεσθε. κἀνέδωκαν. κἀνέμων. κἀνέστιος. κἀνέφηνεν. κἀνθρώπων. κἀντίπαιδα. κἀπάται. κἀπό Soph. 482. κἀποβάς. κἀποδηλώσας. κἀποδημοῦντος. κἀποκλαύσασθαι. κἀποκρύπτεσθαι. κἀπομαγμάτων. κἀποπερκοῦται. κἀποσῴσαιο. *κἀποτεμεῖν. κἀποφώλιον. κἀργείᾳ. κἀργυρᾶ. κἀρετή, κἀρετήν. κἀσπούδαστος. κἀστραπῇ. κἀσφαλέστερον v. ἀσφαλής. κἀτενής. καὖθις. καὐτός Soph. 215, 2. *Eur. 365. adesp. 314. 515, 2. καὐτόν Eur. 1129, 2. χαὐτοῦ Aesch. 304, 6. κἄν v. infra C) h). κἀγώ, κἄγωγε. κεἰ v. infra C) i). κεἰς Soph. 431, 3. 868. Eur. 492, 4. κᾆτα Soph. 579, *2. Eur. 464. 953, 31. 1132, 13. κἀκ Aesch. 124. Soph. 399, 5. Eur. 100, 2. Mosch. 6, 30 p. 814. κἀκείνῳ Eur. 953, 18. κἀκεῖνα Soph. 399, 4 (?). κἀκπονεῖν. κἀλέφαντος. κἀμοί, κἀμέ. κἀν Soph. 704, 3. Eur. 495, 5. 573. 585. 794. 813, 2. 865. 880, 2. 1054, 3. 1078, 2. Aesch. Alex. 1, 2 p. 824. adesp. 414, 2. 545, 2. κἀξαμαρτάνειν. κἀξανίσταμαι. κἀξαρτᾶσθε. κἀξεπέπληκτο. κἀξεπεσφραγίζετο. κἀξεργάζεται. κἀξηνάγκασεν. κἀξομοιοῦσθαι. κἀξορμενίζει. κἀξυπηρετεῖν. κἀπεί Eur. 495, 22. κἄπειτα Aesch. 31. 43.

Soph. 1027, 9. Eur. 340, 3. 506, 2. Crit. 1, 5 p. 771. κἀπεχόρτασεν. κἀπί Soph. 778. 787, 8(?). Eur. 93, 2. 183. 322. 401, 3. 431, 3. 675, 2. 684, 4. 898, 3. 908, 8. κἀπιβωμίῳ. κἀπικινδύνως. κἀπιμοιρᾶσθαι. κἀπιτιμηταί. κἀπιχαλκεύειν. κἀπιχωρίοις. κἄστι Soph. 328, 4. κἄστιν Eur. 365, 2. *χἀτέρας Eur. 1132, 16. χἄτεροι Eur. 1077. χἄτερα Eur. 757, 3. κἀφθόνησα. χή Eur. 1063, 16. *χήμᾶς Eur. 1063. χώ Soph. 239, 2. Eur. 20, 2. 262, 3. Agath. 13 p. 766. adesp. 396. κώδυνοσπάδος. χοί Eur. 324, 4. κώλίγῳ. κώξύθυμος. χώπόθεν. κώρέων. χὥστις Eur. 282, 24. 812. 4. χὥτῳ Eur. 285, 4. χὥτι Aesch. 70, 2. Eur. 629. κὥστρεια. χὥταν Soph. 787, 7. Sosith. 2, 12 p. 822. κοὐ Aesch. 206, 2. Soph. 25. *76. Eur. 36, 2. 266, 3. 371. 495, 20. 564, 2. 657, 2. 688, 2. 918, 5. Theod. 8, 5 p. 804. κοὐδαμῇ adesp. 11. κοὐδαμῶς cf. adesp. 156. κοὐδείς Soph. 103, 10. Eur. 273, 3. κοὐδέν Eur. 360, 55. 909, 12. κοὐκ Soph. 81. 294. 338. Eur. 484. 571. 578, 9. 635, *3. 916, 4. Ach. 33, 3 p. 754. adesp. 283. κοὐκέτι Eur. 502, 4. κοὔποτε Eur. 518, 5. 533, 4. 998. κοὔπω Aesch. 162, 4. κοὔτε Eur. 185, 4. χοὗτος Eur. 572, 3. κοὐχ Eur. 413, 3. Pyth. 1, 18 p. 811. κοὐχί adesp. 450, 2. χὕδατος. χὑπό Theod. 9, 4 p. 804. κώμολίνου. — καὶ Ἀκαρνᾶνας Soph. 249, 3. καὶ ἀτρείδαν Soph. 801, 2. καὶ ὠφελίαν Eur. 78. καὶ ἔρως Eur. 773, 45. καὶ ὅπῃ (?) καὶ ὅπως Eur. 910, 7. καὶ ὁ (?) adesp. 129, 9.

B) a) ψαλίδας, τιάρας καὶ σισυρνώδη στολήν Soph. 379. δέλτ' ἰῶτα καὶ τρίτον Ω Ach. 33, 2 p. 754. λευκός, τί δ' οὐχί; καὶ καλῶς ἠφευμένος ὁ χοῖρος Aesch. 310. ἀρχὴν βροτείου καὶ κατάστασιν βίου Mosch. 6, 2 p. 813. εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ, ἔχει λόγον καὶ τοῦτο Eur. 208. Ζεὺς καὶ θεοὶ βρότεια λεύσσοντες πάθη Eur. 991, 2. σοφοῖς μὲν αἰνικτῆρα θεσφάτων ἀεί, σκαιοῖς δὲ φαῦλον κἀν βραχεῖ διδάσκαλον Soph. 704, 3. σῖγα καὶ βραδεῖ ποδὶ στείχουσα μάρψει Eur. 979, 3. ὦ παγκακίστη καὶ γυνή Eur. 666. τὰ πολλὰ φροῦδα καὶ καλῶς (?) εἰρημένα Soph. 666, 6. ἡ πολλὰ καὶ δύσγνωστα βουλεύει θεός Eur. 947. τούτῳ δὲ - πολλὰ κἀγάθ' οἱ θεοὶ - δοῖεν adesp. 32. δοῦναι δὲ πᾶς τις μᾶλλον ὀλβίῳ κακῷ πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ Eur. 326, 7. παπαῖ, νέος καὶ σκαιὸς οἷός ἐστ' ἀνήρ Eur. 510. ὡς ἡδεῖα καὶ μοχθηρὸς ⟨εἶ⟩ Eur. 875. τὰ καλὰ *καὶ ψευδῆ λέγων Eur. 1035. ἀλλ' αἰσχρὸν εἰπεῖν καὶ σιωπῆσαι βαρύ Eur. 883. δοκεῖ πονηρὰ καὶ δοκῶν (al. κἀδικῶν) ἁλίσκεται Eur. 835, 3. εὐνὴν κρυφαίαν γνοῦσα καὶ μὴ γνοῦσα δή Eur. 1132, 14. τοὺς ἐρῶντας αὐτὸς ἵμερος δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προσίεται Soph. 153, 9. οὐ γάρ τι βουλῆς ταὐτὸ καὶ δρόμου τέλος Soph. 772. χῶρος γὰρ αὐτός ἐστιν ἀνθρώπου φρενῶν, ὅπου τὸ τέρπον καὶ τὸ πημαῖνον φύει (?) Soph. 824, 2. χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα adesp. 560. οὐκ ἐν γυναιξὶ - ἀλλ' ἐν σιδήρῳ κἀν ὅπλοις τιμὰς ἔχειν Eur. 880, 2.

ἡλίσκετ' ἄρα καὶ πρὸς ἀσθενῶν ταχὺς καὶ πρὸς χελώνης αἰετός Ach. 34 p. 755. ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῶν νεκροί, ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι Aesch. 38. εἰς Ἀμφιλόχους καὶ Ἀκαρνᾶνας Soph. 249, 3. ἐκ γὰρ πατρὸς καὶ μητρὸς ὅστις ἐκπονεῖ σκληρὰς διαίτας οἱ γόνοι βελτίονες Eur. 525, 4. οὐ γὰρ παρὰ κρατῆρα καὶ θοίνην μόνον τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει Eur. 642. πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος Eur. 889. εἰς οὕτω μέγαν ἐλθόντ' ἀγῶνα καὶ δυσέκφευκτον κρίσιν Theod. 10, 4 p. 805. ἅπαντ' ἐς Ἅιδην ἦλθε καὶ Λήθης δόμους adesp. 372, 4. — ἄνδρας χρὴ σοφούς τε κἀγαθοὺς φύλλοις στέφεσθαι, χὥστις ἡγεῖται πόλει κάλλιστα Eur. 282, 24. κἀγὼ μὲν οὕτω χὥστις ἔστ' ἀνὴρ σοφὸς λογίζομαι τἀληθές Eur. 812, 4. τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθα - ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν † ὄψιν Eur. 52, 3. μισῶ πολίτην ὅστις ὠφελεῖν πάτραν βραδὺς φανεῖται - καὶ πόριμον αὐτῷ, τῇ πόλει δ' ἀμήχανον Eur. 886, 3. — ἀλλ' ἴθι χαίρων καὶ πράξειας κατὰ νοῦν τὸν ἐμόν Soph. 278. ἀλλ' ὦ τέκνον μοι δὸς χέρ', ὡς θίγῃ πατήρ, καὶ χαῖρε Eur. 362, 33. κλίθητι καὶ πίωμεν Eur. 691. εὐθεῖαν ἕρπε τήνδε· καὶ πρώτιστα μὲν βορεάδας ἥξεις πρὸς πνοάς Aesch. 195. ὦ πατρίς, εἴθε πάντες οἳ ναίουσί σε οὕτω φιλοῖεν ὡς ἐγώ· καὶ ῥᾳδίως οἰκοῖμεν ἄν σε κοὐδὲν ἂν πάσχοις κακόν Eur. 360, 54. ξύμπαντά τ' εἰπὼν θεοφιλεῖς ἐμὰς τύχας παιᾶν' ἐπηυφήμησεν εὐθυμῶν ἐμέ. κἀγὼ τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα ἤλπιζον εἶναι Aesch. 350, 5. ὠθούμεθ' ἔξω καὶ διεμπολώμεθα - αἳ μὲν ξένους πρὸς ἄνδρας, αἳ δὲ βαρβάρους - καὶ ταῦτ', ἐπειδὰν εὐφρόνη ζεύξῃ μία, χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν Soph.. 524, 11. ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλά, ἢ τοῖς ἐρῶσιν εὐτυχῶς συνεκπόνει - καὶ ταῦτα μὲν δρῶν τίμιος θεοῖς ἔσῃ, μὴ δρῶν δέ Eur. 136, 5. φήμ' ἐγὼ τυραννίδα κτείνειν τε πλείστους κτημάτων τ' ἀποστερεῖν - καὶ ταῦτα δρῶντες μᾶλλόν εἰσ' εὐδαίμονες τῶν εὐσεβούντων Eur. 286, 8. τρεῖς εἰσιν ἀρεταὶ τὰς χρεὼν σ' ἀσκεῖν - καὶ ταῦτα δρῶν κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί Eur. 853, 3. ἔν ἐστι πάντων πρῶτον εἰδέναι τουτί, φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως· χοὐτός γ' ἀνὴρ ἄριστος αἵ τε συμφοραὶ ἧσσον δάκνουσιν Eur. 572, 3. ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς - ἔχειν τι κέρδος - τοὺς δ' ὄντας ἀδίκους - τὴν ἐναντίαν (?) δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν· κοὐδεὶς ἂν οὕτως ηὐτύχει κακὸς γεγώς Soph. 103, 10. φρονῶ δ' ὃ πάσχω, καὶ τόδ' οὐ σμικρὸν κακόν Eur. 205. ὁρᾷς τυράννους διὰ μακρῶν ηὐξημένους, ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα τὰ μὲν καθεῖλεν ὑψόθεν, τὰ δ' ἦρ' ἄνω Eur. 420, 2. ἐλοιδόρουν, ὡς δειλὸς εἴη θάνατον ἐκποδὼν ἔχων. καὶ νῦν λόγοισι τοῖς ἐμοῖς ἐναντίως πέπτωχ' ὁ τλήμων Eur. 816, 5. — καὶ νῦν τὰ δεινὰ ταῦτα καὶ τὰ πόλλ' ἔπη εἰς ὧδε μικρὸν τεῦχος ἤθροισεν τύχη Patrocl. 1 p. 830. σὺ δ' ἀνδρί μ', ὡς φής, ἐκδίδως νῦν πλουσίῳ - καὶ ποῦ τοσ-

κρείσσων: οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι οὔτ' ἐξεπομβρῶν οὔτ' ἐπαυχμήσας φίλος Soph. 481, 3. κρείσσων γὰρ οὔτις χρημάτων πέφυκ' ἀνήρ Eur. 325. ἐν τούτῳ δέ μου τὴν πεῖραν εὐθὺς λάμβαν' εἰ κρείσσων ἔσῃ Eur. 691, 2. κρείσσων δὲ βαιὸς ὄλβος ἀβλαβὴς βροτοῖς ἢ δῶμα πλούτῳ δυσσεβῶς ὠγκωμένον Eur. 825. ψυχὴ γὰρ εὔνους καὶ φρονοῦσα τοὔνδικον κρείσσων σοφιστοῦ παντός ἐστιν εὑρετής Soph. 97, 2. πολλοῦ γὰρ χρυσοῦ καὶ πλούτου κρείσσων πάτρα σώφρονι ναίειν Eur. 1046, 2. τὸ μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι κρεῖσσον κακῶς πάσχοντα Aesch. 401, 3. ὅρα μὴ κρεῖσσον ᾖ καὶ δυσσεβοῦντα τῶν ἐναντίων κρατεῖν ἢ δοῦλον αὐτὸν ὄντα τῶν πέλας κλύειν Soph. 82. κρεῖσσον θεοῖς γὰρ ἢ βροτοῖς χάριν φέρειν Soph. 208. τὸ μὴ γὰρ εἶναι κρεῖσσον ἢ τὸ ζῆν κακῶς Soph. 448. κρεῖσσον δὲ πλούτου καὶ βαθυσπόρου χθονὸς ἀνδρῶν δικαίων κἀγαθῶν ὁμιλίαι Eur. 7. ἡ που κρεῖσσον τῆς εὐγενίας τὸ καλῶς πράσσειν Eur. 9. κρεῖσσον ὄλβου κτῆμα Eur. 191. εἰ γὰρ εὖ φρονεῖν ἔχω, κρεῖσσον τόδ' ἐστὶ καρτεροῦ βραχίονος Eur. 199, 3. κρεῖσσόν τ' ἐστὶ πλουσίου γάμου ‹γένος› Eur. 232, 2. ὀλίγον ἄλκιμον δόρυ κρεῖσσον † στρατηγοῦ μυρίου στρατεύματος Eur. 243, 2. ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος Eur. 355. καὶ κτῆμα δέ -

κάλλιστον τόδε, πλούτου δὲ κρεῖσσον Eur. 518, 2. ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων ἀλόχου τε κεδνῆς, ὡς μόνον τῶν χρημάτων ἧ κρεῖσσόν ἐστιν ἀνδρί, σώφρον' ἣν λάβῃ Eur. 543, 5. τὸ μὴ ζῆν κρεῖσσόν ἐστ' ἢ ζῆν κακῶς Eur. 596. οὐκ ἔστι κρεῖσσον ἄλλο πλὴν κρατεῖν δορί Eur. 731. τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτοῖς Eur. 908. γνώμη δὲ κρεῖσσόν ἐστιν ἢ ῥώμη χερῶν Agath. 27 p. 768. σοφῆς δὲ πενίας σκαιότητα πλουσίαν κρεῖσσον σύνοικόν ἐστιν ἐν δόμοις ἔχειν Crit. 5, 2 p. 774. ὅλως τὸ κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα Chaer. 30 p. 789. γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν Chaer. 32 p. 790. γῆρας λεόντων κρεῖσσον ἀκμαίων νεβρῶν Hippoth. 5 p. 828. ἃ με κερδαίνοντα κεκλῆσθαι κακόν· κρεῖσσον γὰρ ἢ σέβοντα τοὺς θεῶν νόμους πένητα ναίειν adesp. 181, 2. πολλῷ δὲ κρεῖσσόν ἐστι μὴ δεδοικότα παθεῖν τὸ μέλλον δεινὸν ἢ δεδοικότα adesp. 324. κρεῖττόν τ' (?) ἀμύνειν adesp. 537. σιγᾶν φρονοῦντα κρεῖσσον' εἰς ὁμιλίαν πεσόντα Eur. 29. πολλοὶ δὲ λόγχαις πολεμίων ἀμείνονες ἥσσους γεγῶτες κρείσσον' ἦλθον εἰς τύχην Eur. 301, 4. ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν Eur. 718. πολέμοις δ' Ἄρεως κρεῖσσον' ἔχων δύναμιν adesp. 129, 5. *κρείσσω γὰρ οὔτε δοῦλον οὔτ' ἐλεύθερον τρέφειν ἐν οἴκοις ἀσφαλὲς τοῖς σώφροσιν Eur. 251. οὗτοι γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν κακῆς ἀνὴρ κτήσαιτ' ἄν οὐδὲ σώφρονος κρεῖσσον Soph. 621, 3. ἢ λέγε τι σιγῆς *κρεῖσσον ἢ σιγὴν ἔχε Dionys. 6 p. 795. ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν Eur. 244. πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων σφάλλουσιν ἡμᾶς *κρείσσονες πεφυκότες Eur. 972, 2. πολλοὶ μαθηταὶ κρείσσονες διδασκάλων adesp. 107. ἄρχεσθαι χρεὼν κακοὺς ὑπ' ἐσθλῶν καὶ κλύειν τῶν *κρεισσόνων Eur. 1107, 2. ἐχίνου - ὃς εὖτ' ἂν ἄλλων κρεισσόνων (al. θηρίων) ὁρμὴν μάθῃ Ion. 38, 3 p. 739. κρεισσόνων γὰρ καὶ δίκαια κἄδικ' ἔστ' ἀκουστέα adesp. 437. οἱ γὰρ ἥσσονες τοῖς κρείσσοσιν φιλοῦσι δουλεύειν βροτῶν Eur. 261, 2. δούλους γὰρ οὐ καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν Eur. 51, 2. ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους ἢ πολλὰ χρήματα Eur. 502. τὰ πράγματα κρείσσω νομίζω τῶν λόγων ἀεί ποτε Eur. 206, 6. τὰ φύντα γὰρ κρείσσω νομίζειν τῶν δοκημάτων χρεών Eur. 359, 2. — *κρείσσονας Aesch. 10.

κρεκτός: κρεκτοῖσι (al. θρεκτοῖσι) νόμοις Soph. 425.

κρέκω: *κρεκούσας μάγαδιν Dionys. Ath. 1, 10 p. 777.

κρέμαμαι: κάτω κρέμανται σπίζ' ὅπως ἐν ἕρκεσιν Soph. 398. οἰκτίρω σε κρεμαμένην ὀρῶν Eur. 127.

κρεμάννυμι: κρεμάσασα τόξον πίτυος ἐκ μελανδρύου Aesch. 251.

Κρέων: ὦ παῖ Κρέοντος Eur. 75.

Κρηθεύς: Ἕλλην γάρ - γίγνεται Διός, τοῦ δ' Αἴολος παῖς, Αἰόλου δὲ Σίσυφος Ἀθάμας τε Κρηθεύς τε Eur. 14, 3. Αἴσωνος υἱὸς Κρηθέως ἀφ' αἵματος adesp. 103. cf. Eur. Μελαν. ἡ σοφή p. 509.

(κρήμνημι cf. κρίμνημι.)

κρημνός: κρημνούς τε καὶ σήραγγας ἠδ' ἐπακτίας αὐλῶνας Soph. 505.

κρηναῖος: πρὸς ναρὰ καὶ κρηναῖα χωροῦμεν ποτά Soph. 564. πάρες, ὦ σκιερὰ φυλλάς, ὑπερβῶ κρηναῖα νάπη Eur. 308, 2.

κρήνη: ὦ γῆ Φεραία, χαῖρε, σύγγονόν θ' ὕδωρ Ὑπέρεια κρήνη Soph. 825, 2. τρέφουσι κρήνης φύλακα χωρίτην ὄφιν Soph. 206. παῖ τοῦ κρηνῶν πατρὸς Ὠκεανοῦ Soph. 248.

κρηνιάς: ὀρεσσιγόνοισι νύμφαις *κρηνιάσιν κυδραῖσι θεαῖσιν - Ἰνάχου - παισὶν βιοδώροις Aesch. 168, 2.

Κρής: ἐγὼ γένος μὲν εἰμὶ Κρὴς ἀρχέστατον Aesch. 187. ἀλλ' ὦ Κρῆτες, Ἴδης τέκνα Eur. 471. — πρὸς κρῆτα (?) πορθμόν Ion. 18, 3 p. 735.

Κρήτη: ἀνάσσων Κρήτης ἑκατομπτολιέθρου Eur. 472, 3. cf. Soph. 813. Eur. 820.

Κρητικός: Κρητικοὺς αὐλούς adesp. 419.

κρίβανος: ἐγὼ δὲ χοῖρον - τόνδ' ἐν ῥοθοῦντι κριβάνῳ θήσω Aesch. 309, 2.

κριθή: σιροὶ κριθῶν Soph. 254.

κριθῶ: ἕως ὅτου κριθώσης ὄνου (?) Soph. 792.

κρίμνημι: κρίμνη (κρήμνη ll.) σεαυτὴν ἐκ μέσης ἀντηρίδος Eur. 1111.

κρίνον: ῥόδ' ὀξυφεγγῆ κρίνεσιν ἀργεννοῖς ὁμοῦ Chaer. 8 p. 784.

κρίνω: τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς, ὅν γε Eur. 618. τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω, καλῶς γνῶναι τὸν ἐχθρὸν ἢ μάλισθ' ἁλώσιμος Eur. 743. ἐν τοῖσι μώροις τοῦτ' ἐγὼ κρίνω βροτῶν, ὅστις Eur. 784. τὸν ἐσθλὸν ἄνδρα - κἂν μήποτ' ὄσσοις εἰσίδω, κρίνω φίλον Eur. 902, 2. Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν Eur. 269. κρίνει φίλους ὁ καιρὸς ὡς χρυσὸν τὸ πῦρ adesp. 315. ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα κρίνουσιν θεοί Eur. 445. κόλαζε κρίνων, ἀλλὰ μὴ θυμούμενος Demon. 2 p. 827. ἐπὰν γὰρ ἡ κρίνουσα καὶ τὰς ἡδονὰς καὶ τἀνιαρὰ φροῦδος αἴσθησις φθαρῇ Mosch. 7, 3 p. 815. οὐ γὰρ ὀφθαλμὸς τὸ κρίνειν .. ἐστὶν ἀλλὰ νοῦς Eur. 909, 6. τἄλλα κρίνειν ἐστὶν ἀνόητον γυνή Eur. 953, 11. τὰς ἁμαρτίας καλῶς κρίνειν Chaer. 31, 2 p. 790. ⟨Ἀιδης⟩ κρινεῖ ταῦτα Eur. 465. κρινεῖ τις αὐτὸν πώποτ' ἀνθρώπων μέγαν Eur. 1041. κρινοῦσι (κρατοῦσι ll.) δ' οἵπερ καὶ κατηγοροῦσί μου Theod. 10, 7 p. 805. ἐξ οὗ γ' ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας Eur. 1109, 7. τὴν μὲν θανεῖν ἔκριναν, ἐμὲ δὲ μὴ κτανεῖν Theod. 2, 4 p. 801. οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης, μή μ' ἄφρονα κρίνῃς Eur. 969, 2. μηδεὶς μηδέν' ὄλβιόν ποτε κρίνῃ Dionys. 3, 2 p. 794. μὴ γὰρ καλῶς κρίνασ' ἐμαυτῆς τὸν ἴδιον βλάψω βίον Eur. 953, 38. ὡς ἔν γ' ἐμοὶ κρίνοιτ' ἂν οὐ καλῶς φρονεῖν ὅστις Eur. 347, 3. cf. διακρίνω.

κρίσις: πότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω ἢ σκληρ' ἀληθῆ; φράζε· σὴ γὰρ ἡ κρίσις Eur. 1036, 2. εἰς οὕτω μέγαν ἐλθόντ' ἀγῶνα καὶ δυσέκφευκτον κρίσιν Theod. 10, 4 p. 805.

κριτής: ἤδη δὲ πολλῶν ἠρέθην λόγων κριτής Eur. 812. ταῦτα μὲν χρόνος δείξει· μόνος γάρ ἐστιν ἀνθρώπων κριτής adesp. 512, 2.

Κροῖσος: Λυδίας μέγας δυνάστης Κροῖσος adesp. 372, 2.

κρόκη: ὅταν δὲ προσπέσῃ γῆρας πικρόν, τρίβωνες ἐκβαλόντες οἴχονται κρόκας Eur. 282, 12.

κρόκος: ἴων τε - συγκλῶσαι πτερὰ κρόκον θ', ὃς ἡλιῶδες εἰς ὑφάσματα πέπλων σκιᾶς εἴδωλον ἐξωμόργνυτο Chaer. 14, 14 p. 786. cf. Soph. 413.

Κρονία — Aesch. 11.

Κρόνος: θυηπολεῖν βρότειον - ἡ γέρος τῷ Κρόνῳ Soph. 122, 3. cf. Aesch. 35.

κροταλίζω: κροταλισάσης Eur. 769.

κρότημα: πάνσοφον κρότημα Λαέρτου γόνος Soph. 827.

κροτητός: κροτητὰ πηκτίδων μέλη Soph. 220. — πεπτὰ καὶ κροτητὰ τῆς ξουθοπτέρου πελάνῳ μελίσσης - δεδευμένα Eur. 467, 4.

Κρότος — Sosith. 5 p. 824.

κροῦμα: Ἀσιάδος κρούματα (?) Eur. 370.

κρούπαλον: ἀμφίλινα κρούπαλα Soph. 41.

κρούω: ῥυτῆρι κρούων γλουτὸν ὑπτίου ποδός Soph. 460, 2. ὡς μήτε κρούσῃς μήθ' ὑπὲρ χεῖλος βάλῃς Soph. 728. κρούσας - πλευρὰ πτεροφόρων ὀχημάτων Eur. 779, 6.

κρυερός: κρυερὰ Διόθεν θανάτου πεμφθεῖσα τελευτή Eur. 916, 6. κρυερὸν γὰρ οὐκ ἤλυξεν μόρον Phryn. 6 p. 721.

κρυμός: μῶν κρυμὸς αὐτῆς πλευρὰ γυμνάζει χολῆς Eur. 682, 3. κρυμὸν φέρων γνάθοισιν ἐξ ἀμφημέρου Soph. 466.

κρυπτός: κρυπταί (?) Eur. 1126. χρόνος τὰ κρυπτὰ πάντα εἰς φάος ἄγει adesp. 511.

κρύπτω: τῷ τε νεόζυγι σῷ πώλῳ, τὸν ἐν αἰθέρι κρύπτεις Eur. 781, 21. αἱ δὲ καλυπταὶ κίσται ῥιζῶν κρύπτουσι τομάς Soph. 491, 5. πρὸς ταῦτα κρύπτε μηδέν Soph. 280. λύπη μὲν ἄτῃ περιπεσεῖν αἰσχρᾷ τινι· εἰ δ' οὖν γένοιτο, χρὴ περιστεῖλαι καλῶς κρύπτοντα Eur. 460, 3. ἀλλ' οὐ γὰρ ἄν τὰ θεῖα κρυπτόντων θεῶν μάθοις ἄν Soph. 833. πύθοιντ' ἄν ἀστοὶ πάντες ἃ κρύπτειν χρεών Eur. 411, 4. ἐξὸν σιωπᾶν κἀν σκότῳ κρύπτειν τάδε Aesch. Alex. 1, 2 p. 824. κρύψω δέ νιν ξεστοῖσι θαλάμοις Eur. 781, 8. οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτος σκότος - ἔνθα τὴν φύσιν ὁ δυσγενὴς κρύψας ἄν εἴη σοφός Eur. 617, 3. ἐγκατάκλειστον δόμοις ἔργει - καὶ σκότῳ κρύψας ἔχει Eur. 1132, 40. τό τ' ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον Eur. 1063, 8. ἡ δ' ἀγνοοῦσα τὸν κεκρυμμένον δόλον Eur. 1132, 33. τὴν οὔτις ἤδειν ἐκ θεοῦ κεκρυμμένην Soph. 303. κρυφθεὶς δ' ὑπὸ γῆς κεῖται τεθνεὼς τὸν ἅπαντα χρόνον Soph. 518, 2. τὸν ἐν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν Soph. 513, 5. ἡ τῆς ἀνάγκης οὐδὲν ἐμβριθέστερον, ὑφ' ἧς τὸ κρυφθὲν ἐκφανεῖς ἀνάκτορον (?) Soph. 690, 4. ἐν γῆς φίλης μυχοῖσι κρυφθῆναι καλόν adesp. 281.

κρύσταλλος: ὅταν πάγου φανέν-

τος αἰθρίου χεροῖν κρύσταλλον ἁρπάσωσι *παῖδες *εὐπαγῆ Soph. 153, 4.

κρυφαῖος: παῖς τ' ἔσω *κρυφαῖος νέκυς Eur. 781, 67. εὐνὴν κρυφαίαν γνοῦσα καὶ μὴ γνοῦσα δή Eur. 1132, 14. μή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος· κλῇθρον γὰρ οὐδὲν ὧδ' ἂν εὐπαγὲς λάβοις, γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται (?) Soph. 849, 1. 3.

κρύφιος: λέγουσι Δήμητρός ποτ' ἄρρητον κόρην Πλούτωνα κρυφίοις ἁρπάσαι βουλεύμασιν Carc. 5, 2 p. 799.

κρωσσός: μήτε κρωσσοὺς μήτ' οἰνηροὺς μήθ' ὑδρηλοὺς λιπεῖν Aesch. 96.

κτέανον: Αὐτόλυκον πολέων κτεάνων σίνιν Ἄργει κοίλῳ Soph. 221, 2. — πρίν τινα συντυχίαν ἢ *κτεάτεσσιν ἐμοῖς ἢ σώματι τῷδε γενέσθαι Eur. 791, 3.

κτείνω: μὴ κτεῖνε· τὸν ἱκέτην γὰρ οὐ θέμις κτανεῖν Eur. 937. φήμ' ἐγὼ τυραννίδα κτείνειν τε πλείστους κτημάτων τ' ἀποστερεῖν Eur. 286, 6. εἰ γάρ σ' ἔμελλεν - κτείνειν πόσις Eur. 451. ἄκων κτενῶ σε adesp. 73. νῦν οὖν ἕκατι ῥημάτων *κτενεῖτέ με Eur. 938. ὅσπερ τὸν πρὶν ἔκτεινεν βαλών Eur. 495, 31. ἥτις ἂν κτείνῃ πόσιν Theod. 5 p. 803. (cf. πράσσω.) †κτεῖναι Eur. 815, 2. οὐ τὸν σὸν ἔκταν πατέρα Eur. 625. ὃ δ' αὐτὸς ὑμνῶν - αὐτὸς τάδ' εἰπών, αὐτός ἐστιν ὁ κτανὼν τὸν παῖδα τὸν ἐμόν Aesch. 350, 8. ἐγὼ δὲ δώσω παῖδα τὴν ἐμὴν κτανεῖν Eur. 360, 4. ἴσως ἀλάστορ' οὐκ ἐτόλμησεν κτανεῖν Eur. 513. τὸν ἱκέτην γὰρ οὐ θέμις κτανεῖν Eur. 937. τὴν μὲν θανεῖν ἔκριναν, ἐμὲ δὲ μὴ κτανεῖν Theod. 2, 4 p. 801.

κτῆμα: εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακά - ὁ χρυσὸς ἦσσον κτῆμα τοῦ κλαίειν ἂν ἦν Soph. 513, 3. ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή Eur. 164. κρεῖσσον ὄλβου κτῆμα Eur. 191. καὶ κτῆμα δέ - κάλλιστον τόδε, πλούτου δὲ κρεῖσσον Eur. 518. οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον Eur. 1029. ἓν δρᾷ μόνον δίκαιον - φθόνος· λυπεῖ γὰρ αὐτὸ τὸ κτῆμα (?) τοὺς κεκτημένους Carc. 8, 3 p. 800. (cf. πῆγμα.) ἄπυρος χρυσὸς γεγώς, ποθεινὸν εἰδὼς κτῆμα τοῦτο τοῖς βροτοῖς Eur. 1132, 31. κτείνειν τε πλείστους κτημάτων τ' ἀποστερεῖν Eur. 286, 6. ἀλλήλων χρόα σφάξειαν ἀμφὶ κτήμασιν τυραννικοῖς adesp. 458, 15.

κτῆσις: δούλου φρονοῦντος μᾶλλον ἢ φρονεῖν χρεὼν οὐκ ἔστιν - οὐδὲ δώμασιν κτῆσις κακίων οὐδ' ἀνωφελεστέρα Eur. 48, 4. τὰ λαμπρὰ τῆς τύχης τὴν κτῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει Mosch. 9, 6 p. 816. ἀρετῆς βέβαιαι δ' εἰσὶν αἱ κτήσεις μόνης Soph. 195.

κτίζω: αἱ δ' ἄλλαι πόλεις πεσσῶν ὁμοίως διαφοραῖς ἐκτισμέναι (al. διαφορηθεῖσαι βολαῖς) ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι Eur. 360, 9.

κτύπημα: ἵν' ἀστραπὰς κατεῖδεν οὖσας, δεινὰ δὲ κτυπήματα βροντῆς Crit. 1, 32 p. 771.

κτυπῶ: ἔκτυπον (?) ἄγων βαρὺν αὐλὸν τρέχοντι ῥυθμῷ Ion. 42 p. 740.

κτῶμαι: θάπτει τε τέκνα χἄτερ' αὖ κτᾶται νέα Eur. 757, 3. ἀδίκως

δὲ μὴ κτῶ χρήματα Eur. 362, 11. κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι Eur. 419, 2. κῆδος καθ' αὑτὸν τὸν σοφὸν κτᾶσθαι χρεών Eur. 214. κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν Eur. 459. μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν, ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο Eur. 20, 2. παῖδας θυραίους εἰς δόμους ἐκτήσατο Eur. 491, 2. οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο Eur. 1043. αἰδὼς ἀπώλεσ' αὐτόν, ἐρρέτω, κακή· πολλὴν γὰρ αὐτὴν - ἐκτήσατο adesp. 556, 2. γένος γὰρ εἰς ἔλεγχον ἐξιὸν καλὸν εὔκλειαν ἂν κτήσαιτο μᾶλλον ἢ ψόγον Soph. 101, 3. οὗτοι γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν κακῆς ἀνὴρ κτήσαιτ' ἄν οὐδὲ σώφρονος κρεῖσσον Soph. 621, 2. πῶς - κτήσαιτ' ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός Eur. 282, 6. τάχ' ἂν - φιλημάτων ὄχλῳ ψυχὴν ἐμὴν κτήσαιτο Eur. 323, 3. τὰ χρηστὰ δ' οὐδ' ἢν τὸν διδάσκαλον λάβῃ, ἐμνημόνευσεν, ἀλλὰ κέκτηται μόλις Soph. 1019, 9. ὅστις δ' ἄμεικτον πατέρ' ἔχει νεανίας - μεγάλα κέκτηται κακά Eur. 500, 2. τὰ σεμνὰ πάντα κέκτηται φθόνον adesp. 530. ἃ δ' οἱ πλουτοῦντες οὐ κεκτήμεθα Eur. 21, 6. ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα Eur. 400, 2. οἱ δ' ὀλωλότες οὐδὲν νοσοῦσιν οὐδὲ κέκτηνται κακά Eur. 833, 4. φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις κέκτησο Eur. 362, 19. κέκτησο δ' ὀρθῶς ἂν ἔχῃς ἄνευ ψόγου Eur. 417. ὅστις εὖ βίον κεκτημένος τὰ μὲν κατ' οἴκους ἀμελίᾳ παρεὶς ἐᾷ Eur. 187. εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος μηδὲν δόμοισι τῶν καλῶν πειράσεται Eur. 198. μορφὰς ἀτερπεῖς ὄψεσιν κεκτημένος Isid. 1 p. 829. ἡ γλῶσσα σιγὴν καιρίαν κεκτημένη Char. 2, 3 p. 826. κἂν ἄμορφος ᾖ πόσις, χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ Eur. 909, 5. χορὸς δ' ἀναύδων ἰχθύων ἐπερρόθει, σαίνοντες οὐραίοισι τὴν κεκτημένην Soph. 695, 2. τὸ δοῦλον οὐ λόγῳ ἔχοντες, ἀλλὰ τῇ τύχῃ κεκτημένοι Eur. 57, 2. ὦ χρυσέ - ὡς οὔτε μήτηρ ἡδονὰς τοίας ἔχει - οἵας σὺ χοὶ σὲ δώμασιν κεκτημένοι Eur. 324, 4. κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων Aesch. 389. ἓν δρᾷ μόνον δίκαιον - φθόνος· λυπεῖ γὰρ αὐτὸ τὸ κτῆμα τοὺς κεκτημένους Carc. 8, 3 p. 800. ὅτε μὲν ἔφασκον δοῦλον ἐκτῆσθαι βίον Pyth. 1, 11 p. 811.

κύαθος: ἢ κύαθον ἢ χαλκήλατον ἠθμὸν προσίσχων τοῖσδε τοῖς ὑπωπίοις Eur. 374.

κυαμοβόλως (?): κυαμοβόλως δικαστήν Soph. 266.

κύαμος: κυάμῳ πατρίῳ Soph. 371.

κυανωπός: νώτισμα θηρός - κυανωπὸν ὥς τις Ἶρις ἀντηύγει σέλας adesp. 541, 3.

Κυβέλη: Ἀσιάδος μιτρηφόρους Κυβέλας (?) γυναῖκας Diog. Ath. 1, 2 p. 776.

κυβευτής: στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει σοφὸν κυβευτήν, ἀλλὰ μὴ στένειν τύχην Soph. 861, 2.

κύβος: (cf. καλός p. 322.) βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέσσαρα Eur. 888. ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι Soph. 809. καὶ πεσσὰ πεντέγραμμα καὶ κύβων βολαί Soph. 396.

χρόνου τε διατριβὰς σοφωτάτας ἐφηῦρε - πεσσοὺς κύβους τε τερπνὸν ἀργίας ἄκος Soph. 438, 4.

κυδάζομαι: οὗτοι γυναιξὶ .. κυδάζεσθαι Aesch. 94.

κυδρός: κυδρός Ion. 13 p. 734. νύμφαις κρηνιάσιν *κυδραῖσι θεαῖσιν Aesch. 168, 2. — κύδιστ' Ἀχαιῶν Ἀτρέως πολυκοίρανε - παῖ Aesch. 238.

Κυθέρεια: εὔκαρπον Κυθέρειαν Soph. 763.

κύκλος: κύκλος τις ὡς τόρνοισιν ἐκμετρούμενος Eur. 382, 3. κύκλος γὰρ αὐτὸς (al. κύκλῳ γὰρ ἕρπει) καρπίμοις τε γῆς φυτοῖς θνητῶν τε γενεᾷ Eur. 415, 3. γραφῆς ὁ πρῶτος ἦν μεσόμφαλος κύκλος Agath. 4 p. 764. γραφῆς ὁ πρῶτος ἦν † μαλακόφθαλμος κύκλος Theod. 6 p. 803. πολὺς γὰρ ὅμιλος ποντίου κύκλου (?) σοβῶν Ach. 27 p. 753. βωμὸν τόνδε - κύκλῳ περίστητε Aesch. 379, 2 Αἰνέας - πάρεστ', ἐπ' ὤμων πατέρ' ἔχων - *κύκλῳ δὲ πᾶσαν οἰκετῶν παμπληθίαν Soph. 344, 4. ἐν χρήμασιν τόδ' ἐστί, μὴ γαυροῦ, πάτερ· κύκλῳ γὰρ ἕρπει· τῷ μὲν ἔσθ', ὃ δ' οὐκ ἔχει Eur. 22, 3. κύλικος ἑρπούσης κύκλῳ Eur. 468. κισσῷ τε ναρκίσσῳ τε τριέλικας κύκλῳ (?) στεφάνων ἑλικτῶν Chaer. 7 p. 784. ἐπελθεῖν πᾶσαν ἐν κύκλῳ χθόνα Carc. 5, 5 p. 799. πᾶς προσκυνεῖ δὲ τὸν στρέφοντα κύκλον ἡλίου Soph. 672. ἄκομπ' ἀλοιδόρητά τε ἐρρηξάτην ἐς κύκλα χαλκέων ὅπλων Soph. 768, 2.

κυκλῶ: οὐμὸς αἰεὶ πότμος ἐν πυκνῷ θεοῦ τροχῷ κυκλεῖται Soph. 787, 2. ἡ βαιὰ κύλιξ αὐτοῖς κυκλεῖται πρὸς μέτρον Lycophr. 3, 2 p. 818.

κυκλῶ: γυναῖκ' ἄνωχθι - *κυκλώσασθαι δόμους σεμνοῖσιν ὑμεναίοισιν Eur. 781, 34.

κυκλώπιος: κυκλώπιον τροχόν Soph. 207.

κύκλωψ: Τιρύνθιον πλίνθευμα, κυκλώπων ἔδος adesp. 269.

κύκνειος: οὐ χρυσόμορφος οὐδ' ἐπημφιεσμένος πτίλον κύκνειον Soph. 1026, 3.

Κυκνῖτις: Κυκνῖτις Soph. 455. βοὴν (?) Κυκνῖτιν Soph. 459.

κύκνος: μελιβόας κύκνος ἀχεῖ Eur. 773, 34.

Κύκνος: Κύκνου δὲ πρῶτα πρὸς δόμους ἐλήλυμεν Ach. 24 p. 752. cf. Soph. 460.

κυλίκιον: κυλίκιον ὑδαρὲς ὁ παῖς περιῆγε τοῦ πεντωβόλου Lycophr. 2 p. 817.

κυλίνδω: Νεῖλος - γαῖαν κυλίνδων πνευμάτων ἐπομβρίᾳ Aesch. 300, 3. τὸν ξένον δὲ δράγματι αὐτῷ κυλίσας Sosith. 2, 20 p. 822. τὸ δ' ἔγχος ἐν ποσὶν κυλίνδεται Soph. 713. κυλισθεὶς ὥς τις ὄνος ἰσόσπριος Soph. 336.

κύλιξ: ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ Soph. 554. ὡς ἐκ βραχείας δαιτὸς ἡ βαιὰ κύλιξ αὐτοῖς κυκλεῖται πρὸς μέτρον Lycophr. 3 p. 818. ἔσπεισα βαιᾶς κύλικος Soph. 39. κύλικος ἑρπούσης κύκλῳ Eur. 468.

κυλιχνίς: ἀμνὸν φέρειν κοινόν τε χρὴ κρατῆρα καὶ κυλιχνίδας Ach. 14, 2 p. 749.

κυλλαίνω: ἔσαινεν οὐρᾷ νῶτα κυλλαίνων κάτω Soph. 625.

κῦμα: ὅταν δ' ἐφέρπῃ κῦμα λοίσθιον βίου Lycophr. 5, 3 p. 818. οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν δυνάμεσθ'· ἔτι γὰρ θάλλει πενία Eur. 230. μεγάλῃ κύματος ἀλκῇ adesp. 413, 2. ἔνθεν ἐς Ἄργος διὰ κῦμα τεμὼν ἥκει Soph. 249, 5. ἐπὶ κῦμα cf. Soph. 263. ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις Aesch. 462. φροῦδος μὲν ἔσται κυμάτων ἅπας βυθός Soph. 1027, 6. δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων Eur. 1059. ἐν ὑγροῖς κύμασιν τεθνηκέναι Eur. 636, 6. παρ' ἀενάοις θαλάσσας κύμασιν Eur. 856, 2. ὁ κύματ' οἰκῶν ὄρνις Eur. 636, 5. πόντου κύματ' εὐρέος περᾷ Eur. 921. — ὃ μέν τις Λέσβιον φατνώματι κῦμ' ἐν τριγώνοις ἐκπεραινέτω ῥυθμοῖς Aesch. 78, 2.

κῦμα: γέμουσαν κύματος θεοσπόρου Eur. 106.

κυματοφθόρος (?): νομάδα κυματοφθόρον ἁλιαίετον Eur. 636, 2.

κύμβαλον: χαλκοκτύπων βόμβοις βρεμούσας ἀντίχερσι κυμβάλων Diog. Ath. 1, 4 p. 776. μέλη πάραυλα κἀκρότητα κύμβαλα adesp. 93.

κύμβη: ἵπποισιν ἢ κύμβαισι ναυστολεῖς χθόνα Soph. 123.

κυμβίον: φιάλας δὲ πεντήκοντα, δέκα δὲ κυμβία Astyd. 3, 2 p. 778.

κυναγός: ἤδη δ' εἰς ἔργα κυναγοὶ στείχουσιν θηροφόνοι Eur. 773, 31.

κυνάρα Soph. 323 (cf. add. p. XXIV).

κύναρος: κύναρος ἄκανθα πάντα πληθύει γύην Soph. 651.

κυνῆ: Ἀρκάδος (?) κυνῆ Soph. 250. δέξαι κυνῆν μοι Astyd. 2 p. 778.

κυνηγέτις: ὦ μοῖρα κεδνῶν καὶ κακῶν κυνηγέτι adesp. 504.

κυνηδόν: κυνηδὸν ἐξέπραξαν κνυζούμενον (?) Soph. 655.

Κυνοκέφαλοι Aesch. 431.

κυντερώτατα (?) Aesch. 432.

κυπάρισσος: ἀτρεκεῖς ἁρμοὺς κυπαρίσσου Eur. 472, 8.

κύπασσις: βραχὺν λίνου κύπασσιν - ἐσταλμένος Ion. 59 p. 744.

κύπελλον: ἐκφορεῖτε - κύπελλα καὶ μεσομφάλους Ion. 20, 2 p. 735.

Κύπριος: ἰσαργύρου τ' εἰς χεῖρα Κυπρίου λίθου δώσουσι κόσμον Ach. 5 p. 747.

Κύπρις s. κύπρις: τίς ἆρα Κύπρις ἢ τίς ἵμερος τοῦδε ξυνήψατο Soph. 790. ἥ τοι Κύπρις οὐ Κύπρις μόνον, ἀλλ' ἐστὶ πολλῶν ὀνομάτων ἐπώνυμος Soph. 855. ἦν δ' † ἂν προσῆται (?) Κύπρις, ἥδιστον λαβεῖν Eur. 162, 4. εἰ δ' ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ, οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν τρέφειν Eur. 324, 5. Κύπρις γὰρ οὐδὲ νουθετουμένη χαλᾷ Eur. 340. ἡ γὰρ Κύπρις πέφυκε τῷ σκότῳ φίλη Eur. 524. ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶντι δ' οὔ Eur. 895. πεινῶσιν γὰρ ἡ Κύπρις πικρά Ach. 6, 2 p. 748. πλήρει γὰρ ὄγκῳ γαστρὸς αὔξεται Κύπρις adesp. 186. λήγει δὲ Κύπρις θαλίαι τε νέων adesp. 397. ὕβρις τάδ', οὐχὶ (οὐχ ἡ ll.) Κύπρις ἐξεργάζεται adesp. 409. Κύπριδος δὲ μίσημ', Ἀρκὰς Ἀταλάντη Eur. 530, 4. πολὺς δὲ κοσσάβων ἀραγμὸς Κύπριδος προσῳδὸν ἀχεῖ μέλος Eur. 631, 2. πολλὴν ὀπώραν

Κύπριδος εἰσορᾶν παρῆν Chaer. 12 p. 785. πάντα τοι συντέμνεται Κύπριδι (Κύπρις ll.) τὰ θνητῶν καὶ θεῶν βουλεύματα Soph. 855, 17. τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ Eur. 23. ἀνδρὸς δ' ὁρῶντος εἰς Κύπριν νεανίου ἀφύλακτος ἡ τήρησις Eur. 162. καί μ' ἔρως ἔλοι ποτὲ οὐκ εἰς τὸ μῶρον οὐδέ μ' εἰς Κύπριν τρέπων Eur. 331, 2. Κύπριν δὲ τὴν Διὸς χαίρειν ἐᾶν Eur. 388, 5. ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα Eur. 400, 2. οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν νοσοῦσ' ὁμοίως τοῖς ἄγαν θηρωμένοις Eur. 428. ἠπίως τὴν τῶν τέκνων οἴσουσι κύπριν Eur. 951, 3. ἐξ οὗ γ' ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας Eur. 1109, 7. λαθραίαν κύπριν, αἰσχίστην νόσων adesp. 154. πότνια, σοὶ τάδ' ἐγὼ νυμφεῖ' ἀείδω, Κύπρι (κύπρις l.) θεῶν καλλίστα Eur. 781, 19. ὦ Κύπρις, ὡς ἡδεῖα καὶ μοχθηρὸς ⟨εἶ⟩ Eur. 875. cf. Agath. 31 p. 769.

Κύπρος: Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον Aesch. 463.

Κύρβαντες: κἀπὶ Κυρβάντεσι χορεύσατε Soph. 778.

κύρβις: ὅλπη παρῃωρεῖτο - τὸν Σπαρτιάτην γραπτὸν κύρβιν ἐν διπλῷ ξύλῳ Ach. 19, 3 p. 751.

κύριος: (πάλον?) γαίας Λακαίνης κύριον Eur. 1083, 9. τὸν δὲ κύριον Ἀιδην παρεστῶτ' οὐχ ὁρᾶτε πλησίον Sosiph. 3, 5 p. 820.

κυρίσσω: ὁ ταῦρος δ' ἔοικεν κυρίξειν Aesch. 23.

κυρῶ: εἰ δέ τις κυρεῖ γυναικὸς ἐσθλῆς Eur. 463, 3. τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ adesp. 547, 2. οὐμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει Aesch. 159. ὦ πολλὰ πλοῦτος δυστυχέστατος κυρῶν Carc. 10 p. 800. κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις Aesch. 282. ὡς ἡδὺ πατέρα παισὶν ἥπιον κυρεῖν Eur. 950.

κύρω: οὔτ' εἶπον οὐδὲν πρὸς ⟨σὲ⟩ κῦρον adesp. 226. μετρίων λέκτρων, μετρίων δὲ γάμων μετὰ σωφροσύνης κῦρσαι θνητοῖσιν ἄριστον Eur. 503, 3.

κύστις: τὰς μαλλοδέτας κύστεις Soph. 362.

κύτος: κοὔτ' ἂν ἀσπίδος κύτει ⟨καλῶς⟩ ὁμιλήσειας Eur. 185, 4. ἄδην δ' ἐλαίου στέρνα καὶ † ποδῶν κύτος χρίουσιν Ach. 4, 4 p. 747.

κύτταρος: κύτταροι Ach. 50 p. 758.

Κυχρεῖος: Κυχρεῖος πάγος Soph. 521.

κύω: κύουσα τίκτω ἡνίκ' ἠγόμην πάλιν Eur. 207. — (cf. δεύω.)

κύων: ὁ σκηπτροβάμων αἰετός, κύων Διός Soph. 799. κύων λαίθαργος εἶ Soph. 800. Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσῃ Eur. 968. καταστίκτου κυνὸς σπολὰς Λίβυσσα παρδαληφόρον δέρος Soph. 10. κυνὸς πελλῆς τε μηκάδος βοὸς ῥηνέων Soph. 468. Σφίγγα δυσαμεριᾶν πρύτανιν κύνα Aesch. 236. ῥινηλάτην κύνα adesp. 426. κύνες διημάθυνον ἄνδρα δεσπότην Aesch. 244. οὐ δῆκταί πως κύνες οἱ θεοί (?) Eur. 555. κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις Aesch. 282. ⟨δείπνου⟩ λείψαν' ἐκβάλλειν κυσίν Eur. 469. ἃ καὶ κυσὶν πεινῶσιν οὐχὶ βρώσιμα adesp. 118, 4. Ἀρκὰς Ἀταλάντη, κύνας καὶ

τόξ' ἔχουσα Eur. 530, 4. — ἄρκτου στροφάς τε καὶ κυνὸς ψυχρὰν δύσιν Soph. 399, 11. σειρίου· κυνὸς δίκην Soph. 735.

κώδων cf. Eur. 589.

κωδωνόκροτος: σὺν σάκει δὲ κωδωνοκρότῳ παλαισταί Soph. 775, 2.

κωκυτός: ἀοιδῶν μοῦνος ἐν στέγαις ἐμαῖς κωκυτὸς ἐμπέπτωκεν adesp. 387, 2. οὐ νάβλα κωκυτοῖσιν, οὐ λύρα φίλα Soph. 765.

Κωκυτός: Κωκυτοῦ τε περίδρομοι κύνες Eur. 383 (Ar. Ran. 472).

κωκύω: οὐκ οἶσθ', ἐπεί τοι κἂν ἐκώκυες μέγα adesp. 293.

κωλήν: κωλῆνες νεβρῶν Eur. 677.

κῶλον: ἐν δεσμοῖσι δραπέτης ἀνὴρ κῶλον ποδισθείς Soph. 60, 2. Κνώσια κῶλα adesp. 225. κῶλα ποικίλης νεβροῦ adesp. 419. — δίπλαζ' ἕκαστον κῶλον ἐν τάχει τάφου adesp. 166, 3.

κωλύω: τί δῆτα καὶ σὲ κωλύει ⟨λαβεῖν⟩ κέρδος Eur. 794, 3. οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ ἐσθλή Eur. 1055. (cf. κολούω.)

κωμάζω: ἢ τὰς ἀρύστεις ὧδ' ἔχουσ' ἐκώμασας Soph. 697, 2. κωμασάσης Soph. 220, 3.

κωμήτης: ἀλλ' ὦ θυρέτρων τῶνδε κωμῆται θεοί Ion. 37 p. 739.

κῶμος: χθονίας θ' Ἑκάτης κῶμον ἐδέξω adesp. 375, 2. σὰν χαρίεσσαν προσιδεῖν ὥραν καὶ καλλιχόρους ἀοιδὰς φιλοστεφάνους τε κώμους Eur. 453, 8.

κώπη: κώπης ἀνάσσων κἀποβὰς εἰς Μυσίαν ἐτραυματίσθην Eur. 705. — κώπην χρυσόκολλον Eur. 587.

κωτίλος: κωτίλος δ' ἀνὴρ λαβὼν πανοῦργα χερσὶ κέντρα κηδεύει πόλιν Soph. 622, 3.

κωφεύω: ἀλλ' ἦν ἀκύμων κωφεύουσα ῥέουσα (?) γῆ Mosch. 6, 13 p. 814.

κωφός: τὸ σῶμα κωφοῦ τάξιν εἴληφεν πέτρου Mosch. 7, 5 p. 815. λήθην τε τὴν πάντ' (?) ἀπεστερημένην κωφὴν ἄναυδον Soph. 609, 2. ἀλλ' οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον, ἀλλ' οὐδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ Soph. 837. ἡμῶν δ' ἐχώρει κωφὰ πρὸς γαῖαν βέλη Eur. 495, 27.

κωφῶ: οὐ κωφεῖ Soph. 213.

κωχεύω: πιστοί με κωχεύουσιν ἐν φορᾷ δέμας Soph. 304.

Λ.

λαβή: προσβαλλέτω τις χεῖρα φασγάνου *λαβῇ Ach. 37, 2 p. 755.

λάγδην: πόλις, ἐν ᾗ τὰ - δίκαια καὶ τὰ σώφρονα λάγδην πατεῖται Soph. 622, 3.

λαγός v. λαγώς.

λαγχάνω: κόμης δὲ πένθος λαγχάνω πώλου δίκην Soph. 598. τοῦ δυστυχοῦς τε λαγχάνων οὐκ ἄχθεται adesp. 366, 2. ὦ μάκαρ, οἵας ἔλαχες τιμάς Eur. 446. Σπάρτην ἔλαχες, κείνην κόσμει Eur. 723. πενία δὲ σοφίαν ἔλαχε Eur. 641, 3. θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα

τύμβον τε κοινὸν ἔλαχον εὐκλειάν τ' ἴσην Eur. 360, 33. ποῦ καί ποτ' οἰκεῖ σώματος λαχὼν μέρος Eur. 403, 3. εὐδαίμονες οἱ τότε γέννας ἀφθίτου λαχόντες Soph. 256, 2. ὅστις ἐλπίζει θεοὺς - γέρας λαχεῖν τόδε adesp. 118, 5. ὦ δαῖμον ὅς μ' εἵληχας, ὡς πονηρὸς εἶ adesp. 17. τῆς δὲ γῆς τὸ πρὸς νότον - εἵληχε Πάλλας Soph. 872, 8. ἀρχὴν δὲ τῶνδε - Ἀκρίσιος εἵληχεν Eur. 1132, 4. ἡδὺς συνοικεῖν καί τιν' εἰληχὼς χάριν Chaer. 36, 4 p. 790.

λαγών: τῆς δ' αὖ χορεία λαγόνα τὴν ἀριστερὰν ἔλυσε Chaer. 14, 3 p. 786.

λαγώς: γέρανοι, χελῶναι, γλαῦκες, ἴκτινοι, λαγοί (?) Soph. 107.

Λαέρτης: πάνσοφον κρότημα Λαέρτου γόνος Soph. 827.

λάζομαι: τοὺς αὐλοὺς μέθες καὶ θῶπλα λάζευ adesp. 381, 2.

λάθα: λάθα Περίδων στυγερὰ κἀνάρατος Soph. 145. cf. λήθη.

λάθρᾳ: οὐδὲ γὰρ λάθρᾳ δοκῶ - σοὶ Ζῆν' ἐς εὐνὴν ὥσπερ ἄνθρωπον μολεῖν Eur. 210. Ζεὺς - εὐνῇ συνελθεῖν λάθρᾳ πως ἠβούλετο Eur. 1132, 28. φυγῇ δὲ λάθρᾳ τῆσδε γῆς ὁρμωμένην μαθὼν πατήρ νιν, ἐγκατάκλειστον δόμοις ἔργει Eur. 1132, 38. τἀμφανῆ μὲν οἱ νόμοι ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ, λάθρᾳ δ' ἔπρασσον Crit. 1, 11 p. 771. κἂν λάθρᾳ πράσσωσιν ἢ λέγωσιν ἢ φρονῶσί ⟨τι⟩ Crit. 1, 14 p. 771.

λαθραῖος: λαθραίαν κύπριν, αἰσχίστην νόσων adesp. 154.

λαθραίως: Αὔγη γὰρ Ἀλέου παῖς με τῷ Τιρυνθίῳ τίκτει λαθραίως Ἡρακλεῖ Eur. 696, 5.

λαίθαργος: σαίνεις δάκνουσα καὶ κύων λαίθαργος εἶ Soph. 800. λαιθάργῳ ποδί adesp. 227.

λαιμός: ⟨παίσα⟩σα λαιμὸν ἥ πεσοῦσ' ἀπ' ἰσθμίου ⟨φρέατος ἐς⟩ κευθμῶνα Eur. 656.

λάινος: μυκαῖσι δ' ὠρέχθει τὸ λάινον πέδον Aristiae 6 p. 727. ἐξ αὐτομόρφων λαΐνων τυκισμάτων Eur. 125, 3. ἄπελθε λαΐνων σταθμῶν adesp. 44. οὔτε στεγήρης οἶκος οὔτε λαΐνοις εὐρεῖα πύργοις ὠχυρωμένη πόλις Mosch. 6, 7 p. 813.

Λάιος — Eur. Χρύσιππ. Eur. 841. Sosiph. 4 p. 820.

λαιός: τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδός Eur. 530, 7.

λαῖφος: φεύγει μέγα λαῖφος ὑποστολίσας adesp. 377.

λαιψηρός: τὸ λαιψηρὸν φρενῶν εἰς συμφορὰν καθῆκε πολλὰ δὴ βροτούς Eur. 1032.

Λάκαινα v. Λάκων.

λακίς: λακὶς χθονός adesp. 228.

λακιστός: λακιστὸν ἐν πέτραισιν εὑρέσθαι μόρον adesp. 291.

Λάκμος: ῥεῖ γὰρ ἀπ' ἄκρας Πίνδου Λάκμου τ' ἀπὸ Περραιβῶν Soph. 249, 2.

λακτίζω: πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου Eur. 604.

Λάκων: καὶ γὰρ χαρακτὴρ αὐτὸς - παρηγορεῖ Λάκωνος ὀσμᾶσθαι λόγου Soph. 178, 2. οὐ γὰρ λόγοις Λάκαινα πυργοῦται πόλις Ion. 63 p. 745. γαίας Λακαίνης κύριον φαύλου χθονός Eur. 1083, 9.

λάλος: ὁ χρόνος ἅπαντα τοῖσιν

ὕστερον φράσει, *λάλος ἐστὶν οὑτος Eur. 112, 2. ἀεί ποτ' ⟨ἐστὶ⟩ σπέρμα κηρύκων λάλον Eur. 1012.

λαλῶ: γύναι, τί μοι τραχεῖα κοὐκ εἰθισμένως λαλεῖς adesp. 283, 2. ἡ γὰρ σιωπὴ τῷ λαλοῦντι σύμμαχος Soph. 842, 2. (cf. λανθάνω.) ἐν τῷ λαλεῖν δεῖ μηδὲ μηκύνειν λόγον adesp. 457.

λαμβάνω: ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν Aesch. 44, 2. ἔπειτα γῆρας λαμβάνει σφ' (λαμβάνεις l.) Αἰγύπτιον Soph. 363, 3. ἅπαντα τίκτει χθὼν πάλιν τε λαμβάνει Eur. 195. λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει Eur. 1080, 3. ὁ μυρίος χρόνος τὰ πάντ' ἀμαυροῖ χὑπὸ χεῖρα λαμβάνει Theod. 9, 4 p. 804. ὅταν γὰρ ἄλοχον εἰς δόμους ἄγῃ πόσις, οὐχ ὡς δοκεῖ γυναῖκα λαμβάνει μόνον, ὁμοῦ δὲ τῇδε Theod. 13, 2 p. 805. ἀρετὴ - οὐκ ἐκ θυραίων τἀπίχειρα λαμβάνει adesp. 116, 2. ἐν τούτῳ δέ μου τὴν πεῖραν εὐθὺς λάμβανε Eur. 691, 2. οὐκ ἐμὲ προσήκει λαμβάνειν τούτων δίκην Eur. 953, 7. ὁ νῦν ⟨δὴ⟩ λαμβάνειν μέλλων μ' ἀνήρ Eur. 953, 27. γάμος κράτιστός ἐστιν - τρόπον γυναικὸς χρηστὸν † ἔνδον λαμβάνειν Hippoth. 6, 2 p. 828. τοῦ λαμβάνειν γὰρ πάντες ἡσσῶνται βροτοί adesp. 172. ἄψυχον ἄνδρα λαμβάνειν συνέμπορον adesp. 337. μέχρι πόσου τὴν τῆς τύχης - *λήψῃ πεῖραν ἐν τῷμῷ βίῳ Eur. 953, 33. εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων Eur. 134. εἰ μὴ γὰρ ἴδιον ἔλαβον εἰς χεῖρας μύσος Eur. 847. ἄνθρωπος ἐγένου καὶ τὸ δυστυχὲς βίου ἐκεῖθεν ἔλαβες adesp. 112, 3. σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον Eur. 531. οἱ δ' ὑπέρφρονες - ἔλεγχον ἔλαβον τῆς τύχης ἐν τῷ παθεῖν Eur. 1073, 7. νόμου τὸν ἐχθρὸν δρᾶν, ὅπου λάβῃς, κακῶς Eur. 1091. τὰ χρηστὰ δ' οὐδ' ἢν τὸν διδάσκαλον λάβῃ, ἐμνημόνευσεν Soph. 1019, 8. ὡς μόνον τῶν χρημάτων ἢ κρεῖσσόν ἐστιν ἀνδρί, σώφρον' ἢν λάβῃ Eur. 543, 5. ἡ - τύχη βραχεῖαν ἢν λάβῃ ροπήν adesp. 102, 2. πάντα πράγματ', ἢν καλὰς ἀρχὰς λάβῃ, καλῶς τελευτᾶν - φιλεῖ βροτοῖς adesp. 433. ἵνα τὰς συμφορὰς λάβωσιν ἐπιφανεστέρας adesp. 82, 3. τί τούτου χάρμα μεῖζον ἂν λάβοις Soph. 579. κλῇθρον γὰρ οὐδὲν ὧδ' ἂν εὐπαγὲς λάβοις Soph. 849, 2. μόνον δ' ἂν ἀντὶ χρημάτων οὐκ ἂν λάβοις γενναιότητα κἀρετήν Eur. 527. (cf. βάλλω.) εὐτυχῶν δὲ τὸν θεὸν λάβοι Zopyr. 1, 2 p. 832. κακός σε δαίμων καὶ κακὴ τύχη λάβοι adesp. 92. λαβὼν γὰρ αὐτόθηκτον Εὐβοικὸν ξίφος Aesch. 356. οὔτε πολλὰ τραύματ' ἐν στέρνοις λαβὼν θνήσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου Aesch. 362. βωμιαῖον ἐσχάρας λαβών Soph. 35. κωτίλος δ' ἀνὴρ λαβὼν πανοῦργα χερσὶ κέντρα κηδεύει πόλιν Soph. 622, 3. εἶλκε.. ὁμοῦ λαβὼν γυναῖκα πέτραν δρῦν Eur. 221, 2. κεῖνο δ' ἰσχύει μέγα, πλοῦτος λαβών ⟨τε⟩ τοῦτον εὐγενὴς ἀνήρ Eur. 249, 3. τίς γὰρ παλαίσας εὖ, τίς ὠκύπους ἀνὴρ - πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών Eur. 282, 18. πλεῖστον μισθὸν εἰς χεῖρας λαβών Eur. 297, 2. εἰ δέ τις κυρεῖ γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών Eur. 463, 4. Οἰ-

νεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν Eur. 516. παῖδα δ' Ἀδράστου λαβὼν συνῆψε γένναν Eur. 558, 4. πτώχ' ἀμφίβληστρα σώματος λαβὼν ῥάκη Eur. 697. ἀσύνετος ὅστις ἐν φόβῳ μὲν ἀσθενής, λαβὼν δὲ μικρὸν τῆς τύχης φρονεῖ μέγα Eur. 735, 2. λίνου κλωστῆρα περιφέρει λαβών Eur. 1001. μακάριος ὅστις εὐτυχεῖ γάμον λαβὼν ἐσθλῆς γυναικός, δυστυχεῖ δ' ὁ μὴ λαβών Eur. 1057, 1. 2. λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει Eur. 1080, 3. ὁμοῦ δὲ τῇδ' ἔτ' εἰσκομίζεται λαβὼν καὶ δαίμον' ἤτοι χρηστὸν ἢ τοὐναντίον Theod. 13, 3 p. 806. τὸν κλύοντα γὰρ λαβὼν ὁ μῦθος εὔνουν οὐ μάτην λεχθήσεται Mosch. 5, 2 p. 813. ταὔτ' ἐποίησεν λαβὼν ὁ καιρὸς αἰσχρὰ καὶ διαλλάξας καλά adesp. 26, 3. λαβὼν ἀριστόνικον ἐν μάχῃ κράτος adesp. 97. φυγὰς γένοιτο μηδὲν οἴκοθεν λαβών adesp. 155. ὃ δὲ λαβὼν χερὶ ἔγνω ἐπαφήσας adesp. 458, 6. Ὀρφέα λαβὼν αὐτῶν τε μουσῶν ἐννεάφθογγον μέλος οὐκ ἂν πίθοιμι γαστέρα adesp. 546, 10. ἥτις εὐφυᾶ λαβοῦσα τέχνη φῶτ' ἔθηκε χείρονα Eur. 186, 2. ῥᾳθυμία - τὴν παραυτίχ' ἡδονὴν λαβοῦσα Theod. 11, 4 p. 805. τὸν λαβόντα δ' εἰδέναι Eur. 578, 7. οἳ μὲν - οὐκ ἀπώλεσαν κακὴν λαβόντες Eur. 497, 4. λαβόντες οἱ κακῶς πεπραγότες σωτηρίαν adesp. 481, 3. αἱ τύχαι δέ με μισθὸν λαβοῦσαι τῶν ἐμῶν τὰ φίλτατα σοφὴν ἔθηκαν Eur. 458, 2. Ζεὺς κλέμμα - ἅμοχθον ἤνυσεν λαβεῖν Aesch. 99, 3. τῶν τριῶν μίαν λαβεῖν εὔσοιαν ἀρκεῖ Soph. 118. ἐκ τῶν τοιούτων χρή τιν' ἴασιν λαβεῖν Soph. 237, 3. ζημίαν λαβεῖν ἄμεινόν ἐστιν ἢ κέρδος κακόν Soph. 738. πόθεν δὲ πεύκης πανὸν ἐξηῦρες λαβεῖν Eur. 90. ἔασον Ἀχοῖ με σὺν φίλαισιν γόου κόρον λαβεῖν Eur. 118, 4. ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν Eur. 141. ἥδιστον λαβεῖν Eur. 162, 4. πόλιν οὐκ ἄν τιν' ἄλλην τῆσδε βελτίω λαβεῖν Eur. 360, 6. (cf. προσλαβεῖν.) ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λαβεῖν Eur. 529. ὃ μὲν γὰρ εὐγένειαν ἰμείρει λαβεῖν Eur. 659, 2. αἰτοῦ τί χρῄζεις ἔν' πέρᾳ γὰρ οὐ θέμις λαβεῖν σε Eur. 773, 3. ὃ μὲν γὰρ ἄλλης λέκτρον ἰμείρει λαβεῖν Eur. 914, 2. οὐ γὰρ ἀσφαλὲς περαιτέρω τὸ κάλλος ἢ μέσον λαβεῖν Eur. 928, 2. πῶς δίκαιόν ἐστιν - τῶν μὲν ἀγαθῶν με τὸ μέρος ὧν εἶχεν λαβεῖν, τοῦ συναπορηθῆναι δὲ μὴ λαβεῖν μέρος Eur. 953, 25. 26. νῦν δ' ἐκ βαθείας γὰρ πάρεστιν αἰθέρος λαβεῖν ἀμοχθί Eur. 978, 4. ἄλλην θέλουσιν εἰσαγώγιμον λαβεῖν Eur. 984. φίλων λαβεῖν ‹γὰρ› πεῖραν οὐ σμικρὸν κακόν Eur. 993. μὴ κάμνε πατρίδα σὴν λαβεῖν πειρώμενος Eur. 1045. οὐκ ἔστιν - τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν Philisc. 1, 2 p. 819. δεῖ γ' ὀργήν, ἡνίκ' ἠδικοῦ, λαβεῖν Sosiph. 2, 2 p. 820. δεινή τις - συμφορὰ δούλοις γενέσθαι δεσπότας τε δυσχερεῖς λαβεῖν adesp. 376, 3. ἐπὰν γὰρ ἡ - αἴσθησις φθαρῇ, τὸ σῶμα κωφοῦ τάξιν εἴληφεν πέτρου Mosch. 7, 5 p. 815. δράκοντε θαιρὸν ἀμφιπλιξ εἰληφότε Soph. 539. ἀγλωσσίᾳ - ληφθεὶς ἀνήρ Eur. 56, 2. δυσπραξίᾳ ληφθείς adesp. 364,

4. φιλεῖ τὰ τοιάδε ληφθέντα φαύλως ἐς μέγαν χειμῶν' ἄγειν Eur. 781, 58. ἐγκύμων εἴληπται χρανθεῖσ' ἄλεκτρος ἀνδρός Eur. 1132, 57. οἴμοι λέλημμαι Soph. 684.

Λάμια: τίς τοὔμὸν ὄνομα - οὐκ οἶδε Λαμίας τῆς Λιβυστικῆς γένος Eur. 922, 2.

λαμπάς: ὦ καλλιφεγγῆ λαμπάδ' εἰλίσσων φλογὸς ἥλιε Theod. 10 p. 805. οὐχ ὅπου λαμπάδες εὐνούχοισιν ὄμμασιν Soph. 721. λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σθένει Aesch. 386.

λαμπήνη Soph. 408.

λάμπουρις Aesch. 433.

λαμπρός: λαμπρός θ' ἕκαστος κἀπὶ τοῦτ' ἐπείγεται - ἵν' αὐτὸς αὐτοῦ τυγχάνει κράτιστος ὤν Eur. 183. μή σοι τύραννος λαμπρὸς ἐξ ἀστοῦ φανῇ Eur. 626, 5. στολὴν ἰδόντι λαμπρὸς καὶ ξύλῳ δραστήριος Eur. 688, 4. ὅθεν τε λαμπρὸς ἀστέρος στίλβει μύδρος Crit. 1, 35 p. 772. ἐπεὶ δ' ὁ λαμπρὸς ἐξέλαμψεν ἥλιος adesp. 158. κἄπειτα δ' εἶσι λαμπρὸν ἡλίου φάος Aesch. 43. οὐδὲν οὕτω λαμπρὸν οὐδ' ἰδεῖν καλόν Eur. 316, 5. τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ adesp. 547, 2. πρῶτα μὲν λαμπρᾶς ἔω κεκλημάτωται χλωρὸν οἰνάνθης δέμας Soph. 234, 3. ἐὰν ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ λαμπρῷ (al. κακῶς) τε πλούτῳ καὶ γένει γαυρούμενον Eur. 1040, 2. θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ λαμπρᾷ γαλήνῃ, τῶν δὲ συννέφει πάλιν Eur. 330, 7. αἰδὼς - ἠπιώτατον ἐρύθημα λαμπρῷ προστιθεῖσα χρώματι Chaer. 1, 4 p. 781. θέρους τε λαμπρὸν ἐκπέμπει σέλας χειμῶνά τ' αὔξει συντιθεὶς πυκνὸν νέφος Eur. 330, 3. σὺ δ' ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους adesp. 9. πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται adesp. 547, 12. ὦ λαμπρὸς αἰθὴρ ἡμέρας θ' ἁγνὸν φάος Eur. 443. λαμπροὶ δ' ἐν αἰχμαῖς Ἄρεος ἔν τε συλλόγοις Eur. 16. λαμπροὶ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα Eur. 282, 10. δεικνὺς ὡς τὰ λαμπρὰ τῆς τύχης τὴν κτῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει Mosch. 9, 5 p. 816. ἐκ κείνων τῶν ποτε λαμπρῶν Eur. 153, 2. λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σθένει Aesch. 386. ἀκόλαστα δ' ἤθη λαμπρὰ συγγελᾶν μόνον μίσει Eur. 362, 22.

λαμπρύνω: ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας Soph. 644.

λαμπτήρ: μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας πρήσειεν ἄν τις Eur. 411, 2. ἐφέσπερον δαίουσα λαμπτῆρος σέλας adesp. 407.

λάμπω: λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρί Soph. 341. λάμπει γὰρ ἐν χρείαισιν ὥσπερ εὐπρεπὴς χαλκός Soph. 780. λάμπει δ' ἐπὶ πορφυρέαις παρῇσι φῶς ἔρωτος Phryn. 13 p. 723. χρόαν δὲ τὴν σὴν ἥλιος λάμπων φλογὶ αἰγυπτιώσει adesp. 161. πυρὸς δ' ἐξ ὀμμάτων ἔλαμπεν αἴγλην adesp. 33, 2. ἐν τοῖς τέκνοις γὰρ ἀρετὴ τῶν εὐγενῶν *ἔλαμψε Eur. 232, 2. μουσομανεῖ δ' † ἐλάμφθην δακέτῳ Soph. 224.

λανθάνω: ὅστις καθ' ἑτέρου δόλια μηχανεύεται, αὐτὸς καθ' αὑτοῦ τοῦτο λανθάνει ποιῶν adesp. 573, 2. εὖ γὰρ τόδ' ἴσθι, κεἴ σ' ἐλάνθανεν

πάρος Eur. 1033. τὸ μὴ δίκαιον ἔργον οὐ λήθει θεούς adesp. 487. λήθουσι (al. πλήθουσι) γάρ τοι κἀνέμων διέξοδοι θήλειαν ὄρνιν Soph. 436. ἡ δ' ἄρ' ἐν σκότῳ λήθουσά με (λαθοῦσά με ll.) ἔσαιν' ἐρινύς Soph. 519, 3. Δίκα χρόνιος, ἀλλ' ὅμως ὑποπεσοῦσ' ἔλαθεν Eur. 223, 2. νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων ὀφθαλμός Aesch. 243. λάθοι δ' ἂν Ἄργου τοῦ πυκνοφθάλμου κόρας Eur. 1063, 14. πῶς δῆθ' ὁδουρὸν ὅμοιος ἐξέβης λαθών Soph. 21. ὅμως δέ γε τίκτει λαθών Eur. 1132, 18. μὴ πάντ' ἐρεύνα· πολλὰ καὶ λαθεῖν (λαλεῖν ll.) καλόν Soph. 80. ‹θεοὺς δὲ› καὶ λαθεῖν ἀμήχανον adesp. 431. οὐκ ἔστι πράσσοντάς τι μοχθηρὸν λαθεῖν adesp. 510. πῶς δὲ λήσει Eur. 277. τοῦτ' οὐχὶ λήσει τοὺς θεούς Crit. 1, 23 p. 771. λήσειν δοκοῦντες adesp. 458, 5. ὅστις ἥδεται λέγων ἀεί, λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς Soph. 99, 2. πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερός Eur. 664. λέληθεν οὐδὲν τῶνδέ μ' ὢν σὺ νουθετεῖς Eur. 840. ὅστις δὲ θνητῶν οἴεται - κακόν τι πράσσων τοὺς θεοὺς λεληθέναι, δοκεῖ πονηρά Eur. 835, 2. ἡδὺ κἂν βραχὺν χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν Soph. 375, 2. τί μ' ἄρτι πημάτων λελησμένην ὀρθοῖς Eur. 342. ὅτῳ γὰρ μὴ ἔστι λυπεῖσθαι βίῳ, ἔστιν τὸ χαίρειν τῶν κακῶν λελησμένῳ (λελασμένῳ ll.) Astyd. 5, 3 p. 779.

λαός: δοκεῖτ' ἂν οἰκεῖν γαῖαν, εἰ πένης ἅπας λαὸς πολιτεύοιτο πλουσίων ἄτερ Eur. 21, 2. ὅθεν καλεῖν Κουρῆτα λαὸν ἤνεσαν Aesch. 313, 2. ἔνορχιν λαόν adesp. 209. ἦλθεν δὲ λαοὶ μυρίοι πρὸς ἡόνα adesp. 191. εἰς μυρίους ὄρνιθας αἰετὸς σοβεῖ λαῶν τε δειλῶν πλῆθος εὖ τραφεὶς ἀνήρ Sosith. 1, 2 p. 821. ὦ ἴτε, λαοί Eur. 773, 69. cf. λεώς.

Λαπέρσης: νὴ τὼ Λαπέρσα Soph. 871.

λαπίζω: λαπίζειν Soph. 959.

Λαπίθης: Φερητίδης τ' Ἄδμητος ἠδ' ὁ Δωτιεὺς Λαπίθης Κόρωνος Soph. 354, 2.

λαρκαγωγός: τοὺς ὄνους τοὺς λαρκαγωγοὺς ἐξ ὄρους οἴσειν ξύλα Eur. 283.

λαρός (?) Soph. 263.

λάταξ: ξανθὴ δ' Ἀφροδισία λάταξ πᾶσιν ἐπικτυπεῖ δόμοις Soph. 255. ὦ κάλλιστον Ἡρακλεῖ λάταξ Ach. 26, 2 p. 752.

λατρεία: πάντολμ' ἀνάγκη, στυγνὸν ἢ κατ' αὐχένων ἡμῶν ἐρείδεις τῆσδε λατρείας ζυγόν Mosch. 2, 4 p. 812.

λάτρις: λάτρις πενέστης ἁμὸς ἀρχαίων δόμων Eur. 830. Δήμητρος λάτριν Eur. 955. θείων δ' ἀπ' ἀμφοῖν ἔκγονον ῥιζωμάτων τίς ἂν προσειπεῖν ἀξιώσειεν λάτριν Theod. 3, 2 p. 802.

λατύπος: λατύποι Soph. 487.

λέαινα: βρυαζούσης λεαίνης adesp. 1.

λέβης: τὸν μὲν τρίπους ἐδέξατ' οἰκεῖος λέβης Aesch. 1. θεὸς - ὡς λέβης τις μείζονος δεῖται πυρός adesp. 448, 2. ἀγῶνα - κηρύσσεται, χαλκηλάτους λέβητας ἐκτιθεὶς φέρειν Soph. 348, 2.

λέγω: κέντημα γλώσσης, σκορ-

πίου βέλος λέγω Aesch. 169, 3. ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος, τῆς σῆς λέγω τοι μητρός Aesch. 175, 2. τοιαῦτά τοί σοι πρὸς χάριν τε κοὐ βίᾳ λέγω Soph. 25, 2. σοφὸς μὲν οὖν εἶ, Πριαμ', ὅμως δέ σοι λέγω Eur. 48. ἔστι κοινὸς ἀνθρώποις νόμος καὶ θεοῖσι τοῦτο δόξαν, ὡς σαφῶς λέγω Eur. 346, 2. τοὺς γὰρ ἀνδρείους φύσιν καὶ τοὺς δικαίους τῶν κενῶν δοξασμάτων - εὐγενεστέρους λέγω Eur. 495, 43. αἳ δ' εἴσ' ἀμείνους ἀρσένων, ἐγὼ λέγω Eur. 499, 3. ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας - ἀλόχου τε κεδνῆς Eur. 543, 2. εἰ γὰρ εὖ λέγω Eur. 773, 77. ἐχρῆν μὲν οὓς ἐγὼ λόγους λέγω, τούτους λέγειν σε Eur. 953. σὲ τῶν πάντων δεσπότην λέγω Philocl. 1 p. 759. οὐκ ἐξαθρήσας οἶδ', ἰδὼν δέ σοι λέγω Thesp. 2 p. 832. εἴπερ εἶ γενναῖος, ὡς αὐτὸς λέγεις Soph. 100. Θήβας λέγεις μοι τὰς πύλας ἑπταστόμους Soph. 705. οὐ μέμφομαί σε· δρῶν γὰρ εὖ κακῶς λέγεις Soph. 771. πονηρὰ τἄργ' ἔχουσ' ⟨εἶτ'⟩ εὖ λέγεις Eur. 528, 2. οὐ κακῶς λέγεις Eur. 773, 7. πότερα θεωροῖς εἶτ' ἀγωνισταῖς λέγεις Ach. 3 p. 747. ὡς λέγει γέρον γράμμα Aesch. 331. ἐν δεσμοῖσι δραπέτης ἀνὴρ κῶλον ποδισθεὶς πᾶν πρὸς ἡδονὴν λέγει Soph. 60, 2. παθὼν δ' ἕκαστος ὧν τύχῃ λέγει Soph. 621, 3. ὁ χρόνος ἅπαντα - οὐκ ἐρωτῶσιν λέγει Eur. 112, 2. μάτην ἄρ' εἰς γυναῖκας ἐξ ἀνδρῶν ψόγος ψάλλει, κενὸν τόξευμα, καὶ κακῶς λέγει Eur. 499, 2. ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει αἴσχρ' ἐστί, τούτου τὸ σοφὸν οὐκ αἰνῶ ποτέ Eur. 583. κλύεθ' οἷα λέγει Eur. 713. Πυθὼδ' ἀφῖκτο, καὶ λέγει Φοίβῳ τάδε Eur. 1132, 7. εἰ δ' ἄλλου λέγει ἄμεινον ἄλλος, τῷ λέγειν ὑπερφέρει Aristarch. 1, 4 p. 728. ὅστις λέγει κάκ' εὖ φρονῶν σιγῇ στένει adesp. 497. Ἥλι' - ⟨ὃν⟩ οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν Soph. 1017, 2. Ἕλλην γάρ, ὡς λέγουσι, γίγνεται Διός Eur. 14. τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διός Eur. 151. τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι χρόνου Eur. 222. πόνος γάρ, ὡς λέγουσιν, εὐκλείας πατήρ Eur. 474. γνωρίσαντ⟨ε δὴ τὸ πᾶν⟩ λέγουσι· μητρὸς ὦ κασίγνητ⟨οι⟩ Eur. 495, 15. σὼ δ' αὐταδέλφῳ χερμ⟨άδ' αἴρουσιν χεροῖν⟩ λέγουσί θ' ὡς ἔφυσα⟨ν ἐκ δούλης⟩ Eur. 495, 19. σοφὸν λέγουσι τὸν χρόνον πεφυκέναι Agath. 19 p. 767. λέγουσι Δήμητρός ποτ' ἄρρητον κόρην Πλούτωνα κρυφίοις ἁρπάσαι βουλεύμασιν Carc. 5 p. 799. ἵν' οὖν τὰ πολλὰ κεῖνα διὰ παύρων λέγω Aesch. 99, 4. πότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω ἢ σκληρ' ἀληθῆ Eur. 1036. ὅταν δέ τις λειτῶν ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνήρ Eur. 327, 3. εὖ λέγειν δ', ὅταν τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ Eur. 909, 7. κἂν σοφὸς ὑπάρχῃ κἂν λέγῃ τὸ συμφέρον adesp. 119, 2. ἡ γλῶσσά τοι - οὐδέν, ἡνίκ' ἂν λέγῃ, πονεῖ adesp. 120, 2. πῶς οὖν τάδ' εἰσορῶντες ἢ θεῶν γένος εἶναι λέγωμεν ἢ νόμοισι χρώμεθα adesp. 99, 2. κἂν λάθρᾳ πράσσωσιν ἢ λέγωσιν ἢ φρονῶσί ⟨τι⟩ Crit. 15 p. 771. ἐγὼ μὲν οὖν ᾄδοιμι καὶ λέγοιμί τι σορόν Eur. 202. ἡ δ' ἦλθ' ἀνάγκη πεδία Φοινίκης λιπών,

λέγοιμ' ἄν Eur. 819, 6. τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι Agath. 9 p. 765. εἰ μέν τις οὖν ἔξεισιν· εἰ δὲ μή, λέγε Soph. 420. τὴν δ' εὐγένειαν πρὸς θεῶν μή μοι λέγε Eur. 22. ἁπλοῦς ὁ μῦθος, μὴ λέγ' εὖ Eur. 253. τοῦτο τί μ' ἀδικεῖ, λέγε Eur. 953, 13. ἢ λέγε τι σιγῆς κρεῖσσον ἢ σιγὴν ἔχε Dionys. 6 p. 795. λέγε δὲ σὺ κατὰ πόδα νεόχυτα μέλεα adesp. 136. σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια Aesch. 208. ὅστις ἥδεται λέγων ἀεί, λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς Soph. 99. λέγων τἀληθὲς οὐ σφαλῇ ποτε Soph. 529. γυναῖκα δ' ὅστις παύσεται λέγων κακῶς, δύστηνος ἆρα κοὐ σοφὸς κεκλήσεται Eur. 36. ὦ παγκακίστη καὶ γυνή· τί γὰρ λέγων μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν Eur. 666. ὅστις γὰρ αὐχεῖ θεῶν ἐπίστασθαι πέρι, οὐδέν τι μᾶλλον οἶδεν ἢ πείθειν λέγων Eur. 795, 5. ἐξ ἐμοῦ γὰρ τἀμὰ μαθήσῃ κλύων, ὃ δ' αὐτὸς αὑτὸν ἐμφανιεῖ σοι λέγων Eur. 797, 4. πᾶς τις ἥδεται λέγων τά τ' ὄντα καὶ μή Eur. 978, 4. δύστηνος ὅστις τὰ καλὰ καὶ ψευδῆ λέγων οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν Eur. 1035. τούσδε τοὺς λόγους λέγων διδαγμάτων ἥδιστον εἰσηγήσατο Crit. 1, 24 p. 771. ναίειν δ' ἔφασκε τοὺς θεοὺς ἐνταῦθ' ἵνα μάλιστ' ἂν ἐξέπληξεν ἀνθρώπους λέγων Crit. 1, 28 p. 771. ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν λέγοντι πείθειν τοὺς πέλας Eur. 659, 6. δυοῖν λεγόντοιν, θατέρου θυμουμένου, ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος Eur. 654. ῥιπτοῦντες ἐκβάλλοντες ἀγνύντες, τί μ' οὐ λέγοντες Ach. 26, 2 p. 752. 'τυφλὸς οὔτι γνώσεται' οὕτω λέγοντες adesp. 458, 11. (cf. ψέγω.) χρὴ δ' ἢ λέγειν τι χρηστὸν ἢ λέγουσιν εὖ μὴ δυσμεναίνειν adesp. 535. κοὐκ οἶδ' ὅτι χρὴ πρὸς ταῦτα λέγειν Soph. 81. ὅπου δὲ μὴ *τἄριστ' ἐλευθέρως λέγειν ἔξεστι - ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν Soph. 193. καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν Soph. 326. θεοὶ γὰρ οὔποτ', εἴ τι χρὴ βροτὸν λέγειν, ἄρξασι Φρυξὶ τὴν κατ' Ἀργείων ὕβριν ξυναινέσονται Soph. 339. θέμις δὲ τἀληθῆ λέγειν Soph. 855, 14. οἱ γὰρ γύνανδροι καὶ λέγειν ἠσκηκότες Soph. 878. ὁ φόβος, ὅταν τις αἵματος μέλλῃ πέρι λέγειν - τό τε στόμ' εἰς ἔκπληξιν ἀνθρώπων ἄγει τὸν νοῦν τ' ἀπείργει μὴ λέγειν ἃ βούλεται Eur. 67, 2. 4. ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας λέγειν Eur. 81, 2. ἐγὼ δ', ὃ μὲν μέγιστον, ἄρξομαι λέγειν ἐκ τοῦδε πρῶτον Eur. 110. ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων ἀγῶνα θείτ' ἄν, εἰ λέγειν εἴη σοφός Eur. 189, 2. τὸ γὰρ λέγειν εὖ δεινόν ἐστιν, εἰ φέρει τινὰ βλάβην Eur. 253. δούλῳ γὰρ οὐχ οἷόν τε τἀληθῆ λέγειν, εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι Eur. 313. τυραννικόν τοι πόλλ' ἐπίστασθαι λέγειν Eur. 335. τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ λέγειν (βλέπει Il.) τ' ἀγάλματα Eur. 372, 3. σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἴν' ἀσφαλές Eur. 413, 2. τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν Eur. 439, 2. τὸ τῆς ἀνάγκης οὐ λέγειν ὅσον ζυγόν Eur. 475. ἀλλὰ ταῦτα γὰρ λέγειν ἐπι-

στάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει Eur. 572, 4. ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις - δέλτος διαιρεῖ, κοὐκ ἐᾷ ψευδῆ λέγειν Eur. 578, 9. μή μοι φθονήσητ' - εἰ πτωχὸς ὢν τέτληκ' ἐν ἐσθλοῖσιν λέγειν Eur. 703, 2. πέποιθα γάρ σε μὴ ψευδῆ λέγειν Eur. 773, 9. αἰσχρὸν σιωπᾶν, βαρβάρους δ' ἐᾶν λέγειν Eur. 796, 2. εὖ λέγειν (εὐλογεῖν l.) δ', ὅταν τι λέξῃ, χρὴ δοκεῖν Eur. 909, 7. ἐχρῆν μὲν οὓς ἐγὼ λόγους λέγω, τούτους λέγειν σε· καὶ γὰρ ἁρμόζει φρονεῖν σὲ μᾶλλον ἢ ἐμὲ καὶ λέγειν ὅπου τι δεῖ· ἐπεὶ δ' ἁφῆκας, λοιπόν ἐστ' ἴσως ἐμὲ - τά γε δίκαι' αὐτὴν λέγειν Eur. 953, 2. 3. 5. εἰ δ' ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι, οὐδείς ἂν αὐτὸν εὖ λέγειν ἐβούλετο Eur. 978, 2. καὶ ταῦτ' ἴσον μὲν εὖ λέγειν, ἴσον δὲ μή Aristarch. 1 p. 728. εἰ δ' ἄλλου λέγει ἄμεινον ἄλλος, τῷ λέγειν ὑπερφέρει Aristarch. 1, 5 p. 728. ψευδῆ δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν Chaer. 27 p. 789. οἷα δὴ φιλοῦσιν ἰατροὶ λέγειν, τὰ φαῦλα μείζω Mimn. 2 p. 830. ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται, τὰ δ' ἔργα χείρω τῶν λόγων παρέσχετο adesp. 515, 3. χρὴ δ' ἢ λέγειν τι χρηστὸν ἢ λέγουσιν εὖ μὴ δυσμεναίνειν adesp. 535. τοῖς καιρίοις γὰρ δεῖ λέγειν τὰ καίρια adesp. 572. μορφὰς δὲ λέξω καὶ σαφῆ τεκμήρια Eur. 382, 2. λέξω δ' ἐγώ Eur. 797. πάντ' ἔλεξα τἀντεταλμένα Soph. 424. ἀλλ' ἀξίως ἔλεξας Soph. 101. οὐ θαῦμ' ἔλεξας θνητὸν ὄντα δυστυχεῖν Eur. 651. μικρόν γ' ἔλεξας βασιλικοῦ σηκὸν τάφου adesp. 166. δίκαι' ἔλεξε Eur. 823. ὅταν - λόγους γάμων πέρι λέξῃ πρὸς ἡμᾶς Eur. 773, 17. εὖ λέγειν δ', ὅταν τι λέξῃ, χρὴ δοκεῖν Eur. 909, 7. ἀγλωσσίᾳ δὲ πολλάκις ληφθεὶς ἀνὴρ δίκαια λέξας ἧσσον εὐγλώσσου φέρει Eur. 56, 3. ἀλλά σοι λέξαι θέλω Eur. 292, 6. πολλῶν τ' ἔπαινον ἔστι μοι λέξαι καλῶν Eur. 316, 4. τῷ δὲ δυστυχοῦντί πως τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν (al. τὸ κλαῦσαι καὶ ἀποδύρασθαι τύχας) Eur. 563, 2. — λόγος ὥσπερ λέγεται Phryn. 14 p. 723. ψυκτήρια δένδρεα φίλαισιν ὠλέναισι λέξεται (?) Eur. 782, 2. ὃς πᾶν τὸ λεχθὲν ἐν βροτοῖς ἀκούσεται Crit. 1, 20 p. 771. τὸν κλύοντα γὰρ λαβὼν ὁ μῦθος εὖνουν οὐ μάτην λεχθήσεται Mosch. 5, 3 p. 813. Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο Eur. 481. 591, 4. γένοιντ' ἂν εὖ λελεγμένοι λόγοι ψευδεῖς Eur. 206.

λεία: λεῖαι Soph. 488.

λείβω: ἴδε σοὶ βρομίου [αἴθοπα] φλεγμὸν λείβω Thesp. 4, 6 p. 833.

λεῖκνον v. λίκνον.

λειμών: ταύρῳ τε λειμὼν ξένια πάμβοτος παρῆν Aesch. 99. σιλφίου λειμών Soph. 546. κόμης δὲ πένθος λαγχάνω πώλου δίκην, ἥτις - θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο, σπασθεῖσα δ' ἐν λειμῶνι ποταμίων ποτῶν ἴδῃ σκιᾶς εἴδωλον Soph. 598, 5. θηρώμεναι .. οντα λειμώνων τέκνα Chaer. 10, 3 p. 784. λειμῶσι μαλακοῖς ἐξέτεινον αὐχένας Chaer. 14, 17 p. 786. κατ' ἔναυλ' ὀρέων ἀβάτους ἐπί τε λειμῶνας Eur. 740, 5. — cf. Soph. 805.

λειμώνιος: ἄνθεα λειμώνια Aesch. 374.

λείπω: λείπω φάος τόδ'· οὐκέτ' ‹οὐδέν› εἰμ' ἐγώ adesp. 45, 2. οὐδ' ἂν ἐγκέφαλον ἔσθων λίποι Philocl. 5 p. 760. Δαναὸς - Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ Eur. 228, 2. πεδία Φοινίκης λιπών Eur. 819, 5. ἀκτὰς ἀπαίωνάς τε καὶ μελαμβαθεῖς λιποῦσα λίμνης ἦλθον Soph. 480, 2. ἐξῆλθον - βόθρους λιποῦσα πενθητηρίους Ion. 54, 2 p. 743. Σιδώνιον ἄστυ λιποῦσαι Phryn. 9 p. 722. κρωσσοὺς μήτ' οἰνηροὺς μήθ' ὑδρηλοὺς λιπεῖν ἀφνεοῖσι δόμοισιν Aesch. 96, 3. πέπρωται γάρ σε καὶ βέλη λιπεῖν ἐνταῦθα Aesch. 199, 3. τοῦ θανεῖν δ' ἀπειρίᾳ πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου Eur. 816, 11. οὐκ ἔσθ' ὁποίας λείπεται (?) τόδ' ἡδονῆς Eur. 138, 3. ἔν τε τοῖσι γὰρ καλοῖς πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον Eur. 401, 4. παντὸς λελείμμεθα πᾶσαι γυναῖκες ἀρσένων Eur. 319. ἢ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα, ἡ δ' εὐγένεια - μένει Eur. 1066. ἡμεῖς οἱ λελειμμένοι φίλων Eur. 495, 32. ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους Aesch. 37.

λειτός: Ἄργους δυνάστης, λειτὸς (λιτὸς ll.) ἐκ τυραννικῶν θρόνων Mosch. 9, 2 p. 816. ὅταν δέ τις λειτῶν (λεπτῶν ll.) ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνήρ Eur. 327, 3.

λείχω: οὐδὲ λεῖξαι τοῦδε τῷ γένει θέμις Ach. 9, 2 p. 748.

λείψανον: νόμος δὲ ‹δείπνου› λείψαν' ἐκβάλλειν κυσίν Eur. 469.

λέκτρον: πρὸς λέκτρον ᾖει καρδίαν ὠδαγμένος Soph. 1026, 8. εἰ παραζεύξειέ τις χρηστῷ πονηρὸν λέκτρον Eur. 520, 2. ὁ μὲν γὰρ ἄλλης λέκτρον Eur. 914, 2. γαμηλίων λέκτρων Aesch. 242, 2. μετρίων λέκτρων, μετρίων δὲ γάμων - κῦρσαι θνητοῖσιν ἄριστον Eur. 503. ἐκ καλλιόνων λέκτροις ἐπ' αἰσχροῖς εἶδον ἐκπεπληγμένους Eur. 213, 2. ἐγὼ γὰρ ἔξω λέκτρα αὐτοῖς καλῶς ἔχειν Eur. 1058.

λεόντεος: κατὰ τῆς σισύρνης τῆς λεοντέας Aesch. 109.

λεοντοβάμων: λεοντοβάμων ποῦ σκάφη χαλκήλατος Aesch. 225, 2.

λεοντόκρανος: λεοντόκρανον ὅπλον adesp. 230.

λεοντόπους: οὐρὰν - ὑπίλασ' ὑπὸ λεοντόπουν βάσιν Eur. 540.

λεοντόχορτος: λεοντόχορτον (λεοντοχόρταν l.) βούβαλιν νεαίρετον Aesch. 330.

λέπαδνον: παῖδ' ὑμεναίοις, ὡς φησί, θέλων ζεῦξαι νύμφης τε λεπάδνοις Eur. 773, 65.

λέπαργος: πτερὸν κίρκου λεπάργου Aesch. 304, 5. βοὸς λεπάργου adesp. 231.

λέπας: μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας πρήσειεν ἄν τις Eur. 411, 2.

λεπτός: λεπτὸς δὲ σινδὼν ἀμφιβαλλέσθω χροΐ Aesch. 153. Εὐβοΐδα μὲν γῆν λεπτὸς Εὐρίπου κλύδων Βοιωτίας ἐχώρισεν Ion. 18 p. 735. λεπτὴ γὰρ ἐλπὶς ἥδε Aesch. 99, 22. λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα adesp. 55. ψῦχος δὲ λεπτῷ χρωτὶ πολεμιώτατον Eur. 906. μέλπει δ' ἐν δένδρεσι λεπτὰν (?) ἀηδὼν ἁρμονίαν Eur. 773, 23. (cf. λειτός.) μή μοι λεπτῶν θίγγανε μύθων Eur. 924.

λεπταῖς ἐπὶ ριπῖσιν ἐμπολὰς μακρὰς ἀεὶ παραρρίπτοντες Soph. 511, 4.

λεπτοσπάθητος: λεπτοσπαθήτων χλανιδίων ἐρειπίοις θάλπουσα adesp. 7.

Λερναῖος: Λερναία χολή adesp. 229.

Λέσβιος: ὃ μέν τις Λέσβιον φατνώματι κῦμ' - ἐκπεραινέτω Aesch. 78.

λέσχη: φαῦλον ἄκομψον - λέσχης ἀτρίβωνα Eur. 473, 3.

λευγαλέος: μύρῳ λευγαλέα Soph. 717.

Λευκοθέα: πόντου πλάνητες Λευκοθέαν ἐπώνυμον adesp. 100.

λευκός: λευκός, τί δ' οὐχί; καὶ καλῶς ἠφευμένος ὁ χοῖρος Aesch. 310. οὗτοι νόμισμα λευκὸς (al. οὗτοι βροτοῖσι κέρδος) ἄργυρος μόνον καὶ χρυσός ἐστιν Eur. 542. οὐκ ἔστ' ἐν ἄντροις λευκός, ὦ ξέν', ἄργυρος adesp. 389. τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι, οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη Soph. 307, 2. λευκὸν αὐτὸν ὧδ' ἐπαίδευσεν γάλα Soph. 446. χρῶμα δ' ὄμμασιν λευκὸν μελαίνης ἔργον ἀντηύγει σκιᾶς Chaer. 14, 6 p. 786. λευκῷ λίθῳ Soph. 307, 2. λευκῷ χρώματι διαπρεπῆ Chaer. 1, 2 p. 781. πρῶτον μὲν ὄψει λευκὸν ἀνθοῦντα στάχυν Soph. 363. οἶκον στεγανὸν ἐξηυρήκαμεν λευκόν τ' ὀρύσσειν ἄργυρον adesp. 115, 3. λευκὴν ἡμέραν Soph. 5. ἔκειτο δ' ἡ μὲν λευκὸν εἰς σεληνόφως φαίνουσα μαστόν Chaer. 14 p. 786. ἴδε σοὶ σπένδω κναξζβὶ τὸ λευκόν Thesp. 4 p. 833. λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις καὶ μιλτοπρέπτοις βρίθεται Aesch. 116. λευκοὺς λίθους χέοντες αὐχοῦσιν μέγα Eur. 1007.

λευσμός: τίς ἔσθ' ὁ μέλλων σκόλοπος ἢ λευσμοῦ τυχεῖν Eur. 878.

λεύσσω: τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ Aesch. 131. πόρρω δὲ λεύσσων, ἐγγύθεν δὲ πᾶς τυφλός Soph. 774, 3. τίς τάδε λεύσσων θεὸν οὐχὶ νοεῖ Eur. 913. Δίκης ὀφθαλμὸς ὡς δι' ἡσύχου λεύσσων προσώπου Dionys. 5, 2 p. 795. Ζεὺς καὶ θεοὶ βρότεια λεύσσοντες πάθη Eur. 991, 2. οὐ γὰρ ἄξιον λεύσσειν φάος κακοὺς ὁρῶντας ἐκδίκως τιμωμένους Eur. 293, 2. ὦ λαμπρὸς αἰθὴρ ἡμέρας θ' ἁγνὸν φάος, ὡς ἡδὺ λεύσσειν Eur. 443, 2.

λέχος: γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων οὐ τῶν τεκόντων ἐστίν, ἀλλὰ τοῦ λέχους Eur. 318, 2. ἐλεύθερος δ' ὢν δοῦλός ἐστι τοῦ λέχους Eur. 775. τῶν γὰρ πλούτων ὅδ' ἄριστος γενναῖον λέχος εὑρεῖν Eur. 137, 2. ἐμῇ γὰρ ἦλθε μητρὶ κεδνὸν εἰς λέχος Ζεύς Eur. 591, 3. κοινὸν γὰρ εἶναι χρὴν γυναικεῖον λέχος Eur. 653. χρόνος ἔκρανε λέχος ἐμοῖσιν ἀρχέταις Eur. 773, 57. πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος Eur. 889. ἐκ Διὸς πυρίβολοι πλαγαὶ λέχεά θ' Ἁλίου Eur. 781, 69. παιδὸς πατρός τε τῇδ' ἐν ἡμέρᾳ λέχη κρᾶναι θελόντων Eur. 773, 74.

λέων: τίς γάρ με μόχθος οὐκ ἐπεστάτει; λέων δράκων τε, πῦρ, ὕδωρ Soph. 154, 2. πυρσοκόρσου λέοντος Aesch. 110. οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν Aesch. 452. ὄμμα γὰρ πυρὸς γέμεις, ταὦρος λέοντος ὡς βλέπων πρὸς ἐμβολήν Eur. 689, 4.

τὰς λέοντος ἥνεσα ἢ τὰς ἐχίνου μᾶλλον οἰζυρὰς τέχνας Ion. 38 p. 739. ὑπόπτερον λέοντα τέξεται πατρί Eur. 1132, 15. μὴ πρὸς λέοντα δορκὰς ἄψωμαι μάχης adesp. 135. γῆρας λεόντων κρεῖσσον ἀκμαίων νεβρῶν Hippoth. 5 p. 828.

λεώς: βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρῶναξ λεώς Soph. 760. πᾶς δὲ ποιμένων ἔρρει λεώς Eur. 146. ἡ πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν Eur. 360, 7. οὐδ' ἀντ' ἐλαίας - τρίαιναν - Θρῃξ ἀναστέψει λεώς Eur. 360, 48. ἀλλὰ σῖγ' ἔστω λεώς Eur. 773, 75. εἰς γῆν - Ὕαντος ἣν ἔναιεν ἀρχαῖος λεώς Phryn. 5, 2 p. 721. χωρίτης λεώς adesp. 428. τόδ' ἐξοπλίζει τοῦπος Ἀργεῖον λεών adesp. 404. cf. λαός.

λήγω: πολλοῖς ἔστιν ἀνθρώπων κακά, τοῖς δ' ἄρτι λήγει, τοῖς δὲ κίνδυνος μολεῖν Eur. 415, 2. λήγει δὲ Κύπρις θαλίαι τε νέων adesp. 397. ἐπὰν λήξῃ κακοῦ, ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται Soph. 846, 2. λῆξαι τῆς ἀστερόπου Ζηνὸς θυσίας Ach. 2, 3 p. 746.

Λήδα: Οἰνεὺς - ὃς ποτ' Ἀλθαίαν γαμεῖ, Λήδας ὅμαιμον Eur. 515, 5. ὦ Ζηνὸς καὶ Λήδας κάλλιστοι σωτῆρες adesp. 139.

οὐράτος: χορὸς - ἰχθύων - σαίνοντες οὐραίοισι τὴν κεκτημένην Soph. 695, 2. ἐνάλιος θεωρία, χραίνοντες *οὐραίοισιν εὐδίαν ἁλός Ach. 27, 3 p. 753.

οὐράνη: τὴν κάκοσμον οὐράνην ἔρριψεν οὐδ' ἥμαρτε Aesch. 180, 2. Soph. 140.

οὐρανίδης: θεοῖς τοῖς οὐρανίδαις Eur. 912, 6.

οὐρανίζω: οὐρανιζέτω Aesch. 436.

οὐράνιος: τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς εἰς οὐράνιον πάλιν ἦλθε πόλον Eur. 839, 11. τὰν Διὸς οὐρανίαν ἀείδομεν - Ἀφροδίταν Eur. 781, 15. οὗτος δ' ἐφηῦρε - οὐράνια - σήματα Soph. 399, 3.

οὐρανός: ἐρᾷ μὲν ἀγνὸς οὐρανὸς τρῶσαι χθόνα Aesch. 44. Ζεύς ἐστιν αἰθήρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ' οὐρανός Aesch. 70. οὐρανὸς ὑπὲρ ἡμᾶς - ἕδος δαιμόνιον Eur. 448. οὐρανός τε γαῖά τ' ἦν μορφὴ μία Eur. 484, 2. οὐδ' ὁ πᾶς ἂν οὐρανὸς Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας ἐξαρκέσειεν Eur. 506, 4. ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος ὄμβρου πεσεῖν εἰς γαῖαν Eur. 898, 9. ὄμβρος δ' ἀπ' εὐνατῆρος οὐρανοῦ πεσὼν ἔδευσε γαῖαν Aesch. 44, 3. οὐρανοῦ δ' ἄπο ἤστραψε Soph. 520. ἐπ' ἔσχατα χθονὸς νυκτός τε πηγὰς οὐρανοῦ τ' ἀναπτυχάς Soph. 870, 2. ἐν

μέσῳ τοῦ οὐρανοῦ τε καὶ χθονός Eur. 448, 2. τό τ' ἀστερωπὸν οὐρανοῦ σέλας Crit. 1, 33 p. 771. οὐμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει Aesch. 159. εἴ μοι γένοιτο φᾶρος ἴσον ἐν οὐρανῷ Aesch. 216. φησίν τις εἶναι δῆτ' ἐν οὐρανῷ θεούς Eur. 286. εἴπερ ἔστ' ἐν οὐρανῷ Ζεύς Eur. 900. μηδὲν ὄντες εὐθέως ἴσ' οὐρανῷ φρονεῖτε Sosiph. 3, 5 p. 820. ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακράν. Soph. 1025, 2. (cf. αἰθήρ.) οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ κεκραμένον Eur. 981, 2.

Οὐρανός — Aesch. 193, 2.

οὐρανοστεγής: αἱ δ' ἑπτ' Ἄτλαντος παῖδες - πατρὸς μέγιστον ἄθλον οὐρανοστεγῆ κλαίεσκον Aesch. 312, 2.

οὐριβάτης: σύριγγας δ' οὐριβάται κινοῦσιν ποίμνας ἐλάται Eur. 773, 27.

οὔριος: ὡς ναοφύλακες - ἀπευθύνουσιν οὐρίαν τρόπιν Soph. 143, 2.

οὖρος: πνεῖ δ' οὖρος adesp. 380, 2. θεόθεν δὲ πνέοντ' οὖρον ἀνάγκη τλῆναι adesp. 303.

οὖς: βαρεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ μόλις δι' ὠτὸς ἔρχεται τρυπωμένου Soph. 774, 2. ἄκουε δ' ἀν' οὓς ἔχων Aesch. 126. τὸ κακὸν τῆς εὐτυχίας ὡς μᾶλλον ἐς οὓς φέρεται θνητῶν adesp. 386, 2. (cf. Soph. 863, 2 v. l.) βάξις - ἣν μήποτ' ὤφελ' εἰς ὦτα φέρειν ὁ πρῶτος τάδε φράσαι τολμήσας Eur. 1132, 55. Μίδου - ὅστις ὦτ' ἔχων ὄνου ἤνασσε Sosith. 2, 2 p. 822.

οὐσία: ἣν οὗτος αὖθις ἀποβάλῃ τὴν οὐσίαν Eur. 953, 30. τὰς οὐσίας γὰρ μᾶλλον ἢ τὰς ἁρπαγὰς τιμᾶν δίκαιον (?) Eur. 354.

οὐτάζω: τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ ὀδύναισι δώσει Eur. 176, 3.

οὔτε: ἃς οὔτε πέμφιξ ἡλίου προσδέρκεται οὔτ' - ὄμμα Λητῴας κόρης Aesch. 170, 1. 2. ἵν' οὔτ' ἄροτρον οὔτε γατόμος τέμνει δίκελλ' ἄρουραν Aesch. 196, 3. ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτε πλεῖν ἐᾷ Aesch. 250. οὔτε πολλὰ τραύματα - λαβὼν θνήσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου, οὔτ' ἐν στέγῃ τις ἥμενος - φεύγει - τὸν πεπρωμένον μόρον Aesch. 362, 1. 3. οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ Aesch. 377. τέλος δ' ὁ χυμὸς οὔθ' ὅπως ἀφῇ θέλει οὔτ' ἐν χεροῖν τὸ πῆγμα σύμφορον μένειν Soph. 153, 6. 7. οὔτε γὰρ γάμον - οὔτ' ἂν ὄλβον ἔκμετρον - εὐξαίμαν ἔχειν Soph. 327, 1. 2. οὔτε μ' ἐκ Δωδῶνος οὔτε Πυθικῶν γυ.. τις ἂν πείσειεν Soph. 422. οὐδὲ - Ζεὺς - οὔτ' ἐξεπομβρῶν οὔτ' ἐπαυχμήσας φίλος Soph. 481, 4. οἷς οὔτε δαίμων οὔτε τις θεῶν - ποτ' ἂν νείμειεν ἀξίαν χάριν Soph. 511, 2. πέλεται οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς οὔτ' ἀχρείων τὸ λίαν κακός Soph. 606, 2. οὔτε τοὐπιεικὲς οὔτε τὴν χάριν οἶδεν Soph. 703, 2. ἐρῶ σοι δεινὸν οὐδέν, οὔθ' ὅπως - πατρῴας ἐξελήλασαι χθονός, οὔθ' (οὐδ' ll.) ὡς - ὁ Τυδεὺς - ἐν Ἄργει - οἰκίζεται, οὔθ' (al. οὐδ') ὡς - ὠμοβρῶς ἐδαίσατο τὸν Ἀστάκειον παῖδα Soph. 731, 1. 3. 5. οὔτε δαιτὸς οὔτε χέρνιβος θιγών Soph. 1026, 7. οὔτ' εἰκὸς ἄρχειν οὔτε χρῆν εἶναι νόμον τύραννον εἶναι Eur. 172. κοὔτ' ἂν ἀσπίδος κύτει ⟨καλῶς⟩

ὁμιλήσειας οὔτε - νεανικὸν βούλευμα βουλεύσαιό ‹τι› Eur. 185, 4. 5. οὔτε ναυτίλον φιλῶ τολμῶντα λίαν οὔτε προστάτην χθονός Eur. 194, 3. οὔτ' (οὐδ' ll.) εὐτυχεῖ τὸ πάμπαν οὔτε δυστυχεῖ Eur. 196, 2 οὔτ' οἶκον οὔτε πόλιν ἀνορθώσειεν ἄν Eur. 239, 2. 364, 3. κρείσσω γὰρ οὔτε δοῦλον οὔτ' ἐλεύθερον τρέφειν - ἀσφαλές Eur. 251. ζῆν οὔτε μανθάνουσιν εὖ οὔτ' ἂν δύναιντο Eur. 282, 3. 4. οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή Eur. 320, 1. 2. οὔτε γὰρ τυραννίδες χωρὶς πόνου γένοιντ' ἂν οὔτ' οἶκος μέγας Eur. 426, 2. 3. οὐδεὶς οἶδεν - οὔτ' εὐτυχοῦς ἀριθμὸν οὔτε δυστυχοῦς Eur. 843, 2. ἵν' οὔτ' ἄγαν πῦρ οὔτε χεῖμα συμπίτνει Eur. 981, 3. οὐ γὰρ πέφυκε δοῦλον οὔτε χρημάτων οὔτ' εὐγενείας οὔτε θωπείας ὄχλου Eur. 1029, 2. 3. οὔτ' ἐκ χερὸς μεθέντα - λίθον ῥᾷον κατασχεῖν οὔτ' ἀπὸ γλώσσης λόγον Eur. 1044, 1. 2. οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις οὔτ' εὐτυχοῦσι Eur. 1056, 1. 2. οὔτ' ἐν πνοαῖσι χείματος δυσχείμερον οὔτ' αὖ τεθρίπποις ἡλίου θερμὴν ἄγαν Eur. 1083, 7. 8. ὅτ' οὐδὲν ἆθλον οὔτε τοῖς ἐσθλοῖσιν ἦν οὔτ' αὖ κόλασμα τοῖς κακοῖς ἐγίγνετο Crit. 1, 3. 4 p. 771. τίς φύσις οὔθ' ὅσα γαῖα φέρει - οὔθ' ὅσα πόντος οὔτε βροτοῖσιν ἔχει γυίων αὔξησιν ὁμοίαν Theod. 18, 1. 2 p. 807. οὐδέπω γὰρ ἦν οὔτε στεγήρης οἶκος οὔτε - πύργοις ὠχυρωμένη πόλις Mosch. 6, 7 p. 813. δεῖπνον γὰρ οὔτ' ἐν Καρίᾳ - οὔτ' ἐν Ῥόδῳ τοιοῦτον οὔτ' ἐν Λυδίᾳ κατέχω δεδειπνηκώς Lycophr. 1, 3. 4 p. 817. οὔτ' ἂν καταίθων οὔτε κρατὸς ἐξ ἄκρου - καθεὶς πρίον' εἰς ἄκρους πόδας πύθοι' ἄν adesp. 114, 2. ἔνθ' οὔτε πελλῆς οἰὸς ἄγραυλος βότος (?) Soph. 110. οὔτ' ἄλλο φῖτυ πρῷον Soph. 803. οὔτε γὰρ πλοῦτός ποτε βέβαιος ἄδικος Eur. 354, 2. οὔτ' εἶπον οὐδὲν πρὸς ‹σὲ› κῦρον adesp. 226. — ἔπειτα δ' οὐδεὶς ἐχθρὸς οὔτε φύεται πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν Soph. 85, 4. ἐκ τῆς ἐπιστήμης γὰρ ἐκπεπτωκότες κεῖνοί τ' ἂν οὐδὲν εἶεν οὔθ' ἡμεῖς ἔτι Eur. 522, 4. οὔτε (al. οὐδὲ) μήτηρ ἡδονὰς τοίας ἔχει, οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ Eur. 324, 2.

οὔτις: τὴν οὔτις ᾔδειν ἐκ θεοῦ κεκρυμμένην Soph. 303. ἄκων δ' ἁμαρτὼν οὔτις ἀνθρώπων κακός Soph. 604. οὔτις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ Eur. 45. κρείσσων γὰρ οὔτις χρημάτων πέφυκ' ἀνήρ, πλὴν εἴ τις Eur. 325. μητέρα δὲ τὴν σὴν οὔτις ἐστύγει βροτῶν Theod. 2 p. 801. οὔτι τοι μέτρον μάτας Soph. 730. ἐλέσθαι δ' οὔτιν' ἐκ γαίας λίθον ἔξεις Aesch. 199, 4. τυφλὸς οὔτι (οὔτοι l.) γνώσεται adesp. 458, 10. cf. οὐ i) et οὗτοι.

οὗτοι: οὗτοι γυναιξὶ . . κυδάζεσθαι Aesch. 94. οὔτοι (οὔτι l.) μ' ἄπειρον τῆσδε τῆς προσῳδίας Aesch. 299. οὗτοι - χρὴ - μητρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν Soph. 139. οὗτοι ποθ' † ἥξει τῶν ἄκρων ἄνευ πόνου Soph. 365. οὔτοι (οὕτω ll.) γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν κακῆς ἀνὴρ κτήσαιτ' ἄν Soph. 621. οὗτοι νόμισμα λευκὸς ἄργυρος μόνον καὶ χρυσός ἐστιν Eur. 542. οὗτοι (οὔτι al.) προσελθοῦσ' ἡ Δίκη σε - παίσει

πρὸς ἥπαρ Eur. 979. οὗτοι πρέπει τὸ σχῆμα adesp. 381. (cf. οὔτις.)

οὗτος: οὗτος δ' ἐφηῦρε τεῖχος Ἀργείων στρατῷ Soph. 399. οὐ λιμὸν οὗτος τῶνδ' ἔπαυσε Soph. 438. τίς [ὄρνις] οὗτος ἕξεδρον χώραν ἔχων Soph. 593. οὐκ ἔστιν οὗτος ὄντιν' εὑρήσεις ἕνα Soph. 620, 2. ὁ σκληρὸς οὗτος καὶ γίγαντας ἐκτρέφων - Πάλλας Soph. 872, 7. ᾧ δ' ἂν - χρόνον συνοικῇ πλεῖστον, οὗτος εὐγενής Eur. 22, 5. τύχας ὅστις φέρει κάλλιστ' ἀνὴρ οὗτος σοφός Eur. 37, 2. ὁ χρόνος ἅπαντα - φράσει, λάλος ἐστὶν οὗτος Eur. 112, 2. ὅστις - φέρει - οὗτος ἠσσόν ἐστιν ἄθλιος Eur. 175, 2. κρείσσων γὰρ οὔτις χρημάτων πέφυκ' ἀνήρ, πλὴν εἴ τις· ὅστις δ' οὑτός ἐστιν οὐχ ὁρῶ Eur. 325, 2. οὗτος θέρους τε λαμπρὸν ἐκπέμπει σέλας χειμῶνά τ' αὔξει Eur. 330, 3. κύκλος τις ὡς τόρνοισιν ἐκμετρούμενος, οὗτος δ' ἔχει σημεῖον Eur. 382, 4. ἔν ἐστι πάντων πρῶτον εἰδέναι τουτί, φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως· χοὗτός γ' ἀνὴρ ἄριστος Eur. 572, 3. ὅστις νέμει κάλλιστα τὴν αὑτοῦ φύσιν, οὗτος σοφὸς πέφυκε Eur. 634, 2. ὁ λῷστος οὗτος καὶ φιλοξενέστατος Eur. 879. προσομιλεῖν οὗτος ὁ δαίμων πάντων ἥδιστος ἔφυ θνητοῖς Eur. 897, 3. ὅστις πατὴρ - ἐκβαίνει πικρός, τὸ γῆρας οὗτος ἐρματίζεται βαρύ Eur. 952, 2. ἣν ὁ νῦν ⟨δὴ⟩ λαμβάνειν μέλλων μ' ἀνήρ - ἣν οὗτος αὖθις ἀποβάλῃ τὴν οὐσίαν Eur. 953, 30. ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος, τὸ μὴ οὐ σὲ - προσφιλῆ νέμειν Eur. 1064. εἰ δέ τις πράσσει καλῶς κακὸς πεφυκώς, τὸν χρόνον κερδαινέτω· χρόνῳ γὰρ οὗτος - δώσει δίκην Eur. 1131, 5. ἀρχὴν δὲ τῶνδε - Ἀκρίσιος εἵληχεν - οὗτος δὲ - Ὑθώδ' ἀφῖκτο Eur. 1132, 6. τίς ὁ καινότροπος οὗτος μῦθος κατ' ἐμὰν ἦκεν ἀκουάν Eur. 1132, 49. οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν τίθησι Aristarch. 2, 4 p. 728. Γλυκέρας ὁ σῖτος οὗτος ἦν Pyth. 1, 17 p. 811. οὗτος δ' ἐκείνου παῖς Sosith. 2, 4 p. 822. ὅστις δὲ γαστρὸς μὴ κρατεῖν ἐπίσταται, οὗτος - ἔχει κακά Char. 1, 5 p. 826. οὗτος (οὕτω ll.) μὲν οὖν μοι δεῦρ' ἀεὶ τείνει λόγος adesp. 183. Αἴγινα δ' αὕτη πρὸς νότου κεῖται πνοάς Aesch. 404. αὕτη δὲ μάχιμός ἐστιν Soph. 597. ὅπου γὰρ οἱ φύσαντες ἠσσῶνται τέκνων, οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις Soph. 850, 2. τὴν μὲν εὑρήσεις κακήν, τὴν δ' ὥσπερ αὕτη λῆμ' ἔχουσαν εὐγενές Eur. 657, 4. τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός - αὕτη τρέφει σὲ κἀμέ Eur. 898, 4. οὐ πρέπει τύραννον - νεῖκος αἵρεσθαι κακοῖς· τιμὴ γὰρ αὕτη τοῖσιν ἀσθενεστέροις Eur. 1050, 3. ἅπαντα - γηράσκειν ἔφυ - πλὴν - τῆς ἀναιδείας μόνης· αὕτη δὲ - μείζων γίγνεται Theod. 12, 4 p. 805. γάμος κράτιστός ἐστιν - τρόπον γυναικὸς χρηστὸν - λαμβάνειν· αὕτη γὰρ ἡ προῖξ οἰκίαν σῴζει μόνη Hippoth. 6, 3 p. 828. ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον Aesch. 201. τὸ - νόσημα τοῦτο Soph. 153. θεοῦ τὸ δῶρον τοῦτο Soph. 879. πλείστη γὰρ ἀρετὴ τοῦθ' ὑπάρχον ἐν βίῳ τὴν ἀξίωσιν τῶν καλῶν τὸ σῶμ' ἔχειν Eur. 15, 3. πῶς γὰρ σοφὸν τοῦτ' ἔστιν, ἥτις εὐφυᾶ λαβοῦσα τέχνη φῶτ' ἔθηκε

χείρονα Eur. 186. οὐ τοῦτο τἀκριβέστατον Eur. 206, 3. εἰ δ' ἠμελήθην ἐκ θεῶν - ἔχει λόγον καὶ τοῦτο Eur. 208, 2. τὸ δ' ἐκλαλοῦν τοῦθ' ἡδονῆς μὲν ἅπτεται Eur. 219, 2. φέρει δὲ καὶ τοῦτ' οὐχὶ μικρόν, εὐγενὴς ἀνὴρ στρατηγῶν Eur. 242. ὅστις νοῦν ἔχων τιμᾷ θεὸν καὶ κέρδος αὐτῷ τοῦτο ποιεῖται μέγα Eur. 256, 2. εἰς γάρ τις ἔστι κοινὸς ἀνθρώποις νόμος καὶ θεοῖσι τοῦτο δόξαν - τέκνα τίκτουσιν φιλεῖν Eur. 346, 2. τοῦτο γὰρ τό τ' εὐγενὲς - δίδωσι Eur. 362, 14. τοῦτο τἄδικον Eur. 497, 4. τό τοι κράτιστον - τοῦτ' ἔστιν ἀρετή Eur. 526, 2. τὸ δ' ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς τυραννίς, οὐχ εὕροις ἂν ἀθλιώτερον Eur. 605. δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον, σκαιοῖσιν εἶναι· τί ποτε τοῦτο (τοῦδε al.) ταῖτιον Eur. 776, 2. ζῆν τοῦθ' ὃ κέκληται θανεῖν - ἐστί Eur. 833. πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει· ἢν καὶ δίκῃ θνήσκῃ τις, οὐχ ἧσσον ποθεῖ πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους Eur. 834. τί τοῦτο δὴ τὸ χρηστόν Eur. 908, 7. πρῶτα μέν γε τοῦθ' ὑπάρχει· κἂν ἄμορφος ᾖ πόσις, χρὴ δοκεῖν εὔμορφον εἶναι Eur. 909, 4. τοῦτο τί μ' ἀδικεῖ Eur. 953, 13. τὸ μὲν τέθνηκε σῶμα, τοῦτο δ' ἀναβλέπει Eur. 1013. τὸ δ' ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν Eur. 1032. καὶ πρὸς κακοῖσι τοῦτο δὴ μέγας γέλως, ἀνὴρ τ' ἀχρεῖος χἡ γυνὴ διοίχεται Eur. 1063, 15. τὸ γνῶθι σαυτὸν τοῦτ' ἔπος μὲν οὐ μέγα Ion. 55 p. 743. ἐὰν δὲ κἂν σιγῇ τι βουλεύῃς κακόν, τοῦτ' οὐχὶ λήσει τοὺς θεούς Crit. 1, 23 p. 771. ἔστιν ὑμῖν τοῦτ' ἔαρ παντὸς βίου Pomp. 1, 5 p. 831. καὶ τοῦτο τοὔπος ἐστὶν ἀνδρὸς ἔμφρονος, ὅταν καλῶς πράσσῃ τις, ἐλπίζειν κακά adesp. 460. ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' - αἴσχρ' ἐστί, *τούτου τὸ σοφὸν οὐκ αἰνῶ ποτέ Eur. 583, 2. τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα Eur. 1040, 4. πέλας - ταύτης Eur. 669. ὑγρὰ δὲ μήτηρ - θάλασσα· τήνδ' ἀροῦμεν, ἐκ ταύτης βίος - ἔρχεται Eur. 670, 4. τῆς νόσου ταύτης Eur. 1070, 4. τί τούτου χάρμα μεῖζον ἂν λάβοις τοῦ - ὑπὸ στέγῃ πυκνῆς ἀκοῦσαι ψακάδος Soph. 579. τούτου (τούτων al.) δὲ πάντες - χρημάτων ὕπερ μοχθοῦσιν Eur. 580, 3. ὃ μὲν γὰρ εὐγένειαν ἰμείρει λαβεῖν, τῷ δ' οὐχὶ τούτου φροντίς Eur. 659, 3. τούτῳ δ' ἀνδρὶ μήτ' εἶην φίλος μήτε ξυνείην, ὅστις Eur. 29, 2. *τούτῳ Κελαιναὶ πατρὶς Sosith. 2 p. 822. τούτῳ δέ, τέκνον, πολλὰ κἀγάθ' οἱ θεοὶ . . δοῖεν adesp. 32. ταύτῃ τῇ νόσῳ ξυνών Eur. 1079, 3. νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος, ἵν' αὐτὸς αὐτοῦ τυγχάνει κράτιστος ὤν Eur. 183, 2. ἐν τούτῳ δέ μου τὴν πεῖραν - λάμβανε Eur. 691. ὃς κατέκτα τοῦτον Aesch. 221. τοῦτον δ' ἐπόπτην ἕποπα τῶν αὑτοῦ κακῶν Aesch. 304. οἴκοι μένειν χρὴ τὸν καλῶς εὐδαίμονα καὶ τὸν κακῶς πράσσοντα καὶ τοῦτον μένειν Aesch. 317, 2. πλοῦτος λαβών ‹τε› τοῦτον εὐγενὴς ἀνὴρ Eur. 249, 3. ὅστις - κακοῖ, τοῦτον νομίζω κἂν θεῶν συλᾶν βρέτη Eur. 328, 3. ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα - τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἠγοῦ θεόν Eur. 941, 3. ὅστις κατ' ἰσχὺν πρῶτος ὢν ἠτάζετο - τοῦ-

τον τυραννεῖν τῶν κακιόνων ἐχρῆν Eur. 1048, 6. ὅστις ἂν δίκαιος ᾖ - τοῦτον εὐγενῆ καλεῖν Astyd. 8, 3 p. 780. κεἰ τοῦτον οἱ ζητοῦντες Astydam. 8, 5 p. 780. ταύτην ἐγὼ Κίλλαν τε καὶ Χρύσην ⟨νέμω⟩ Soph. 37. χάριν δικαίαν καὶ φιλάνθρωπον - αἰτῶ σε ταύτην Eur. 953, 42. ὡς ὁ μακρὸς ηὔξανεν ταύτην χρόνος Eur. 1132, 25. ποίαν δῆθ' ὁρμάσω; ταύταν ἢ κείναν; κείναν ἢ ταύταν adesp. 137, 1. 2. † σεμνοκόπτει τοῦτο Aesch. 124, 2. τοῦτο κατειδότας ὡς οὐκ ἔστιν - οὐδεὶς τῶν μελλόντων ταμίας Soph. 531, 2. τοῦτο δ' εἰπεῖν ῥᾷον Eur. 44, 2. πατρὶ πείθεσθαι χρεὼν παῖδας νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην Eur. 110, 3. κἀπὶ τοῦτ' ἐπείγεται - ἵνα Eur. 183. μολπαῖσι δ' ἡσθεὶς τοῦτ' ἀεὶ θηρεύεται Eur. 187, 3. τοῦτο πάσχουσιν κακόν Eur. 220. τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω, καλῶς γνῶναι τὸν ἐχθρόν Eur. 743. ἐν τοῖσι μώροις τοῦτ' ἐγὼ κρίνω βροτῶν, ὅστις Eur. 784. ἦν οἱ τεκόντες τοῦτο γιγνώσκωσ' ὅτι νέοι ποτ' ἦσαν Eur. 951. σκοπεῖν τοῦτο Eur. 953, 37. ὁρίζω τοῦτο Eur. 1064, 5. οὐδεὶς τοῦτό μ' ἂν πίθοι Eur. 1067, 4. ὡς ἄπυρος χρυσὸς γεγώς, ποθεινὸν εἰδὼς κτῆμα τοῦτο τοῖς βροτοῖς Eur. 1132, 31. τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι, βροτοῖσι πολλὰ τυγχάνειν οὐκ εἰκότα Agath. 9 p. 765. οὐδὲ τοῦτο γιγνώσκεις, ὅτι τοῖς οὐδὲν οὖσιν οὐδὲ εἰς ὅλως φθονεῖ Dionys. 7 p. 795. τοῦτ' εἰδὼς ὅτι ἓν δρᾷ μόνον δίκαιον - φθόνος Carc. 8 p. 800. τοῦτ' αὐτὸ πρῶτον, ἐξαφαιρεῖται φρενῶν τὸν νοῦν τὸν ἐσθλόν adesp. 296, 2. τοῦτ' ἐπίσταμαι μὲν οὔ adesp. 546, 9. ὅστις καθ' ἑτέρου δόλια μηχανεύεται, αὐτὸς καθ' αὑτοῦ τοῦτο λανθάνει ποιῶν adesp. 573, 2. αὗται δὲ συντρέχουσιν Eur. 382, 12. αὗται δὲ συντείνουσιν Theod. 6, 7 p. 803. τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἔστι σοι Soph. 79. ταῦτ' ἐστὶν ἄλγιστ', ἢν - αὐτός τις αὑτῷ τὴν βλάβην προσθῇ Soph. 324. εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακά - ὁ χρυσὸς ἦσσον κτῆμα τοῦ κλαίειν ἂν ἦν· νῦν δέ - ταῦτ' ἀνηνύτως ἔχει Soph. 513, 4. ἀεὶ δ' ἀρέσκειν τοῖς κρατοῦσι· ταῦτα γὰρ δούλοις ἄριστα Eur. 93. νεανίας τε καὶ πένης σοφός θ' ἅμα· ταῦτ' εἰς ἓν ἐλθόντ' ἄξι' ἐνθυμήσεως Eur. 246, 2. σκῦλα μὲν βροτοφθόρα χαίρεις ὁρῶσα - κοὐ μυσαρά σοι ταῦτ' ἐστίν Eur. 266, 3. μὴ ἐπιτάξ τὰ φάρμακα διδόντ', ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ Eur. 292, 3. ταῦτα γὰρ βροτοῖς φίλτρον μέγιστον, αἱ ξυνουσίαι Eur. 323, 3. ἔστι - κἀν κακοῖσιν ἡδονὴ - ὀδυρμοὶ - ἀλγηδόνας δὲ ταῦτα κουφίζει Eur. 573, 3. ταῦτ' ἔστιν Eur. 953, 39. σημεῖα - ταῦτα γίγνεσθαι φιλεῖ, ὅταν τι ναοῖς ἐγκατασκήψῃ μύσος adesp. 466. τὰ δ' ἄλλ' ὀνόματα ταῦτα πρόσκειται μάτην adesp. 506, 2. ἃ δεῖ γενέσθαι, ταῦτα καὶ γενήσεται adesp. 583. ἔχων - τούτων θυμὸν ἱππογνώμονα Aesch. 243, 3. τί τούτων οὐχὶ δέξασθαι καλόν Eur. 360, 37. τούτων οὐδενὸς χρῄζω τυχεῖν Eur. 659, 9. οὐκ ἐμὲ προσήκει λαμβάνειν τούτων δίκην Eur. 953, 7. τούτοις - δουλεύομεν, καὶ τῶνδ' ἀνάγκη - κλύειν Soph. 464. θυσίας - τούτοις - στέφοντες

Soph. 1025, 8. μορφὰς ἀτερπεῖς - κεκτημένος παρεμφερεῖς ταύταισι τοὺς τρόπους ἔχεις Isid. 1, 2 p. 829. τούτους πῶς διαφθεῖραί με χρή Eur. 360, 17. ἐχρῆν μὲν οὓς ἐγὼ λόγους λέγω, τούτους λέγειν σε Eur. 953, 2. τούτους ἀφεστήκασιν Eur. 1006, 2. ἔπειτα δισσοὶ κανόνες - τούτους δὲ - συνδεῖ κανών Theod. 6, 3 p. 803. τάξεις - ταύτας Soph. 399, 3. γραμμαὶ δύο, ταύτας διείργει δ' - ἄλλη μία Eur. 382, 6. ταῦτα - Ζεὺς ἐγκαθίει - θεσπίσματα Aesch. 86. κοὐκ οἶδ' ὅτι χρὴ πρὸς ταῦτα λέγειν Soph. 81. ἃ δὲ δόξῃ τοπάζω, ταῦτ' ἰδεῖν σαφῶς θέλω Soph. 214, 2. πρὸς ταῦτα κρύπτε μηδέν Soph. 280. ταῦτα μὴ μάχου βίᾳ Soph. 339, 3. καὶ ταῦτα - χρεὼν ἐπαινεῖν Soph. 524, 11. ταῦτα δερχθέντες τέλη Soph. 753, 2. μηδ' αἰόλιζε ταῦτα Soph. 826. τί ταῦτ' ἐπαινεῖς Soph. 843. ταῦτ' οὖν φυλαξώμεσθα Soph. 1019, 10. οὐδὲ πυνθάνεσθε ταῦτα - τὰν τῇ πόλει Eur. 66. ταῦτα - σκεθρῶς ὁρᾶν Eur. 87, 2. οὐ γὰρ ὀρθῶς ταῦτα - ἔπραξας Eur. 97. ταῦτα - δρῶν Eur. 136, 5. τὰ κομψὰ ταῦτ' ἀφεὶς σοφίσματα Eur. 188, 5. οὐδεὶς - ταῦτα μωραίνει Eur. 282, 22. φήμ' ἐγὼ τυραννίδα κτείνειν τε πλείστους κτημάτων τ' ἀποστερεῖν - καὶ ταῦτα δρῶντες μᾶλλόν εἰσ' εὐδαίμονες τῶν εὐσεβούντων Eur. 286, 8. ταῦτά σε σκοπεῖν χρεών Eur. 332, 8. ἴστω δὲ μηδεὶς ταῦθ' ἃ σιγᾶσθαι χρεών Eur. 411. οὐ γὰρ ὀρθῶς ταῦτα κρίνουσιν θεοί Eur. 445. ⟨Ἀιδης⟩ κρινεῖ ταῦτα Eur. 465. ταῦτα - λέγειν ἐπιστάμεσθα Eur. 572, 4. ἃ - παραινῶ, ταῦτά μου δέξαι Eur. 757. τί ταῦτα δεῖ στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν Eur. 757, 7. ἅπαντα ταῦτ' ἤθρησα (?) Eur. 781, 54. ταῦτα δρῶν Eur. 853, 3. πρὸς ταῦθ' ὅτι χρὴ καὶ παλαμάσθων Eur. 918. ὅσ' ἂν ἀρέσκῃ τἀνδρὶ ταῦτα - ποεῖν Eur. 953, 16. ⟨ταῦτα⟩ - μαθών Eur. 964. Ζεὺς - ταῦτ' ἐβούλευσεν πατήρ Eur. 1082, 2. κἂν *ταῦτ' ἀληθῆ - ἴδῃ Eur. 1132, 42. ταῦτ' ἐτήτυμα μαθεῖν Eur. 1132, 60. καὶ ταῦτ' ἴσον μὲν εὖ λέγειν, ἴσον δὲ μή - πλέον γὰρ οὐδὲν οἱ σοφοὶ τῶν μὴ σοφῶν εἰς ταῦτα γιγνώσκουσιν Aristarch. 1, 1. 4 p. 728. πρὸς τί ταῦτα δύρομαι Neophr. 2, 5 p. 731. προσέχων - ταῦτα Crit. 1, 19 p. 771. ἀσκεῖν μὲν ἀρετήν, εὐτυχεῖν δ' αἰτεῖν θεούς· ἔχων γὰρ ἄμφω ταῦτα Carc. 4, 2 p. 799. τὰ δεινὰ ταῦτα καὶ τὰ πόλλ' ἔπη εἰς ὧδε μικρὸν τεῦχος ἤθροισεν τύχη Patrocl. 1 p. 830. ἤδη ταῦτ' ἐγὼ φράσαι adesp. 152. ταῦτα μὲν χρόνος δείξει adesp. 512.

οὑτοσί: † τουτί Eur. 572.

οὕτω(ς): (cf. οὗτοι.) οὐ χρῆν τάδ' οὕτω (al. οὕτως) δαίμονας - τάσσειν Soph. 103, 5. κοὐδεὶς ἂν οὕτως ηὐτύχει κακὸς γεγώς Soph. 103, 10. οὕτω δὲ τοὺς ἐρῶντας αὐτὸς ἵμερος δρᾶν καὶ τὸ μὴ δρᾶν - προσίεται Soph. 153, 8. ἔργου δὲ παντὸς· ἢν τις ἄρχηται καλῶς, καὶ τὰς τελευτὰς εἰκὸς ἐσθ' οὕτως ἔχειν Soph. 747, 2. θυσίας τε τούτοις - στέφοντες οὕτως εὐσεβεῖν νομίζομεν Soph. 1025, 9. οὕτω γὰρ κακὸν δούλων γένος· γαστὴρ ἅπαντα Eur. 49. φιλεῖ γὰρ οὕτως ἐκ κακῶν εἶναι κακούς Eur.

166, 2. οὕτως ἄριστον μὴ πεπειρᾶσθαι καλῶν Eur. 285, 18. οὕτω δὲ θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ - τῶν δὲ συννέφει Eur. 330, 6. οὕτω βίοτος ἀνθρώπων πλάνη Eur. 659, 8. βίον οὕτω δικαίως ζῶσιν αἰσχύνης ἄτερ Eur. 684, 5. ἄρξεις ἄρ' οὕτω Eur. 744. κἀγὼ μὲν οὕτω - λογίζομαι τἀληθές, εἰς ἀνδρὸς φύσιν σκοπῶν Eur. 812, 4. οὕτως ἔρως βροτοῖσιν ἔγκειται βίου Eur. 816, 9. οὕτω κρατηθεὶς τάσδ' ἀπεστάλην ὁδούς Aristarch. 2, 3 p. 728. οὕτω δὲ πρῶτον οἶομαι πεῖσαί τινα θνητοὺς νομίζειν δαιμόνων εἶναι γένος Crit. 1, 41 p. 772. εἰς οὕτω μέγαν - ἀγῶνα καὶ δυσέκφευκτον κρίσιν Theod. 10, 3 p. 805. οὕτως ἐσμὲν ἀχάριστοι φύσει Crat. 3, 4 p. 810. οὕτως πέπονθα adesp. 110, 3. (cf. οὗτος.) τυφλὸς οὔτι γνώσεται, οὕτω λέγοντες adesp. 458, 11. — οὐδὲν οὕτω λαμπρὸν - ὡς τοῖς ἅπαισι - παίδων - ἰδεῖν θάλος Eur. 316, 5. εἴθε πάντες οἳ ναίουσί σε οὕτω φιλοῖεν ὡς ἐγώ Eur. 360, 54. οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ Eur. 788. ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν ἔφυ, οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν ἀθάνατον Eur. 799, 2. οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν Eur. 1059, 4. οὐ γάρ τις οὕτω παῖδας εὖ παιδεύσεται, ὥστε Eur. 1068.

οὐχί: λευκός, τί δ' οὐχί Aesch. 310. σωτηρίας γὰρ φάρμακ' οὐχὶ πανταχοῦ βλέψαι πάρεστιν Soph. 281. τίς οὐχὶ τῆσδε δεύτερος θεοῦ Soph. 855, 8. ὅπου τίς ὄρνις οὐχὶ κλαγγάνει Soph. 874, 4. οὐχὶ θαυμάζω θεόν, ὃν Eur. 20. φέρει δὲ καὶ τοῦτ' οὐχὶ μικρόν Eur. 242. τίς δ' οὐχὶ χαίρει νηπίοις ἀθύρμασιν Eur. 272. τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών Eur. 287. τί τούτων οὐχὶ δέξασθαι καλόν Eur. 360, 37. σχολὴ μὲν οὐχί, τῷ δὲ δυστυχοῦντί πως τερπνὸν τὸ λέξαι Eur. 563. τῷ δ' οὐχὶ τούτου φροντίς Eur. 659, 3. ἡ δὲ φρὴν τῶν οὐχὶ δούλων ἐστ' ἐλευθερωτέρα Eur. 831, 2. τίς τάδε λεύσσων θεὸν οὐχὶ νοεῖ Eur. 913. τὰς - παρούσας οὐχὶ σῴζοντες τύχας Eur. 1077, 2. εἰ μὲν φράσω τἀληθές, οὐχί σ' εὐφρανῶ· εἰ δ' εὐφρανῶ τί σ', οὐχὶ τἀληθὲς φράσω Agath. 12, 1. 2 p. 766. τοῦτ' οὐχὶ λήσει τοὺς θεούς Crit. 1, 23 p. 771. σὸς μὲν οἰκτρὸς - πατήρ· Οἰνεὺς δ' ἄρ' οὐχὶ κλεινὸν ἀπολέσας γόνον adesp. 81, 2. ἃ καὶ κυσὶν πεινῶσιν οὐχὶ βρώσιμα adesp. 118, 4. θεὸς *οὐχὶ ληπτός· εἰ δὲ ληπτός, οὐ θεός adesp. 168. ὕβρις τάδ', οὐχὶ (οὐχ ἡ ll.) Κύπρις ἐξεργάζεται adesp. 409. τῆς δειλίας σημεῖα κοὐχὶ τοῦ θράσους adesp. 450, 2.

ὀφείλω: ὤφειλε δῆθεν - μὴ τὸν αὐτὸν δυστυχῆ καθιστάναι Eur. 900. ἦν μήποτ' ὤφελ' εἰς ὦτα φέρειν ὁ - τάδε φράσαι τολμήσας Eur. 1132, 55. εἶθ' ὤφελεν τὸ κάλλος ὅ με διώλεσεν κακῶς ὀλέσθαι adesp. 174. τῷ πονοῦντι δ' ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος Aesch. 315, 2. δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται Aesch. 456. τὸν δρῶντα γάρ τι καὶ παθεῖν ὀφείλεται Soph. 209. κατθανεῖν δ' ὀφείλεται καὶ τῷ κατ' οἶκους - ἡμένῳ Eur. 10. οὐδ' ἂν ἀναγκασθείς τις εὖ δράσῃ τινά, προσῆκον οἶμαι τῷδ' ὀφείλεσθαι χάριν adesp. 80, 4.

ὄφελμα Soph. 975.

ὄφελος: τί τῆς εὐμορφίας ὄφελος, ὅταν τις μὴ φρένας καλὰς ἔχῃ Eur. 548, 2.

ὀφθαλμός: νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων ὀφθαλμός Aesch. 243, 2. οὐ γὰρ ὀφθαλμὸς τὸ κρίνειν.. ἐστὶν ἀλλὰ νοῦς Eur. 909, 6. ὁ τῆς Δίκης ὀφθαλμὸς - πάνθ' ὁμως ἀεὶ βλέπει Dionys. 5 p. 795. ὥσπερ ὀφθαλμὸς Διός adesp. 278. ἔστιν Δίκης ὀφθαλμός, ὃς τὰ πάνθ' ὁρᾷ adesp. 421. οὐχ εὖδει Διὸς ὀφθαλμός adesp. 485, 2. ὀξὺς θεῶν ὀφθαλμὸς εἰς τὰ πάντ' ἰδεῖν adesp. 491. ἴσον μετρῶν ὀφθαλμόν Soph. 433, 4. εἰ δ' ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ Eur. 324, 5. ἡ δ' ἐν ὀφθαλμοῖς χάρις ἀπόλωλε Eur. 736, 5. (cf. ὄσσε.) μηδ' ἐν ὀφθαλμοῖς ἐᾶν τῆς πρόσθε θοίνης μνημόνευμα δυσσεβοῦς Mosch. 6, 32 p. 814. αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται Eur. 457. τὰ δ' αἰσχρὰ μισεῖ καὶ κατ' ὀφθαλμοὺς † ἔχει Eur. 410, 3.

ὄφις: τρέφουσι κρήνης φύλακα χωρίτην ὄφιν Soph. 206.

ὀφλισκάνω: πολλὴν παρ' ἡμῖν μωρίαν ἐφλισκάνει Eur. 86, 2. βροτοῖς ‹δ'› ἂν ἐλθὼν ἐς λόγον δίκην ὄφλοι Soph. 481, 5.

ὀφρύς: ἐὰν ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ - ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα Eur. 1040, 3.

ὀχεῖον: ὀχεῖα πόντια adesp. 251. ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς δοὺς ἀντίδουλα Aesch. 194.

ὄχημα: αὔρα, θεῶν ὄχημα τιμιώτατον adesp. 565. ζευγνὺς ἁρμονίᾳ πολύκαρπον ὄχημα Eur. 943, 2. ἐπ' ἀστράβης ὄχημ' ἀκινδύνως φέρων adesp. 210. κρούσας δὲ πλευρὰ πτεροφόρων ὀχημάτων μεθῆκεν Eur. 779, 6.

ὄχθος: τίν' ὄχθον τόνδ' ὁρῶ περίρρυτον ἀφρῷ θαλάσσης Eur. 125. ξεστὸν ὄχθον Δαναΐδων ἑδρασμάτων Eur. 305. περίκλυστον - Ἀκροκόρινθον, ἱερὸν ὄχθον, πόλιν Ἀφροδίτας Eur. 1084, 2. Νυμφαῖον ὄχθον Ion. 52 p. 742.

ὀχληρός — Eur. 568. 1119.

ὄχλος: (cf. ψόφος.) ἄκριτός τ' ἄστρων ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει Eur. 593, 5. εὐδαιμονίζων ὄχλος ἐξέπληξέ με Eur. 778. καὶ βαιὸς ὄχλος μυρίας λόγχης κρατεῖ Mosch. 1, 3 p. 812. οὐ γὰρ πέφυκε δοῦλον - θωπείας ὄχλου Eur. 1029, 3. σὺν ὄχλῳ (al. ὅπλοις) δ' ἀμαθία πλεῖστον κακόν Eur. 200, 4. τάχ' ἄν - φιλημάτων ὄχλῳ ψυχὴν ἐμὴν κτήσαιτο Eur. 323, 2. ἀγρώστην ὄχλον Soph. 91. εἰσελήλυθεν πολλῶν σοφιστῶν ὄχλον (ὄχλος l.) ἐξηρτημένος Ioph. 1, 2 p. 761.

ὄχος: μοναστραβὴς ὄχος adesp. 239. ὄχοις Ἀκεσταίοισιν ἐμβεβὼς πόδα Soph. 611. † ὄχος adesp. 212.

ὀχοῦμαι: λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα adesp. 55.

ὀχυρῶ: λαΐνοις εὐρεῖα πύργοις ὠχυρωμένη πόλις Mosch. 6, 8 p. 813.

ὀχῶμαι: ὀχᾶσθαι (?) adesp. 250.

ὄψ: κεῖνος δὲ δυσξύμβλητον ἐξήνεγκ' ὄπα Eur. 1132, 10.

ὄψιος Eur. 1119.

ὄψις: δίκρα ὄψις Aesch. 52. σελήνης ὄψις εὐφρόνας δύο στῆναι δύναιτ' ἂν οὔποτ' ἐν μορφῇ μιᾷ Soph. 787, 3. ἑρᾷ - ὄψις τῆς θύραθεν ἡδονῆς Eur.

1063, 4. τἀληθὲς ὄψει προσκοποῦμενος μαθεῖν Eur. 1132, 41. πέμφιγι πᾶσαν *ὄψιν ἀγγέλῳ πυρός Soph. 496. ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν Eur. 52, 5. βλέπουσά τ' εἰς πᾶν - τὴν ὄψιν ἐμπλήσασ' ἀπήλλακται κακῶν Eur. 1063, 7. εἰς ἀνδρὸς ὄψιν εὐλαβούμενος μολεῖν Eur. 1132, 24. ἀδικεῖν νομίζων ὄψιν αἰδοῦμαι φίλων Agath. 22 p. 767. νῦν σοι πρὸς ὄψιν (?) θυμὸς ἠβάτω Sosiph. 2 p. 820. ἀντάρης νυκτερὶς ὄψεσιν Soph. 681. μορφὰς ἀτερπεῖς ὄψεσιν κεκτημένος Isid. 1 p. 829. καὶ σώματος μὲν † ὄψεις κατειργάζετο Chaer. 1 p. 781.

ὄψον: τί γὰρ ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτερον Aesch. 309, 3. τράπεζα - πλήρης - ὄψων ποντίων Eur. 467, 2.

Π.

παγά: παγαῖς (πηγαισ l.) τ' ἐπ' Ὠκεανοῦ μελιβόας κύκνος ἀχεῖ Eur. 773, 33. cf. πηγή.

πάγη: πάγας ὑποπύρους Soph. 402.

πάγκακος: ὦ παγκακίστη καὶ γυνή Eur. 666. ὦ παγκάκιστοι καὶ τὸ δοῦλον οὐ λόγῳ ἔχοντες Eur. 57. ὦ παγκάκιστα χθόνια γῆς παιδεύματα Eur. 939.

παγκάκως: μάγοι ὁρῶντες αὐτὸν παγκάκως διακείμενον Pyth. 1, 6 p. 811.

παγκάλως: ὁ μὲν ζάπλουτος - παγκάλως - ἀλγύνεται ὄλβου διοίγων θάλαμον Eur. 285, 7.

παγκάρπεια: ἐνῆν δὲ παγκάρπεια συμμιγὴς ὁλαῖς Soph. 366, 3. σὺ δέ μοι θυσίαν - παγκαρπείας δέξαι Eur. 912, 4.

παγκληρία: ἔστιν τις Αἶα Θεσσαλῶν παγκληρία Soph. 829.

παγκρατής: καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει Ζεύς Eur. 431, 4.

πάγξενος: πολὺν δ' ἀγῶνα *πάγξενον κηρύσσεται Soph. 348.

πάγος: Κυχρεῖος πάγος Soph. 521. κατ' Ἰδαῖον πάγον Διὸς πατρῴου βωμός ἐστ' ἐν αἰθέρι Aesch. 162, 2. ὦ Λῆμνε Χρύσης τ' ἀγχιτέρμονες πάγοι Soph. 353. νομὰς δέ τις κεροῦσσ' ἀπ' ὀρθίων πάγων καθεῖρπεν ἔλαφος Soph. 86. Ἴναχε - πρεσβεύων Ἄργους τε γύαις Ἥρας τε πάγοις Soph. 248, 3. ἦλθ' ἐπώνυμος πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις Soph. 300, 2. καὶ γῆν μὲν Αἰτναίοισι Σικελίας πάγοις πυρὸς γέμουσαν - στενάξαι Carc. 5, 6 p. 799. ἄλλον εἰς τόπον - καὶ πάγους ἀποικιεῖ Aesch. 304, 10.

πάγος: ὅταν πάγου φανέντος αἰθρίου χερσῖν κρύσταλλον ἁρπάσωσι παῖδες Soph. 153, 3.

πάγχορτος: σίτοισι παγχόρτοισιν ἐξενίζομεν Soph. 605.

πάθημα: εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων Eur. 176, 5.

πάθος: ἥκομεν . . δεσμοῦ - πάθος τόδ' ἐποψόμενοι Aesch. 190, 3. σὺ δ' εἴ τίς ὅστις τοὐμὸν ὤκτιρας πάθος Eur. 127, 2. ἀλλ' ἔστι - Ζεὺς καὶ θεοὶ βρότεια λεύσσοντες πάθη Eur. 991, 2.

παιάν: ὦ θάνατε παιάν, μή μ' ἀτιμάσῃς μολεῖν Aesch. 255. παιὰν Ἄπολλον εὔλυρε Eur. 477. — παιᾶν' (al. παιῶν' et παιών) ἐπηυφήμησεν Aesch. 350, 4. cf. παιών.

παιδαγωγῶ: γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ Soph. 633.

παίδευμα: κακόν τι παίδευμ' (al. βούλευμ') ἦν ἄρ' εἰς εὐανδρίαν ὁ πλοῦτος Eur. 54. παίδευμα δ' Ἔρως σοφίας ἀρετῆς πλεῖστον ὑπάρχει Eur. 897. παιδεύματα προσλαμβάνειν δὲ δεῖ καθ' ἡμέραν ἀεί Soph. 1019, 3. ποικιλίᾳ πραπίδων δεινὰ μὲν φῦλα πόντου χθονίων τ' ἀερίων τε δάμναται παιδεύματα (al. βουλεύματα) Eur. 27, 5. ὦ παγκάκιστα χθόνια γῆς παιδεύματα Eur. 939.

παιδεύω: λευκὸν αὐτὴν ὧδ' ἐπαίδευσεν γάλα Soph. 446. ἀεί τι καινὸν ἡμέρα παιδεύεται Eur. 945. οὐ γάρ τις οὕτω παῖδας εὖ παιδεύσεται Eur. 1068.

παιδικός: ὅτῳ δ' ἔρωτος δῆγμα παιδικοῦ προσῇ Soph. 757. — τὰ παιδίχ', ὡς ὁρᾷς, ἀπώλεσας Soph. 157.

παίζω: παίζω· μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ Eur. 864. παίζετ', ὦ νέαι φρένες Pomp. 1, 4 p. 831. κόμας ἐκειράμεσθα - ἣ που ποθεινὸν χρῆμα παιζούσῃ φρενὶ Agath. 3, 2 p. 763.

παῖς: ξανθὸς Φαμενὸς Τειρεσίου παῖς Soph. 361. πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ Soph. 447, 3. παῖς δ' οὖν κακὸν μὲν δρᾶν τι προῖκ' ἐπίσταται Soph. 1019, 6. Ἕλλην - γίγνεται Διός, τοῦ δ' Αἴολος παῖς Eur. 14, 2. καὶ συννεάζων ἡδὺ παῖς νέῳ πατρί Eur. 317, 6. Οἰνεὺς δ' ἀνάσσει τῇσδε γῆς Αἰτωλίας, Πορθάονος παῖς Eur. 515, 4. καλὸς δέ τις κἂν ἐκ πενήτων σωμάτων γένοιτο παῖς Eur. 527, 3. οὐκ οὖν ἔσθ' ὁ παῖς ἐν οἰδμασιν Eur. 636, 8. ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς - καὶ παῖς Φαέθων βαίνουσι Eur. 773, 60. τοσαῦτ' ἀκούσας *παῖς ἔμαρψεν ἡνίας Eur. 779, 5. βασίλεια τάλαινα παῖς τ' ἔσω κρυφαῖος νέκυς Eur. 781, 66. Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών, Ἀγήνορος παῖς, ἦλθε Θηβαίαν χθόνα Eur. 819, 2. ὁ τῆς τύχης παῖς κλῆρος Eur. 989. παῖς ὢν φυλάσσου πραγμάτων αἰσχρῶν ἄπο Eur. 1027. Αἰγαίου Ποσειδῶ παῖς, πατὴρ δ' ἐμός Aristiae 1 p. 726. δέξαι κυνῆν μοι, πρόσπολε . . μὴ καὶ φοβηθῇ παῖς Astyd. 2, 2 p. 778. χορῶν ἐραστὴς κισσός, ἐνιαυτοῦ δὲ παῖς Chaer. 5 p. 783. κυλίκιον ὑδαρὲς ὁ παῖς περιῆγε τοῦ πεντωβόλου Lycophr. 2, 2 p. 817. οὗτος δ' ἐκείνου παῖς πατρὶ πλαστὸς νόθος Sosith. 2, 4 p. 822. οὐ παῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος αὐτὸς εἶ adesp. 363. γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει, παῖς παιδί adesp. 364, 2. καὶ γὰρ κάπρον - οὐ μόνον γυνή, παῖς δ' ἂν νεογνὸς χειρὶ προσκνήθων νέᾳ κλίνοι adesp. 383, 2. μὴ πάντα *παιδὸς ἐκχέω πρὸς αἵματι Aesch. 99, 23. δύο - μορφὰς φανεῖ παιδός τε χαὐτοῦ Aesch. 304,

6. τοῦ παιδὸς ὄντος τοῦδ' ἐγὼ διόλλυμαι Soph. 168, 2. παιδὸς πατρός τε τῇδ' ἐν ἡμέρᾳ λέχη κρᾶναι θελόντων Eur. 773, 74. οὗτος δ' ἔρωτι παιδὸς ἄρσενος σχεθεὶς Πυθῷδ' ἀφῖκτο Eur. 1132, 6. πῶς ἂν γένοιτο σπέρμα παιδὸς ἐν δόμῳ Eur. 1132, 8. ἔσται παιδὸς ἄρσενος τόκος οὐκ ἐξ ἐκείνου Eur. 1132, 11. γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει, παῖς παιδί adesp. 364, 2. καὶ παιδὶ καὶ γέροντι προσφέρων τρόπους adesp. 453. τίνος κατέκτας ἕνεκα παῖδ' ἐμὸν βλάβης Aesch. 181. ὃ δ' - αὐτός ἐστιν ὁ κτανὼν τὸν παῖδα τὸν ἐμόν Aesch. 350, 9. οὗτοι γένειον ὧδε χρὴ διηλιφὲς φοροῦντα - μητρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν Soph. 139, 3. ἣ μὲν ὡς ἵ θάσσονα, ἣ δ' ὡς ἵ τέτοκε παῖδα Soph. 430, 2. Τυδεὺς - ὠμοβρῶς ἐδαίσατο τὸν Ἀστάκειον παῖδα διὰ κάρα τεμών Soph. 731, 6. δοκεῖς τὸν Ἅιδην - παῖδ' ἀνήσειν τὸν σόν Eur. 332, 2. ἐγὼ χάριν σὴν παῖδά σου κατακτάνω Eur. 466. Πολύβου παῖδ' ἐρείσαντες πέδῳ ἐξομματοῦμεν - κόρας Eur. 541. τὸν παῖδα χερσεύειν μόρος. εἰ μὲν γὰρ - εἰς θάλασσαν ἔπτατο - ὄρνις, ἡρμήνευσεν ἂν τὸν παῖδ' ἐν ὑγροῖς κύμασιν τεθνηκέναι Eur. 636, 3. 6. περὶ γὰρ μεγάλων γνώμας δείξει, παῖδ' ὑμεναίοις - θέλων ζεῦξαι Eur. 773, 64. πατὴρ - ἵππευε παῖδα νουθετῶν Eur. 779, 9. τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι Eur. 1067. παῖδα γάρ, κἂν ᾖ γέρων, καλεῖν δίκαιον ὅστις ἂν adesp. 68. τὸν παῖδά μοι τόνδ' ἀξίως Ἡρακλέους ἡμῶν τε θρέψαι adesp. 399. Ἀτρέως πολυκοίρανε μάνθανέ μου παῖ Aesch. 238. τὸ ζῆν γάρ, ὦ παῖ, παντὸς ἥδιστον γέρας Soph. 64. ὦ παῖ, σιώπα Soph. 78. Ἴναχε νᾶτορ, παῖ τοῦ κρηνῶν πατρὸς Ὠκεανοῦ Soph. 248. ἄπελθ' ἄπελθε, παῖ Soph. 330. τοὺς εὐγενεῖς - ὦ παῖ, φιλεῖ Ἄρης ἐναίρειν Soph. 657. ὦ παῖ Κρέοντος, ὡς ἀληθὲς ἦν ἄρα Eur. 75. ὦ παῖ, γένοιντ' ἂν εὖ λελεγμένοι λόγοι ψευδεῖς Eur. 206. σοὶ δ' εἶπον, ὦ παῖ, τὰς τύχας ἐκ τῶν πόνων θηρᾶν Eur. 233. ὦ παῖ, νέων τοι δρᾶν μὲν ἔντονοι χέρες Eur. 291. Φοινικογενοῦς [παῖ τῆς Τυρίας] τέκνον Εὐρώπης Eur. 472. τὸ γῆρας, ὦ παῖ, τῶν νεωτέρων φρενῶν σοφώτερον πέφυκε Eur. 619. ἄληθες, ὦ παῖ τῆς θαλασσίας θεοῦ Eur. 885. τί δ' ἔστιν, ὦ παῖ adesp. 68. ὦ παῖ, φυλάσσου μὴ σφαλῇς adesp. 120. ἐπεὶ σχολὴ πάρεστι, παῖ Μενοιτίου adesp. 138. ὦ παῖ, τὸ δεῖσθαι τῶν πέλας θνητοῖς μέγα διδασκαλεῖον τῆς ἀναιδείας ἔφυ adesp. 558. ἦ μήποτ', ὦ παῖ Ζηνός, εἰς ταὐτὸν μόλοις adesp. 561. εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ, ἔχει λόγον καὶ τοῦτο Eur. 208. ἐς Οἰδίπου δὲ παῖδε, διπτύχω κόρω, Ἄρης κατέσκηψε adesp. 72. ὅταν - κρύσταλλον ἁρπάσωσι *παῖδες Soph. 153, 4. εἰσὶ μητρὶ παῖδες ἄγκυραι βίου Soph. 623. οὐδ' ἂν ἐκ μητρὸς κακῆς ἐσθλοὶ γένοιντο παῖδες Eur. 298, 3. οὔτε μήτηρ ἡδονὰς τοίας ἔχει, οὐ παῖδες ἀνθρώποισιν Eur. 324, 3. τεθνᾶσι παῖδες οὐκ ἐμοὶ μόνῃ βροτῶν Eur. 454. παῖδες δὲ χρηστοί, κἂν θάνωσι, δώμασιν καλόν τι θησαύρισμα Eur. 518, 3. Θεστίου παῖδες (al. κόροι) τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδός Eur. 530, 7. παίδων - ἐζύγην

ξυνάονι Aesch. 99, 6. Ῥαδάμανθυν, ὅς περ ἄφθιτος παίδων ἐμῶν Aesch. 99, 12. καὶ γυνὴ φεύγει πικρὰν ὠδῖνα παίδων Soph. 846, 2. οὐδὲν οὕτω - ἰδεῖν καλὸν ὡς τοῖς ἄπαισι - παίδων νεογνῶν - θάλος Eur. 316, 7. ὄντων δὲ παίδων καὶ πεφυκότος γένους Eur. 338. θετῶν δὲ παίδων ποῦ κράτος Eur. 359. εἰ γὰρ αἱρεθήσεται πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι Eur. 360, 40. καὶ γὰρ ἐντεῦθεν νοσεῖ τὰ τῶν γυναικῶν· οἱ μὲν ἢ παίδων πέρι ἢ συγγενείας εἵνεκ' οὐκ ἀπώλεσαν κακὴν λαβόντες Eur. 497, 2. πολὺς παρῆλθεν εἰς γονὴν παίδων χρόνος Eur. 1132, 21. ἐξῆλθον ὑμῶν ἱκέτις ἡβώντων τροφὸς παίδων Ion. 54, 2 p. 743. παίδων κρατεῖν δεῖ τῶν νεωτέρων σοφούς Hippoth. 4 p. 828. ὀλόμενε παίδων, ποῖον εἴρηκας λόγον adesp. 2. γνησίων ἐπὶ σπορᾷ παίδων adesp. 444, 2. ἀγείρω Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις Aesch. 168, 3. πέφυκε γάρ πως *παισὶ πολέμιον γυνὴ τοῖς πρόσθεν Eur. 4. πατρὸς δ' ἀνάγκη παισὶ πείθεσθαι λόγῳ Eur. 234. πατέρα τε παισὶν ἡδέως συνεκφέρειν φίλους ἔρωτας Eur. 339. νομίζω πατρὶ φίλτατον τέκνα παισίν τε τοὺς τεκόντας Eur. 345, 2. ὥστε - παισίν τ' ἀποθνήσκοντα χρημάτων μέτρον γράψαντας εἰπεῖν Eur. 578, 6. ὅταν τις - παισὶν αὐθένταισι κοινωνῇ δόμων Eur. 645, 4. ὅστις - παισὶ μὴ φρονοῦσιν εὖ - παραδίδωσ' ἐξουσίαν Eur. 784, 2. οὔποτε - βροτὸν παραινέσαμ' ἂν παισὶ προσθεῖναι κράτη Eur. 806, 2. οὐδὲν ὑγιὲς φασὶ μητρυιὰς φρονεῖν νόθοισι παισίν Eur. 824, 2. Αἴγυπτος - ξὺν παισὶ πεντήκοντα - Ἄργος κατασχών Eur. 846, 2. ὡς ἡδὺ πατέρα παισὶν ἵππιον κυρεῖν Eur. 950. τερπνῶς γὰρ ἀεὶ παῖδας (πάντας ll.) ἀνοία τρέφει Soph. 524, 5. παῖδας γὰρ οὓς ἔφυσ' ἀναλώσας ἔχει Soph. 806. ἥ τί πλέον εἶναι παῖδας - εἰ μὴ ἐπὶ τοῖς δεινοῖσιν ὠφελήσομεν Eur. 84. πατρὶ πείθεσθαι χρεὼν παῖδας Eur. 110, 3. ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν Eur. 141. ἡ γὰρ δόκησις πατράσι παῖδας εἰκέναι Eur. 167. παραινῶ πᾶσι τοῖς νεωτέροις μὴ - σχολῇ τεκνοῦσθαι παῖδας Eur. 317, 3. καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις Eur. 338, 2. πατέρα τε παισὶν ἡδέως συνεκφέρειν - ἔρωτας - παῖδάς τε πατρί Eur. 339, 3. μισῶ γυναῖκας αἵτινες πρὸ τοῦ καλοῦ ζῆν παῖδας εἵλοντο Eur. 360, 31. μάτην δὲ θνητοὶ τοὺς νόθους φεύγουσ' ἄρα παῖδας φυτεύειν Eur. 377, 2. ὅστις ἄτεκνος ὢν τὸ πρὶν παῖδας θυραίους - ἐκτήσατο Eur. 491, 2. ἔπειτα παῖδας σὺν πικραῖς ἀλγηδόσιν τίκτω Eur. 908, 2. ὡς ἡδὺ - παῖδας εἶναι πατρὶ μὴ στυγουμένους Eur. 950, 2. ὅστις πατὴρ πρὸς παῖδας ἐκβαίνει πικρός Eur. 952. οὐ γάρ τις οὕτω παῖδας εὖ παιδεύσεται Eur. 1068. μακάριος ὅστις αὐτὸς ἰσχύων ἔτι παῖδας παρασπίζοντας - ἔχει Dicaeog. 2, 2 p. 775. καὶ σὸς μὲν οἰκτρὸς παῖδας ἀπολέσας πατὴρ adesp. 81. παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν adesp. 111, 2. ὦ παῖδες, ἥ τοι Κύπρις οὐ Κύπρις μόνον Soph. 855. χωρῶμεν ἤδη παῖδες εἰς τὰ τῶν σοφῶν διδασκαλεῖα Soph. 1019, 2. ταῦτ' οὖν φυλαξώμεσθα - ὦ παῖδες Soph. 1019, 11. παῖδες,

σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους Eur. 28. ἐρᾶτε μητρός, παῖδες Eur. 358, 2. ὦ παῖδες οἷον φίλτρον ἀνθρώποις φρενός Eur. 652. παῖδες ἐκτὸς ὀμμάτων ἀπέλθετε Neophr. 2, 10 p. 731. παῖδες κρατίστου πατρὸς ἐξωλέστατοι Lycophr. 1 p. 817. — ἡ παῖς: συὸς μέγιστον χρῆμ' - ἀνῆκε Λητοῦς παῖς ἑκηβόλος θεά Soph. 369, 2. ὅταν μὲν ᾖς παῖς, μὴ πλέον παιδὸς φρονεῖν Eur. 603, 2. ἡ παῖς νοσεῖ σου Eur. 682. Αὔγη γὰρ Ἀλέου παῖς με τῷ Τιρυνθίῳ τίκτει - Ἡρακλεῖ Eur. 696, 4. ὅτ' ἦν ἐγὼ παῖς, τότε σε χρῆν ζητεῖν ἐμοὶ ἄνδρα Eur. 953, 34. σχεδὸν χαμεύνῃ σύμμετρος Κορινθίας παιδός Eur. 676, 2. τὴμῇ δὲ παιδὶ στέφανος - ὑπερδοθήσεται Eur. 360, 34. τήν τε παῖδ' ἐκδοὺς ἐμοὶ γαμβρὸς νομίζῃ Eur. 72. Δίκην λέγουσι παῖδ' εἶναι Διός Eur. 151. Δίκην λέγουσι παῖδ' εἶναι χρόνου Eur. 222. ἐγὼ δὲ δώσω παῖδα τὴν ἐμὴν κτανεῖν Eur. 360, 4. Τυδεὺς - ᾤκησεν Ἄργος, παῖδα δ' Ἀδράστου λαβὼν συνῆψε γένναν Eur. 558, 4. ἐμὸς γαμβρὸς κέκλησαι παῖδά μοι ξυνοικίσας Eur. 647, 2. πατὴρ - ἔγνωκεν ἄμφω ποντίους ἀφιέναι, τὴν παῖδα καὶ τὸ τεχθέν Eur. 1132, 44. ὦ παῖ Διώνης, ὡς ἔφυς μέγας θεός Eur. 177. αἱ δ' ἕπτ' Ἄτλαντος παῖδες ὠνομασμέναι πατρὸς μέγιστον ἆθλον - κλαίεσκον Aesch. 312. Ἀσιάδος μιτρηφόρους Κυβέλας γυναῖκας, παῖδας ὀλβίων Φρυγῶν Diog. Ath. 1, 2 p. 776.

παίω: οὗτοι προσελθοῦσ' ἡ Δίκη σε - παίσει πρὸς ἥπαρ Eur. 979, 2. τίς γὰρ - γνάθον παίσας (al. πλήξας) καλῶς πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών Eur. 282, 17. ⟨λό⟩γχῃ πλατείᾳ - ⟨παί⟩σας ἔδωκε νερτέροις Eur. 495, 30.

παιών: Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών Soph. 644, 2. cf. παιάν.

παιωνίζω: οὐδ' ἔστι βωμὸς οὐδὲ παιωνίζεται Aesch. 161, 3.

παιώνιος: εὐχαῖς δὲ σῴζοις δεσπότας παιωνίαις Aesch. 144, 2.

Πακτωλός: ἀλλὰ πῖθι Πακτωλοῦ ῥοάς Ion. 27 p. 737.

(παλαγμός v. σταλαγμός.)

πάλαι: τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθα - ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν Eur. 52, 3. πάλαι σκοποῦμαι τὰς τύχας τῶν βροτῶν ὡς εὖ μεταλλάσσουσιν Eur. 262. *πάλαι πάλαι δή σ' ἐξερωτῆσαι θέλων, σχολή μ' ἀπεῖργε Eur. 579. τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων Phryn. 8 p. 722. ὁ δὲ σκύφος με τοῦ θεοῦ καλεῖ πάλαι Ach. 33 p. 754. πολυσπερὴς - καθ' Ἑλλάδα φήμη πλανᾶται καὶ διέγνωσται πάλαι Theod. 16, 2 p. 806. ἔμοιγε νῦν τε καὶ πάλαι δοκεῖ adesp. 111.

παλαίθετος: Λυδαὶ ψάλτριαι, παλαιθέτων ὕμνων ἀοιδοί Ion. 22 p. 736.

Παλαίμων: σεμνὸς Παλαίμων ναυτίλοις κεκλήσεται adesp. 101.

παλαιός: φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει Eur. 25. 333. παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων, βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος Eur. 508. σκάρφει παλαιῷ κἀπιβωμίῳ ψόλῳ Aesch. 24. εἴ τις ἀνθρώπων θέλει μὴ τῷ παλαιῷ μῶρος ὢν χρῆσθαι λόγῳ Eur. 286, 3. ἐπ' ἔσχατα

χθονὸς - Φοίβου τε παλαιὸν κῆπον Soph. 870, 3. ὡς παλαιὸν οἰκίας σάρον Ion. 9 p. 733. ἄκανθα ποντίου βοσκήματος σήψει παλαιὸν δέρμα Aesch. 275, 4. καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει Eur. 1065. καὶ μὴν παλαιῶν τῶνδέ σοι σκωπευμάτων Aesch. 79. παλαιὰ καινοῖς δακρύοις οὐ χρὴ στένειν Eur. 43. οὐκ ἔστι - προγόνων παλαιὰ θέσμι' ὅστις ἐκβαλεῖ Eur. 360, 45. κακοῦ γὰρ ἀνδρός ἐστι τοὺς καινοὺς φίλους τιμᾶν, ἀτιμάζειν δὲ τοὺς παλαιτέρους adesp. 37, 2.

παλαιστής: κάπρον - οὐ μόνον γυνή, παῖς δ' ἂν νεογνὸς - κλίνοι παλαιστοῦ παντὸς εὐμαρέστερον adesp. 383, 3. φίλιπποι - σὺν σάκει δὲ κωδωνοκρότῳ παλαισταί Soph. 775, 2.

παλαίστρα: ἦν μοι παλαίστρα καὶ δρόμος ξυστὸς πέλας Aristiae 5 p. 727.

παλαίω: τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν Soph. 855, 13. τίς γὰρ παλαίσας εὖ - πόλει πατρῴᾳ στέφανον ἦρκεσεν λαβών Eur. 282, 16.

παλαμῶμαι: πρὸς ταῦθ' ὅτι χρὴ - παλαμάσθων Eur. 918.

πάλη: ἐς Οἰδίπου δὲ παῖδε - Ἄρης κατέσκηψ', ἔς τε μονομάχου πάλης ἀγῶνα νῦν ἑστᾶσιν adesp. 72, 2.

παλιγκότως: φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως Eur. 572, 2.

Παλικοί: σεμνοὺς Παλικοὺς Ζεὺς ἐφίεται καλεῖν. ἢ καὶ Παλικῶν εὐλόγως μενεῖ φάτις Aesch. 6, 2. 3. cf. Aesch. 7.

πάλιν: πάλιν γὰρ ἤξουσ' ἐκ σκότου τόδ' εἰς φάος Aesch. 6, 4. Ηηλέα - γερονταγωγῶ κἀναπαιδεύω πάλιν· πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ Soph. 447, 2, 3. ὕβρις - ἀνθεῖ τε καὶ πάλιν φθίνει Soph. 718, 3. σελήνης ὄψις - πάλιν διαρρεῖ κἀπὶ μηδὲν ἔρχεται Soph. 787, 8. ἅπαντα τίκτει χθὼν πάλιν τε λαμβάνει Eur. 195. κύουσα τίκτω ἡνίκ' ἠγόμην πάλιν Eur. 207. δαιτὸς δὲ πληρωθείς τις ἄσμενος πάλιν φαύλῃ διαίτῃ προσβαλὼν ἤσθη στόμα Eur 213, 3. θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ - τῶν δὲ συννέφει πάλιν Eur. 330, 7. οὐδεὶς στρατεύσας ἄδικα σῶς ἦλθεν πάλιν Eur. 353. τῶν μὲν αὔξεται βίος, τῶν δὲ φθίνει τε καὶ θερίζεται πάλιν Eur. 415, 5. πάλιν ὑποστρέψας πόδα χωρεῖ δρομαίαν Eur. 495, 3. τῷ δὲ δυστυχοῦντί πως τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι † πάλιν Eur. 563, 2. ὥστε Μαγνῆτις λίθος τὴν δόξαν ἕλκει καὶ μεθίησιν πάλιν Eur. 567, 3. τά τοι μέγιστα πολλάκις θεὸς ταπεῖν' ἔθηκε καὶ συνέστειλεν πάλιν Eur. 716, 4. μακάριος ὅστις εὐτυχῶν οἴκοι μένει· ἐν γῇ δ' ὁ φόρτος καὶ πάλιν ναυτίλλεται Eur. 793, 2. τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς εἰς οὐράνιον πάλιν ἦλθε πόλον Eur. 839, 11. ἦν οὗτος αὖθις ἀποβάλῃ τὴν οὐσίαν, ἑτέρῳ με δώσεις ἀνδρί; κἄτ' ἐὰν πάλιν ἐκεῖνος, ἑτέρῳ Eur. 953, 31. μηδ' ἤν τι συμβῇ δυσχερές, δουλοῦ πάλιν Eur. 963, 3. ὅπερ δὲ τὸ τρίτον ἦν, καὶ τελευταῖον πάλιν Agath. 4, 6 p. 764. τίς φύσις - ἐν μὲν γενέσει πρωτοσπόρῳ ἐστὶ μεγίστη, ἐν δὲ μέσαις ἀκμαῖς μικρά, γήρᾳ δὲ πρὸς αὐτῷ μορφῇ καὶ μεγέθει μείζων πάλιν ἐστὶν ἁπάντων Theod. 18, 5

p. 807. ἐξ ἐχίδνης πάλιν ἔχιδνα γίγνεται Isid. 1, 4 p. 829. τὸ μήτε λίαν ἐν ταπεινῷ τῆς τύχης μέρει φέρεσθαι μήτ' ἐν ὑψηλῷ πάλιν adesp. 547, 8. ἅπαντα θάλλει καὶ πάλιν μαραίνεται adesp. 574.

παλίνσκιος: χειμῶνι σὺν παλινσκίῳ Soph. 267.

παλίντροπος: ὅταν δὲ δαίμων - πλάστιγγ' ἐρείσῃ τοῦ βίου παλίντροπον Soph. 666, 5.

παλιρροία: στενωπὸς Ἅιδου καὶ παλιρροία βυθοῦ Soph. 748.

Παλλάς: Παλλὰς δ' οὐδαμοῦ τιμήσεται Eur. 360, 49. καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον, ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον adesp. 62, 2. ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος, Παλλάς Eur. 1109, 2.

Πάλλας: τῆς δὲ γῆς τὸ πρὸς νότον ὁ σκληρὸς οὗτος καὶ γίγαντας ἐκτρέφων εἵληχε Πάλλας Soph. 872, 8.

πάλλευκος: πάλλευκα δ' ἔχων εἵματα Eur. 472, 16.

Παλλίδης: ναός, ὃν δὴ Παλλίδης τεύξας κατέγνω διὰ τὸ πρᾶγμ' αὑτοῦ φυγήν Pyth. 1, 3 p. 811.

πάλλω: ὅστις κατ' ἰσχὺν πρῶτος ὢν ἡτάζετο ἢ τόξα πάλλων - τοῦτον τυραννεῖν - ἐχρῆν Eur. 1048, 5. κατέκτα δεσπότην - τρία δόρη πάλλοντα χερσίν Aesch. 74, 5. πελέκεως δὲ δίστομον γένυν ἔπαλλ' Ἀγκαῖος Eur. 530, 6.

πάλμυς: πάλμυδος Aesch. 437.

παλτόν: καὶ παλτὰ κἀγκυλητὰ καὶ χλῆδον βαλών Aesch. 16.

πάμβοτος: ταύρῳ τε λειμὼν ξένια *πάμβοτος παρῆν Aesch. 99.

παμβῶτις: παμβῶτις ἐλπίς adesp. 252.

Παμισός: Παμισὸν εἰς θάλασσαν ἐξορμώμενον Eur. 1083, 11.

παμμήστωρ: ἐπὶ γὰρ Ὀρφείαις μὲν ᾠδαῖς εἵπετο δένδρεα - σοὶ δὲ καὶ χθὼν πᾶσα καὶ πόντος καὶ ὁ παμμήστωρ Ἄρης adesp. 129, 9.

πάμπαν: θνητῶν τῶν ταλαιπώρων βίος οὔτ' εὐτυχεῖ τὸ πάμπαν οὔτε δυστυχεῖ Eur. 196, 2. μύρῳ σε χρίσω πάμπαν εὐόσμῳ δέμας Ach. 17, 3 p. 750.

παμπήδην: θεὸς - ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ Aesch. 156, 2.

παμπληθία: ἔχων - κύκλῳ - πᾶσαν οἰκετῶν παμπληθίαν Soph. 344, 4.

πάμπλουτος: ἐν γὰρ βραχεῖ καθεῖλε - πάμπλουτον ὄλβον δαίμονος κακοῦ δόσις Soph. 588, 5.

Παμφυλία — Soph. 181.

Πάν: χαῖρ' ὅς τε πέτρον Ἀρκάδων - ⟨Πὰν⟩ ἐμβατεύεις Eur. 696, 3. ἴδε σοὶ μέλιτι χθύπτην τυρὸν μίξας ἐρυθρῷ κατὰ τῶν σῶν, Πὰν δίκερως, τίθεμαι βωμῶν Thesp. 4, 4 p. 833. Πᾶνες Aesch. 35. cf. Soph. 132. Sosith. Δάφνις p. 821.

πανάθλιος: κατοίκτιρόν με τὴν παναθλίαν Eur. 128.

Πάνακτος Eur. 12.

πανάργυρος: λέβητας ἐκτιθεὶς φέρειν - καὶ πανάργυρα ἐκπώματα Soph. 348, 3.

πανδόκος: πανδόκος ξενόστασις Soph. 252.

πανήγυρις: κενὰς πανηγύρεις στέφοντες οὕτως εὐσεβεῖν νομίζομεν Soph. 1025, 8.

Πάνιος: Πανίας βήσσας Aesch. 98.

πανόπτης: πανόπτης Ach. 53 p. 758. ὦ Ζεῦ πανόπτα καὶ κατόπτα πανταχοῦ adesp. 43.

πανός: πανόν Soph. 185. πόθεν δὲ πεύκης πανὸν ἐξηῦρες λαβεῖν Eur. 90.

πανοῦργος: ἀνὴρ λαβὼν πανοῦργα χερσὶ κέντρα κηδεύει πόλιν Soph. 622, 4.

πανοῦχος: πανοῦχον ἅψαντες φλόγα adesp. 160.

πάνσοφος: πάνσοφον κρότημα Λαέρτου γόνος Soph. 827. πρῶτα μὲν τὸν πάνσοφον ἀριθμὸν ηὗρηκα adesp. 470, 3. ἐκάνετ' ἐκάνετε τὰν πάνσοφον - ἀηδόνα μουσᾶν Eur. 588, 2.

πανταχοῦ: τὰ γὰρ περισσὰ παντταχοῦ λυπήρ' ἔπη Soph. 79, 2. ὁ Σίσυφος πολὺς ἔνδηλος ἐν σοὶ παντταχοῦ μητρὸς πατήρ Soph. 142, 2. σωτηρίας - φάρμακ' οὐχὶ πανταχοῦ βλέψαι πάρεστιν Soph. 281. ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλούμενον κράτιστον εἶναι φημὶ μὴ φῦναι βροτῷ Eur. 285. πανταχοῦ λελείμμεθα - γυναῖκες ἀρσένων ἀεὶ δίχα Eur. 319. ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ Eur. 777. παροῦσα πανταχοῦ Eur. 1063, 6. ἡδονὴ πανταχοῦ ἐστι καὶ πάντα δι' ἡδονῆς γίνεται Eur. 1115. γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν Char. 2 p. 826. ὦ Ζεῦ πανόπτα καὶ κατόπτα πανταχοῦ adesp. 43. (cf. πάντη.) τό τοι κράτιστον πανταχοῦ τιμητέον adesp. 518, 2.

παντελῶς: πρὶν αὐτῷ παντελῶς ἤδη βίος διεκπεραθῇ Soph. 588, 2.

παντευχία: κἀποδηλώσας ἔχει - πετραῖον ὄρνιν ἐν παντευχίᾳ Aesch. 304, 3.

πάντῃ: οὐδὲν ἦν πάντῃ καλὸν οὐδ' αἰσχρόν adesp. 26, 2. πάντῃ (al. πανταχοῦ) πάρεστι πάντα τε βλέπει θεός adesp. 480.

πάντοθεν: κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι Eur. 419, 2. ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται δεινοῖς ἔρωσιν Eur. 850.

παντοῖος: ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου Eur. 659.

πάντολμος: μοῖρ' ὦ λιταῖς ἄτεγκτε - *πάντολμ' ἀνάγκη Mosch. 2, 3 p. 812.

παντόμορφος: τῇ παντομόρφῳ Θέτιδι συμπλακείς ποτε Soph. 561, 2.

παντόπτας: ἵν' ὁ *παντόπτας Ἥλιος αἰεὶ χρῶτ' ἀθάνατον κάματόν θ' ἵππων - ἀναπαύει Aesch. 192, 5.

παντοτρόφος: λίμναν παντοτρόφον Αἰθιόπων Aesch. 192, 4.

πάντως: οὐδὲ - κάνθαρος τῶν Αἰτναίων πάντως Soph. 165.

πάνυ: δισσοὶ κανόνες ἰσόμετροι πάνυ Theod. 6, 2 p. 803. καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ adesp. 547, 2.

πανύστατος: ὦ κλεινὸν ὄμμα, νῦν πανύστατόν σ' ἰδὼν λείπω φάος τόδε adesp. 45.

παπαῖ: παπαῖ, τὰ παιδίχ', ὡς ὁρᾷς, ἀπώλεσας Soph. 157. παπαῖ, νέος καὶ σκαιὸς οἷός ἐστ' ἀνήρ Eur. 510.

πάππος: γραίας ἀκάνθης πάππος ὡς φυσώμενος Soph. 784.

παρά: a) τὰ δ' εὐκτὰ παρὰ θεῶν

ἠτησάμην Soph. 759, 2. αὐτὸς παρ' αὐτοῦ μανθάνων ἄνευ πόνου Soph. 1019, 7. αἱ δ' ἄλλαι πόλεις - ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι Eur. 360, 10. ⟨ταῦτα⟩ παρὰ σοφοῦ τινος μαθών Eur. 964. μισῶ παρ' ἐχθρῶν θῶπας εὐειδεῖς λόγους adesp. 24. παρ' οὐδενὸς γὰρ οὐδὲν ἡρμηνεύμεθα adesp. 571. — ἐχρῆν γὰρ τοὺς - εὐσεβεῖς βροτῶν ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα Soph. 103, 7. κοὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα Eur. 484. εἶτ' οὖν μέριμναν τὴν Προμηθέως πάρα (σπάσας ll.) - εἴτε τῇ μακρᾷ τριβῇ αὐτὴν παρασχὼν τὴν φύσιν διδάσκαλον Mosch. 6, 20 p. 814. — b) χαλκοκέραυνόν τε παρ' Ὠκεανῷ λίμναν παντοτρόφον Αἰθιόπων Aesch. 192, 3. οὔτ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ φεύγει - μόρον Aesch. 362, 3. παρ' ἄκμονι τυπάδι βαρείᾳ Soph. 760, 3. οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια, παρ' ἀγαθοῖσι δ' ἀνδρῶν Eur. 53, 2. ὅστις δὲ δούλῳ φωτὶ πιστεύει - πολλὴν παρ' ἡμῖν μωρίαν ὀφλισκάνει Eur. 86, 2. ἔστι καὶ παρὰ δάκρυσι κείμενον ἡδὺ βροτοῖς Eur. 263. σχεδὸν παρ' αὐτοῖς κρασπέδοις Εὐρωπίας Eur. 381. ἀλκυόνες, αἳ παρ' ἀενάοις θαλάσσας κύμασιν στωμύλλετε Eur. 856. εἰ μὴ μέλλεις σεμνύνεσθαι παρ' ὁμοίοις Eur. 924, 3. ἔνδον γυναικῶν καὶ παρ' οἰκέταις (οἰκέτας l.) λόγος Eur. 927. ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν - σοφὸς παρ' ἡμῖν Eur. 965, 2. — c) ὥστε τέκτονος παρὰ στάθμην ἰόντος ὀρθοῦται κανών Soph. 433, 5. οἰκεῖ - ἐν χερσὶν - ἢ παρ' ὄμματα Eur. 403, 4. κλύετ' ὦ μοῖραι Διὸς αἵ τε παρὰ θρόνον ἀγχοτάτω θεῶν ἕζόμεναι Eur. 620 (v. add. p. XX). κόλουε δ' ἄνδρα παρὰ δίκην τιμώμενον Eur. 626, 6. οὐ γὰρ παρὰ κρατῆρα καὶ θοίνην μόνον τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει Eur. 642. εἴτε τύχα ⟨τις⟩ εἴτε δαίμων τὰ βρότεια κραίνει, παρά τ' ἐλπίδα καὶ παρὰ δίκαν - ἄγει Eur. 901, 3. — d) πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα Crat. 1, 3 p. 809.

παραβαίνω: ὅρκους τε παραβαίνοντας Eur. 286, 7.

παραβάλλω: τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην Aesch. 308.

παράδειγμα: κακός - νοσεῖν τίθησι τὰς ἀμεινόνων φρένας, παράδειγμ' ἐχόντων τὴν κακῶν ἐξουσίαν Eur. 644, 3.

παραδέχομαι: Γαῖα - ὑγροβόλους σταγόνας νοτίας παραδεξαμένη τίκτει θνητούς Eur. 839, 4.

παραδίδωμι: ὅστις - πολίταις παραδίδωσ' ἐξουσίαν Eur. 784, 3.

παραζεύγνυμι: εἰ παραζεύξειέ τις χρηστῷ πονηρὸν λέκτρον Eur. 520. οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ ἐσθλὴ παραζευχθεῖσα Eur. 1055, 2.

παραίνεσις: οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς ὡς ἀνδρὸς ἐσθλοῦ - παραίνεσις Eur. 1079, 2.

παραινῶ: παραινῶ πᾶσι τοῖς νεωτέροις μὴ - σχολῇ τεκνοῦσθαι παῖδας Eur. 317. παραινῶ σοὶ τὸ λῷστον Eur. 440. ἃ γ' οὖν παραινῶ, ταῦτά μου δέξαι Eur. 757. οὔ σοι παραινῶ

μηχανωμένῃ κακὰ ἐχθροῖσι, σαυτῇ προσβαλεῖν ἀλάστορα Eur. 874. ἐλαφρὸν παραινεῖν ‹τῷ› κακῶς πεπραγότι adesp. 342. μισῶ γυναῖκας αἵτινες πρὸ τοῦ καλοῦ ζῆν παῖδας εἵλοντ' ἢ παρῆνεσαν κακά Eur. 360, 31. οὔποτ' - ἄλλον βροτὸν παραινέσαιμ' ἂν παισὶ προσθεῖναι κράτη Eur. 806, 2. βούλομαι δὲ σοί, τέκνον - παραινέσαι κειμήλι' ἐσθλὰ καὶ νέοισι χρήσιμα Eur. 362, 3. πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι τοὐφήμερον ζῆν ἡδέως adesp. 95.

παραιρῶ: τῷ γὰρ βιαίῳ - τὸ μαλθακὸν εἰς ταὐτὸν ἐλθὸν τοῦ λίαν παρείλετο Eur. 258, 2.

παραίτιος: τῶνδ' ἐγὼ παραίτιος Aesch. 44, 7. καὶ τὸ κακὸν ἀγαθοῦ γίγνεται παραίτιον Eur. 174, 3.

παραιωρῶ: λιθάργυρος δ' ὅλπη παρῃωρεῖτο χρίματος πλέα Ach. 19, 2 p. 751.

παρακελεύομαι: παρακελεύομαι δὲ σοὶ τεθηγμένῳ νῦν Theod. 9, 2 p. 804.

παράκτιος: ὃς παρακτίαν στείχων ἀνημέρωσα κνωδάλων ὁδόν Soph. 819. πεδία δὲ πάντα καὶ παράκτιον πλάκα - φλὸξ ἐδαίνυτο Phryn. 5, 3 p. 721.

παράλιος: εἶδον στρατὸν στείχοντα παραλίαν πέτραν Soph. 461, 3.

παραμελῶ: ψυχὴν ἐμὴν ὁρῶσ' ἔρημον καὶ παρημελημένην Neophr. 2, 6 p. 731. αἱ γὰρ εὖ τεθραμμέναι πλέον σφάλλουσιν οἴκους τῶν παρημελημένων Eur. 111, 3.

παρανομῶ: οὐδεὶς παρανομῶν πρὸς θεοὺς ἐχέγγυος adesp. 494.

παραπαίω: εἶτ' οὖν σοφιστὴς καλὰ παραπαίων χέλυν Aesch. 314.

παραπαφίσκω: δῶρα καὶ θεοὺς παρήπαφεν adesp. 434.

παραρρίπτω: ἐμπολὰς μακρὰς ἀεὶ παραρρίπτοντες Soph. 511, 5.

παράρυμα: παράρυμα ποδός Soph. 484.

παρασάγγης Soph. 121. Eur. 686. παρασάγγαι Soph. 477.

παρασπίζω: μακάριος ὅστις αὐτὸς ἰσχύων ἔτι παῖδας παρασπίζοντας - ἔχει Dicaeog. 2, 2 p. 775.

παρασπιστής: μὴ παρασπιστὴς ἐμοὶ μηδ' ἐγγὺς εἴη Aesch. 303.

παραστάτης: σωτῆρες ἔνθα (?) κἀγαθοὶ παραστάται adesp. 14. εἶδον καὶ δίκης παραστάτας - τῷ φθόνῳ νικωμένους Eur. 295.

παραστρέφω: ὅστις ἄτεκνος ὢν τὸ πρὶν παῖδας θυραίους - ἐκτήσατο, τὴν μοῖραν εἰς τὸ μὴ χρεὼν παραστρέφων Eur. 491, 3.

παρασύρω: ἴκτινος ὡς ἔκλαγξε παρασύρας κρέας Soph. 700.

πάραυλος: ἔνθ' ἡ πάροικος πηλαμὺς χειμάζεται, πάραυλος Ἑλλησποντίς Soph. 462, 2. — μέλη πάραυλα κἀκρότητα κύμβαλα adesp. 93.

παραυτίκα: πᾶσιν γὰρ ἀνθρώποισιν - ἢ καὶ παραυτίκ' ἢ χρόνῳ δαίμων βίον ἔσφηλε Eur. 273, 2. παραυτίχ' ἡσθεὶς ὕστερον στένει διπλᾶ Eur. 1079, 5. τὴν παραυτίχ' ἡδονὴν ἔχθραν καθίστησι Crat. 3, 2 p. 774. ῥᾳθυμία δὲ τὴν παραυτίχ' ἡδονὴν λαβοῦσα λύπας τῷ χρόνῳ τίκτειν φιλεῖ Theod. 11, 3 p. 805.

παραφλόγισμα: κεκερματίσθω

Ägypten, Geschichte: Ägypten, das Land des Nils, ist ein Geschenk des Nils, sagt Herodot. Ohne ihn wäre das Land eine Wüste, wie es sie rings umher gibt. Der Nil ist es, der Ägypten zu einem der fruchtbarsten Länder der Erde macht. Er ist es, der es möglich macht, daß Ägypten eine Kornkammer für die Völker des Altertums wird

μαι πόνους Eur. 789, 2. τὰς γὰρ παρούσας οὐχὶ σῴζοντες τύχας ὤλοντ' ἐρῶντες μειζόνων Eur. 1077, 2. ταύρῳ - λειμὼν ξένια πάμβοτος παρῆν Aesch. 99. εἴπερ τροφὴ δόμοις παρῆν Eur. 402, 3. ᾧ παρῆν ἀπραγμόνως - ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης Eur. 787. πολλὴν ὀπώραν Κύπριδος εἰσορᾶν παρῆν Chaer. 12 p. 785. χυτλὸς δὲ κρατὸς ὄγκος εὔσκιος παρῆν adesp. 276. πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστα Θεσσαλῶν Eur. 422.

παρείρω: μίαν παρείρας πλεκτάνην χειμάρροον στέγην πυρώσω Aesch. 281, 3.

παρεκπερῶ: κἄπειτ' Ἀθήνας Διάδας *παρεκπερῶν Aesch. 31.

παρεμβάλλω: παρεμβάλοιτο κλῆρον adesp. 253.

παρεμφερής: καὶ θηρσὶν αὐτὸς γίνεται παρεμφερής Aesch. 464, 5. μορφὰς ἀτερπεῖς ὄψεσιν κεκτημένος παρεμφερεῖς ταύταισι τοὺς τρόπους ἔχεις Isid. 1, 2 p. 829.

παρέξειμι: χὥταν τις ἔλθῃ ξεῖνος ἢ παρεξίῃ, φαγεῖν τ' ἔδωκεν εὖ κἀπεχόρτασεν Sosith. 2, 12 p. 822.

παρεξίστημι: κυλίκιον ὑδαρὲς ὁ παῖς περιῆγε τοῦ πεντωβόλου, ἀτρέμα παρεξεστηκός Lycophr. 2, 3 p. 817.

πάρεργον: εἰ δὲ πάρεργον χρή τι κομπάσαι Eur. 981. τὸ μὲν πάρεργον ἔργον ὡς ποιούμεθα, τὸ δ' ἔργον ὡς πάρεργον ἐκπονούμεθα Agath. 11, 1. 2 p. 766.

παρέρχομαι: ὀθούνεκα πολὺς παρῆλθεν εἰς γονὴν παίδων χρόνος Eur. 1132, 21. εἰ γάρ σ' ἔμελλεν - κτείνειν πόσις, χρῆν καὶ σὲ μέλλειν, ὡς χόλος *παρήλυθεν Eur. 451, 2. ὅστις ὢν εὔνους ἐμοὶ φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ Eur. 412, 3. μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος Soph. 346. τόν τε παρελθόντ' ἀπόλωλε χρόνον καὶ τὸν μέλλοντα τέθνηκεν Eur. 1028, 2.

παρέχω: ναοὺς προλιπών, οὓς - τιμηθεῖσα δοκὸς στεγανοὺς παρέχει Eur. 472, 6. βοραὶ δὲ σαρκοβρῶτες ἀλληλοκτόνους παρεῖχον αὐτοῖς δαῖτας Mosch. 6, 15 p. 814. κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις Aesch. 282. αὐτὴν παρασχὼν τὴν φύσιν διδάσκαλον Mosch. 6, 22 p. 814. τὸ γὰρ πρᾶγμ' αὐτό μοι καλῶς ἔχον καλοὺς παρασχεῖν τοὺς λόγους δυνήσεται adesp. 553, 2. τὰ δ' ἔργα χείρω τῶν λόγων παρέσχετο adesp. 515, 4. λόγων δίκαιον μισθὸν ἂν λόγους φέροις, ἔργον δ' ἐκεῖνος ἔργον ὃς παρέσχετο Eur. 890, 2.

παρηγόρημα: ἄτεγκτος παρηγορήμασιν Aesch. 348.

παρηγορῶ: χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ τί με παρηγορεῖ Λάκωνος ὀσμᾶσθαι λόγου Soph. 178, 2.

παρηίς: μὴ τὴν σὴν λιβάσι κατάσπενδε παρηίδα adesp. 548, 2. λάμπει δ' ἐπὶ πορφυρέαις *παρῇσι φῶς ἔρωτος Phryn. 13 p. 723.

παρῆς v. παρηίς.

Παρθένιος: ξύνοιδ' ὄρος Παρθένιον, ἔνθα μητέρ' ὠδίνων ἐμὴν ἔλυσεν Εἰλείθυια Eur. 696, 6.

πῇ: πῇ - χθονὸς Εὐρώπης μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν Aesch. 191. καθορῶν φύσεως κόσμον ἀγήρων, πῇ τε συνέστη καὶ ὅπῃ καὶ ὅπως Eur. 910, 6.

πηγαῖος: πηγαῖον ὕδωρ Eur. 656, 2.

Πήγασος: ῥέοντα δώδεχ', ὧν τὰ μὲν δέκ' ἀργυρᾶ ἦν, δύο δὲ χρυσᾶ, γρύψ, τὸ δ' ἕτερον Πήγασος Astyd. 3, 4 p. 778. ἄγ', ὦ φίλον μοι Πηγάσου πτερόν Eur. 306. cf. Eur. Σθενέβοια p. 568.

πηγή: ὑπηρετεῖ δ' αὐτῷ - πᾶσα πηγή Aesch. 464, 8. ηὑρέθη δὲ Βακχίου γλυκεῖα πηγή Mosch. 6, 25 p. 814. πηγαῖς δ' οὐχ ὑγραίνουσιν πόδας Eur. 367, 2. ὑπέρ τε πόντου - νυκτός τε πηγάς Soph. 870, 2. cf. παγά.

πῆγμα: ὁ χυμὸς οὔθ' ὅπως ἀφῇ θέλει οὔτ' ἐν χεροῖν τὸ πῆγμα (κτῆμα Il.) σύμφορον μένειν Soph. 153, 7.

πήγνυμι: ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς Eur. 360, 12. τὰς γὰρ ἐμφύτους ὀρθῶς παγείσας . . φρένας οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν Carc. 6, 2 p. 799.

πηδῶ: Διόνυσος, ὃς - Παρνασὸν κάτα πηδᾷ Eur. 752, 3. τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς πηδῶν ἀθύροι Eur. 323, 2. πηδῶν δ' ὁ θυμὸς ἔνδοθεν μαντεύεται adesp. 176. πηδῶν ὁ θυμὸς τῶν φρενῶν ἀνωτέρω adesp. 390. Τεῦκρος - ὑπὲρ τάφρου πηδῶντας ἔστησεν Φρύγας adesp. 569, 2. εἰς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ Eur. 294, 2. δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς πτεροῖσι Eur. 506. δεινόν γε τὴν μὲν μυῖαν ἀλκίμῳ σθένει πηδᾶν ἐπ' ἀνδρῶν σώματα adesp. 295, 2.

πηκτίς: Φρὺξ τρίγωνος ἀντίσπαστά τε Λυδῆς ἐφυμνεῖ πηκτίδος συγχορδίᾳ Soph. 378, 2. ᾤχωκε γὰρ κροτητὰ πηκτίδων μέλη Soph. 220. κλύω δὲ Λυδὰς - παρθένους - Ἄρτεμιν σέβειν ψαλμοῖς τριγώνων πηκτίδων ἀντιζύγοις Diog. Ath. 1, 9 p. 777.

πηκτός: πηκτὸς θάνατος adesp. 255. πηκταὶ δὲ λύραι καὶ μαγάδιδες Soph. 217. λῦε πηκτὰ δωμάτων Eur. 1003.

πηλαμύς: ἔνθ' ἡ πάροικος πηλαμὺς χειμάζεται Soph. 462.

Πηλεύς: Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη γερονταγωγῶ Soph. 447. cf. Soph. 155. Eur. 1093.

Πηλιωτικός: σὺ δ', ὦ Σύαγρε, Πηλιωτικὸν τρέφος Soph. 158.

πηλόπλαστος: τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνή Aesch. 369.

πηλός: πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται Soph. 715. καὶ πρῶτον ἄρχου πηλὸν ὀργάζειν χεροῖν Soph. 441. θέλοιμι πηλὸν ὀργάσαι Soph. 719.

πῆμα: εἴ τι πῆμα γίγνεται βροτοῖς Soph. 187, 3. οὐκ ἦν ἄρ' οὐδὲν πῆμ' ἐλευθέραν δάκνον ψυχὴν ὁμοίως ἀνδρὸς ὡς ἀτιμία adesp. 110. Ζεὺς - κακὸν μὲν Τρωσί, πῆμα δ' Ἑλλάδι θέλων γενέσθαι Eur. 1082. τὰν γὰρ ἀνθρώπου ζόαν - ἄται πημάτων πάσαις μεταλλάσσουσιν ὥραις Soph. 533, 3. ἰδρυσάμεσθα πημάτων παραψυχὴν θεῶν ἀγάλματα Soph. 1025, 5. φεῦ φεῦ, βροτείων πημάτων ὅσαι τύχαι Eur. 211. τί μ' ἄρτι πημάτων λελησμένην ὀρθοῖς Eur. 342.

πημαίνω: χῶρος γὰρ αὐτός ἐστιν ἀνθρώπου φρενῶν, ὅπου τὸ τέρπον καὶ τὸ πημαῖνον φύει Soph. 824, 2. ὅστις - λύπας φησὶ πημαίνειν βροτούς Eur. 1070.

πημονή: τίς αὐτὴν πημονὴ δαμάζεται Eur. 682, 2. ‹κακὸν› τὸ μεθύειν πημονῆς λυτήριον Soph. 691.

πημοσύνη: μήτε πολιτῶν ἐπὶ *πημοσύνην μήτ' εἰς ἀδίκους πράξεις ὁρμῶν Eur. 910, 3.

Πηνελόπη — Soph. Εὐρύαλος p. 178.

πήρα: οὐκ οἶσθα, πήρα δύναμιν ἠλίκην ἔχει Crat. 2 p. 810.

πιέζω: νουθετούμενος δ' ἔρως μᾶλλον πιέζει Eur. 665, 2. κραταιῷ περιβαλὼν βραχίονι εὖδει πιέζων χειρὶ δεξιᾷ ξύλον adesp. 416, 2.

Πιερίδες: λάθα Πιερίδων στυγερὰ κἀνάρατος Soph. 145.

πιθάκνη: ἐκ ζαθέων πιθακνῶν ἀφύσαντες ὄλπαις οἶνον Ion, 10 p. 734.

πιθανός: εἴπερ ἔστιν ἐν βροτοῖς ψευδηγορεῖν πιθανά Eur. 396, 2.

πίθος: ἀμφερκῆ πίθον Ach. 36 p. 755. θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον Diog. Sinop. 2 p. 809. πίνει δ' ἅμα καλῶν μετρητὴν τὸν δεκάμφορον πίθον Sosith. 2, 8 p. 822. πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται Soph. 715.

πικρός: ὅστις πατὴρ πρὸς παῖδας ἐκβαίνει πικρός (πικρῶς l.) Eur. 952. ἐξευλαβοῦ δὲ μή σε προσβάλῃ στόμα πέμφιξ· πικρὰ γάρ Aesch. 206, 2. πεινῶσιν γὰρ ἡ Κύπρις πικρά Ach. 6, 2 p. 748. ὅταν δὲ προσπέσῃ γῆρας πικρόν Eur. 282, 11. πικρὸν (al. αἰσχρὸν) νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ Eur. 807. καὶ κακῶν τῶν σῶν ξυνοίσω, κοὐδὲν ἔσται μοι πικρόν Eur. 909, 12. πικρὰν πικρῷ κλύζουσι φαρμάκῳ χολήν Soph. 770. καὶ γυνὴ φεύγει πικρὰν ὠδῖνα παίδων Soph. 846. στείχει πολίταις ὄμμ' ἔχων ἰδεῖν πικρόν adesp. 415. παῖδας σὺν πικραῖς ἀλγηδόσιν τίκτω Eur. 908, 2. λύσσης πικροῖς κέντροισιν ἠρεθισμένον adesp. 110, 5.

πικρῶς: ἀξίως ἔλεξας οὐδὲ μὲν πικρῶς Soph. 101. (cf. πικρός.)

πίμπλημι: ὃ μὲν ἐν χερσὶν βόμβυκας ἔχων - δακτυλόδικτον πίμπλησι μέλος Aesch. 57, 4. οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι, σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους Eur. 899, 3. πλήσας δὲ νηδὺν οὐδ' ὄναρ - φίλοις ἔδειξεν αὐτόν Eur. 107. δεινόν γε τὴν μὲν μυῖαν ἀλκίμῳ σθένει πηδᾶν ἐπ' ἀνδρῶν σώματ', ὡς πλησθῇ φόνου adesp. 295, 2.

πίμπρημι: *πίμπρη, κάταιθε σάρκας Eur. 687. μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας πρήσειεν ἄν τις Eur. 411, 3.

Πίνδος: ῥεῖ γὰρ ἀπ' ἄκρας Πίνδου Soph. 249, 2.

πινοτήρης: ὁ πινοτήρης (al. πιννοτήρης) τοῦδε μάντεως χορός Soph. 109.

πίνω: πίνει δ' ἅμα καλῶν μετρητὴν τὸν δεκάμφορον πίθον Sosith. 2, 7 p. 822. ὕδωρ δὲ πίνει adesp. 149. ζῇ, πῖνε, φέρβου Soph. 170. ἐμπλήσθητί μου πίνων κελαινὸν αἷμα Eur. 687, 2. τὸ πρὸς βίαν πίνειν ἴσον πέφυκε τῷ διψῆν κακόν Soph. 669, 2. κἀκ τῶνδ' ἔπινε βρῦτον Aesch. 124. κλίθητι καὶ πίωμεν· ἐν τούτῳ δέ μου τὴν πεῖραν εὐθὺς λάμβανε Eur. 691. κλίθητι καὶ πίωμεν· οὐ καὶ σιτία πάρεστιν adesp. 418. πῖθι Πακτωλοῦ ῥοάς Ion. 27 p. 737. ἐμοὶ δὲ λῷστον αἷμα ταύρειον πιεῖν (al. ταύρου γ' ἐκπιεῖν) Soph. 663. διψῶντι - πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς Soph. 696, 2. καλῶς μὲν οὖν ἄγειν σκύθη πιεῖν Ach. 9, 3 p. 748.

πιπράσκω: δοῦλός ἐστι τοῦ λέχους, πεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχων Eur. 775, 2.

πίπτω: οὐμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει Aesch. 159, 2. ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι Soph. 809. ὅσοι - εἰς ἔρωτα πίπτουσιν βροτῶν Eur. 138. ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακὰ δέλτος διαιρεῖ Eur. 578, 8. ὅστις δὲ πρὸς τὸ πίπτον εὐλόφως φέρει, τὸν δαίμον' οὗτος ἡσσόν ἐστιν ἄθλιος Eur. 175. ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε, ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ Eur. 420, 5. εὖτ' ἂν τοὺς κακοὺς ὁρῶ βροτῶν πίπτοντας Eur. 577, 2. ὑπνωμέναι δ' ἔπιπτον ἐλενίων ἔπι Chaer. 14, 12 p. 786. ὅταν δ' ὑπ' ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς Eur. 603, 4. τί δ' ἦν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος adesp. 60. τόδ' ἐστὶ τὸ ζηλωτὸν ἀνθρώποις, ὅτῳ τόξον μερίμνης εἰς ὃ βούλεται πέσῃ adesp. 354, 2. ἦν - πέσῃ τις ἐξ ἐλάσσονος μέτρου adesp. 547, 9. ὄμβρος δ' ἀπ' εὐνατῆρος οὐρανοῦ πεσὼν ἔδευσε γαῖαν Aesch. 44, 3. ὑπ' ἄτης ζεῦγλαν ἀσχάλλει πεσών Eur. 285, 10. οὐ σταλαγμὸν ἐξομόρξετε, εἴ πού τις ἔστιν αἵματος χαμαὶ πεσών Eur. 781, 7. πεσοῦσ' ἀπ' ἰσθμίων Eur. 656. πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερός Eur. 664. σιγᾶν φρονοῦντα κρείσσον' εἰς ὁμιλίαν πεσόντα Eur. 29, 2. πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος Eur. 889. ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος ὄμβρου πεσεῖν εἰς γαῖαν Eur. 898, 10. εἴπερ γὰρ οὐδὲ τοῖς κακῶς δεδρακόσιν ἀκουσίως δίκαιον εἰς ὀργὴν πεσεῖν adesp. 80, 2. καὶ νῦν λόγοισι τοῖς ἐμοῖς

ἐναντίως πέπτωχ' ὁ τλήμων Eur. 816, 6.

πίσσα: λινᾶ δέ, πίσσα κώμολίνου μακροὶ τόνοι Aesch. 205.

πισσοκώνητος: πισσοκωνήτῳ πυρί Aesch. Ⅎ18. πισσοκώνητον μόρον Soph. 302.

πιστεύω: ὅστις δὲ δούλῳ φωτὶ πιστεύει βροτῶν, πολλὴν - μωρίαν ὀφλισκάνει Eur. 86. πιστεύειν δὲ χρὴ γυναικὶ μηδέν Eur. 671.

πίστις: οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ Aesch. 394. πόλλ' ἀπιστία δέδρακεν ἀγαθὰ ⟨καὶ⟩ πίστις κακά adesp. 113. τῶν γὰρ πενήτων πίστιν οὐκ ἔχει λόγος adesp. 119, 4.

πιστός: τίς δὲ νῷν πιστὸς φίλος Eur. 277. τύμβῳ γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος Eur. 1081. οὐκ ἐν γυναιξὶ φύεται πιστὴ (πλείστη ll.) χάρις adesp. 543. βρότειον σπέρμα - πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιά Aesch. 399, 2. βροτῷ δὲ πιστὸν οὐδέν Soph. 606, 3. πιστὸν γὰρ οὐδέν ἐστιν Eur. 463, 3. ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων Eur. 566. πιστὸν μὲν οὖν εἶναι χρὴ τὸν διάκονον Eur. 375. μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτέ Eur. 626, 3. πιστοί με κωχεύουσιν ἐν φορᾷ δέμας Soph. 304. ἐφηῦρε δ' ἄστρων - περιστροφὰς ὕπνου φύλαξι *πιστὰ σημαντήρια Soph. 399, 9. ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα, τὰ δ' ὄντα πίστ' ἄπιστα Eur. 887, 1. 2.

πιστῶ: τῷ παρόντι τοὐπιὸν πιστούμενοι Eur. 1073, 6.

πίτνω: ὃς γὰρ ἂν σφαλῇ εἰς ὀρθὸν ἔστη χὠ πρὶν εὐτυχῶν πίτνει Eur. 262, 3.

πίτυλος: εἰς τὸν αὐτὸν πίτυλον ἤπειγ⟨ον δορός⟩ Eur. 495, 11.

πίτυς: κρεμάσασα τόξον πίτυος ἐκ μελανδρύου Aesch. 251.

πλαγά: κεραύνιαί τ' ἐκ Διὸς πυρίβολοι πλαγαί Eur. 781, 69. cf. πληγή.

πλάγιος: ἔπειτα τριόδους πλάγιος ἦν προσκείμενος Agath. 4, 4 p. 764. τούτους δὲ πλάγιος διαμέτρου συνδεῖ κανών - ἔπειτα τριόδους πλάγιος ὡς ἐφαίνετο Theod. 6, 3. 5 p. 803.

πλάθω: τί ποτε - οὐ πλάθεις (πελάθεις ll.) ἐπ' ἀρωγάν Aesch. 132, 2.

πλᾶκτρον: δορὸς διχόστομον πλᾶκτρον Soph. 156. cf. πλῆκτρον.

πλάνη: βίοτος ἀνθρώπων πλάνη Eur. 659, 8.

πλάνης: (cf. ἄπολις.) πόντου πλάνητες Λευκοθέαν ἐπώνυμον adesp. 100.

πλανήτης: πτωχὸς πλανήτης (al. δυσείμων), βίον ἔχων τοὑφ' ἡμέραν adesp. 284, 2.

πλάνος: ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο δειναί, πλάνος τε καρδίᾳ προσίσταται Eur. 1038, 2.

πλανῶμαι: πολυσπερὴς - καθ' Ἑλλάδα φήμη πλανᾶται Theod. 16, 2 p. 806. καρδίᾳ πλανώμενοι ἱδρυσάμεσθα - θεῶν ἀγάλματα Soph. 1025, 4. χρῆν γὰρ τύχας μὲν τὰς μάτην πλανωμένας μηδὲν δύνασθαι, τἀμφανῆ δ' ὑψήλ' ἄγειν Eur. 1048, 2.

πλάξ: ὥστ' οὐ παρόντα ποντίας ὑπὲρ πλακὸς τἀκεῖ κατ' οἴκους πάντ' ἐπίστασθαι Eur. 578, 4. δυσγενὴς ὢν πλουσίαν ἀροῖ πλάκα Eur. 661, 3. πεδία δὲ πάντα καὶ παράκτιον

πλάκα - φλοξ ἐδαίνυτο Phryn. 5, 3 p. 721. Ἀχίλλειον πλάκα adesp. 202. κεραυνοῦν πυριβόλους μὲν .. πλάκας adesp. 328.

πλάσμα: οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν - εἰ δέ του θεῶν τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν μέγιστος ἴστω Eur. 1059, 7.

πλάσσω: οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον, ἄλλην νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν adesp. 297. οἶκος τεκτόνων πλασθεὶς ὕπο Eur. 1130.

πλάστιγξ: ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν πλάστιγγ' (μάστιγ' ll.) ἐρείσῃ τοῦ βίου παλίντροπον Soph. 666, 5. ἀνώμαλοι πλάστιγγες ἀστάτου τύχης adesp. 179.

πλαστός: ἐκείνου παῖς πατρὶ πλαστὸς νόθος Sosith. 2, 4 p. 822.

πλάτη: Αἴγυπτος - ναυτίλῳ πλάτῃ Ἄργος κατασχών Eur. 846. ναύκληρον πλάτην Soph. 397.

πλατύς: τὸν αὖ νεώτερον ‹λό›γχῃ πλατείᾳ - ‹παίσ›ας ἔδωκε νερτέροις Eur. 495, 29.

Πλειάς: ὑπέρ τε πόντου χεῦμ' ὑπέρ τε Πλειάδα adesp. 157. ἴει δ' ἐφ' ἑπτὰ πλειάδων ἔχων δρόμον Eur. 779, 4. cf. πελειάς.

Πλεισθένης — Eur. Κρῆσσαι p. 502.

πλεκτάνη: μίαν παρείρας πλεκτάνην χειμάρροον στέγην πυρώσω Aesch. 281, 3. τὸν πετραῖον πλεκτάναις ἀναίμοσιν στυγῶ μεταλλακτῆρα πουλύπουν χροός Ion. 36 p. 739.

πλεκτός: κημοῖσι πλεκτοῖς πορφύρας φθείρει γένος Soph. 463. στεφανωσαμένη - *πλεκτοῖς ὠμῶν σπείραισι δρακόντων Soph. 492, 5.

πλέκω: σχοινίνας γὰρ ἵπποισι φλοίνας ἡνίας πλέκει Eur. 284. δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι Aesch. 373. φάβα, μέσακτα πλευρὰ πρὸς πτύοις πεπλεγμένην Aesch. 210, 2.

πλεύμων: ἐκπνέουσι πλευμόνων (πνευμάτων ll.) ἄπο Soph. 312, 2. ἐντήκεται γὰρ πλευμόνων ὅσοις ἔνι ψυχή Soph. 855, 7. Κύπρις - Διὸς τυραννεῖ πλευμόνων Soph. 855, 15. οἶνος περάσας πλευμόνων (al. πνευμόνων) διαρροάς Eur. 983.

πλευρόν: φάβα, μέσακτα πλευρὰ πρὸς πτύοις πεπλεγμένην Aesch. 210, 2. κέστρᾳ σιδηρᾷ πλευρὰ καὶ κατὰ ῥάχιν † ἠλοῆσαι Soph. 19. (cf. νῶτον.) μῶν κρυμὸς αὐτῆς πλευρὰ γυμνάζει χολῆς Eur. 682, 3. κρούσας - πλευρὰ πτεροφόρων ὀχημάτων Eur. 779, 6.

Πλευρώνιος: ὡς κόρην Πλευρωνίαν ὑπημβρύωσεν Soph. 1026, 3.

πλέω: θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις Eur. 397. εἰς Αἶαν πλέων Soph. 828. ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτε πλεῖν (al. οὔτ' ἐκπλεῖν) ἐᾷ Aesch. 250.

πλέως: λιθάργυρος δ' ὅλπη παρῃωρεῖτο χρίματος *πλέα Ach. 19, 2 p. 751. κότυλον οἴνου πλέων Ion. 51 p. 742.

πληγή: θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός Soph. 876. τήνδ' ἐγὼ δίδωμί σοι πληγήν Eur. 456, 2. οὐ σκέπαρνος οὐδὲ πρίονος πληγαί Soph. 729, 2. cf. πλαγά.

πλῆθος: συνοπάζεται δὲ πλῆθος Soph. 344, 5. χρυσοῦ σὲ πλήθει,

τούσδε δ' οὐ χαίρειν χρεών Eur. 1069. εἰς μυρίους ὄρνιθας αἰετὸς σοβεῖ λαῶν τε δειλῶν πλῆθος εὖ τραφεὶς ἀνήρ Sosith. 1, 2 p. 821.

πληθύω: κύναρος ἄκανθα πάντα πληθύει γύην Soph. 651.

(πλήθω cf. λανθάνω.)

πλῆκτρον: ναοφύλακες - πλήκτροις ἀπευθύνουσιν οὐρίαν τρόπιν Soph. 143, 2. cf. πλᾶκτρον.

πλημοχόη: ἵνα πλημοχόας τάσδ' εἰς χθόνιον χάσμ' εὐφήμως προχέωμεν Eur. 592.

πλήν: οὐκ ἔστιν πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων ταμίας Soph. 531, 3. πλὴν τῆς τεκούσης θῆλυ πᾶν μισῶ γένος Eur. 498. ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων Eur. 566. τί δεῖ βροτοῖσι πλὴν δυοῖν μόνον Δήμητρος ἀκτῆς πώματός τε Eur. 892. ἅπαντα - γηράσκειν ἔφυ - πλὴν ὡς ἔοικε τῆς ἀναιδείας μόνης Theod. 12, 3 p. 805. — σοφὸς γὰρ οὐδεὶς πλὴν ὃν ἂν τιμᾷ θεός Soph. 226. λήθουσι - κἀνέμων διέξοδοι θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ Soph. 436, 2. οὐδὲν ἐσμεν πλὴν σκιᾶς εἰκότες Soph. 859, 2. οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακῶν Soph. 860. γέροντες οὐδὲν ἐσμεν ἄλλο πλὴν ψόφος Eur. 25, 2. οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος Eur. 170. κρείσσων γὰρ οὔτις χρημάτων πέφυκ' ἀνήρ, πλὴν εἴ τις Eur. 325, 2. τὴν οὐκ ἐμὴν.. πλὴν φύσει δώσω κόρην θῦσαι Eur. 360, 38. Ζεὺς ὅστις ὁ Ζεύς, οὐ γὰρ οἶδα πλὴν λόγῳ Eur. 480. οὐκ ἔστι κρεῖσσον ἄλλο πλὴν κρατεῖν δορί Eur. 731. μήποτ' εἴην ἄλλο πλὴν θεοῖς φίλος Eur. 800. πλὴν ὅμως βροτῶν νοσοῦσιν οἱ βλέποντες Eur. 833, 2. κοὐκ ἔστιν ὅρος κείμενος οὐδεὶς εἰς ὅντινα χρὴ κέλσαι θνητοῖς, πλὴν ὅταν ἔλθῃ κρυερὰ Διόθεν θανάτου πεμφθεῖσα τελευτή Eur. 916, 6.

Πλήξιππος — Antiph. Μελέαγρος p. 792.

πλήρης: γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης Soph. 764, 2. τί γὰρ ποθεῖ τράπεζα - πλήρης μὲν ὄψων ποντίων Eur. 467, 2. χρόνος περί γ' ἀενάῳ ῥεύματι πλήρης φοιτᾷ τίκτων αὐτὸς ἑαυτόν Eur. 594, 2. πλήρει γὰρ ὄγκῳ γαστρὸς αὔξεται Κύπρις adesp. 186. πλήρη μασχαλισμάτων Soph. 566. σὺ δέ μοι θυσίαν ἄπυρον παγκαρπείας δέξαι πλήρη προχυθεῖσαν Eur. 912, 5. πλῆρες ἐκπιόντι χρύσεον κέρας Soph. 442.

πληρῶ: Νείλου - ὕδωρ, ὃς ἐκ μελαμβρότοιο πληροῦται ροὰς Αἰθιοπίδος γῆς Eur. 228, 3. ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος ὄμβρου πεσεῖν εἰς γαῖαν Eur. 898, 9. Αἴγυπτος ἀγνοῦ νάματος πληρουμένη - ἀντέλλει στάχυν Aesch. 300, 6. σελήνης ὄψις - ἔρχεται νέα πρόσωπα καλλύνουσα καὶ πληρουμένη Soph. 787, 6. εὔογκος - γαστρὶ μὴ πληρουμένῃ adesp. 546, 5. ὅστις δόμους μὲν ἥδεται πληρουμένους Eur. 328. δαιτὸς δὲ πληρωθείς τις ἄσμενος πάλιν φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα Eur. 213, 3.

πλησίον: πόσις μοι πλησίον γαμηλίους μολπὰς ἀυτεῖ Eur. 781, 4. τὸν δὲ κύριον Ἅιδην παρεστῶτ' οὐχ ὁρᾶτε πλησίον Sosiph. 3, 6 p. 820. τὴν δὲ πλησίον τύχην οὐκ ἴσμεν οὐδ'

ὁρῶμεν ἀθλίου μόρου Patrocl. 1, 6 p. 830.

πλησμονή: ὧν οὐκ ἀπαρκεῖ πλησμονή Eur. 892, 4. ἐν πλησμονῇ τοι Κύπρις Eur. 895.

πλήσσω: ἐρῳδιὸς γὰρ ὑψόθεν ποτώμενος ὄνθῳ σε *πλήξει Aesch. 275, 2. (cf. παίω.) ὥσπερ ἁλιεὺς πληγείς Soph. 111. περὶ δ' ἐμῷ κάρᾳ πληγεῖσ' ἐναυάγησεν ὀστρακουμένη Aesch. 180, 4. ὧδ' ἐστὶ μύθων - κλέος, πληγέντ' ἀτράκτῳ - τὸν αἰετὸν εἰπεῖν Aesch. 139, 2.

πλίνθευμα: Τιρύνθιον πλίνθευμα, κυκλώπων ἕδος adesp. 269.

πλοῖον: ἀμφίπρυμνον πλοῖον Soph. 127.

πλόκαμος: χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς Aesch. 313.

πλούσιος: ἃ μὴ γάρ ἔστι τῷ πένητι πλούσιος δίδωσι Eur. 21, 5. καλὸν - ἰδεῖν - γῆ τ' ἠρινὸν θάλλουσα πλούσιόν θ' ὕδωρ Eur. 316, 3. κρεῖσσόν τ' ἐστὶ πλουσίου γάμου ‹γένος› Eur. 232, 2. τῷ πλουσίῳ τε τῷ τε μὴ διδοὺς μέρος ἴσον Eur. 362, 7. σὺ δ' ἀνδρί μ', ὡς φής, ἐκδίδως νῦν πλουσίῳ Eur. 953, 20. μὴ πλούσιον θῇς Eur. 249. ἤν τις οἴκων πλουσίαν ἔχῃ φάτνην Eur. 378. δυσγενὴς ὢν πλουσίαν ἀροῖ πλάκα Eur. 661, 3. σοφῆς δὲ πενίας σκαιότητα πλουσίαν κρεῖσσον σύνοικόν ἐστιν ἐν δόμοις ἔχειν Crit. 5 p. 774. εἰ πένης ἅπας λαὸς πολιτεύοιτο πλουσίων ἄτερ Eur. 21, 2. πολλάκις σοφωτέρους πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων Eur. 327, 5. (cf. εὐδαίμων.)

πλοῦτος: δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα καὶ πρὸς τὰ βατά Soph. 85, 6. τὸ συνετὸν ὁ θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος Eur. 52, 10. κακόν τι παίδευμ' ἦν ἄρ' εἰς εὐανδρίαν ὁ πλοῦτος Eur. 54, 2. ἄδικον ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποεῖ Eur. 55. τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει Eur. 95, 2. σκαιόν τι χρῆμα πλοῦτος ἢ τ' ἀπειρία Eur. 96. πλουτεῖς, ὁ πλοῦτος δ' ἀμαθία δειλόν θ' ἅμα Eur. 235. κεῖνο δ' ἰσχύει μέγα, πλοῦτος λαβών ‹τε› τοῦτον εὐγενὴς ἀνήρ Eur. 249, 3. οὔτε γὰρ πλοῦτός ποτε βέβαιος ἄδικος Eur. 354, 2. ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ Eur. 420, 4. ὕβριν τε τίκτει πλοῦτος ἢ φειδὼ βίου Eur. 438. πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων ἀνόνητος Eur. 502, 5. τί γάρ με πλοῦτος ὠφελεῖ νόσον Eur. 714. πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας τιμὰς (?) ἰὼν οὐκ ἔσχεν ὄγκον ὥστε καὶ δόξης τυχεῖν Chaer. 36 p. 790. δειλόν ἐσθ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν Carc. 9 p. 800. ὦ πολλὰ πλοῦτος δυστυχέστατος κυρῶν ὅμως μέγιστον ζῆλον ἐν βροτοῖς ἔχει Carc. 10 p. 800. οἷς οὔτε δαίμων οὔτε τις θεῶν νέμων πλούτου ποτ' ἂν νείμειεν ἀξίαν χάριν Soph. 511, 3. κρεῖσσον δὲ πλούτου - ἀνδρῶν δικαίων κἀγαθῶν ὁμιλίαι Eur. 7. τρισσῶν δὲ μοιρῶν ἐγκρινῶ νικᾶν μίαν, πλούτου τε χὤτῳ σπέρμα γεννᾶιον προσῇ πενίας τε Eur. 285, 4. (cf. ὄλβος.) πλούτου δ' ἀπορρυέντος ἀσθενεῖς γάμοι Eur. 395. κτῆμα - κάλλιστον τόδε, πλούτου δὲ κρεῖσσον Eur. 518, 2. πολλοῦ γὰρ χρυσοῦ καὶ πλούτου κρείσσων πάτρα σώφρονι ναίειν Eur. 1046.

σοφίας φθονῆσαι μᾶλλον ἢ πλούτου καλόν Agath. 25 p. 768. οὐ πλούτου χλιδὴ τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονάς Apollon. 1, 2 p. 825. πολλοὺς δὲ πλούτῳ - γαυρουμένους γυνὴ κατῆσχυνε - νηπία Eur. 662. δῶμα πλούτῳ δυσσεβῶς ὠγκωμένον Eur. 825, 2. πλούτῳ δ' ἀρετὰν κατεργάσασθαι δοκεῖτε Eur. 960. πλούτῳ χλιδῶσα θνητὰ δὴ γύναι φρόνει Eur. 986. ἐὰν ἴδῃς - τινὰ λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον Eur. 1040, 2. εἰ κακόβουλος φροντὶς ἐκτρέφει τὸν εὐαίωνα πλοῦτον Soph. 534, 3. μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν, ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο Eur. 20. κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι Eur. 419, 2. δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος μήτ' αὖ κακώσῃς, πλοῦτον ἔντιμον τιθείς Eur. 626, 2. ὦ πλοῦθ', ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν Eur. 813. τῶν γὰρ πλούτων ὅδ' ἄριστος γενναῖον λέχος εὑρεῖν Eur. 137.

πλουτῶ: πλουτεῖς, ὁ πλοῦτος δ' ἀμαθία δειλόν θ' ἅμα Eur. 235. πλουτεῖς, τὰ δ' ἄλλα μὴ δόκει ξυνιέναι Eur. 641. καὶ δοῦλος ὢν γὰρ τίμιος πλουτῶν ἀνήρ Eur. 142, 2. τὸν πάρος χρόνον πλουτῶν ὑπ' ἄτης ζεῦγλαν ἀσχάλλει πεσών Eur. 285, 10. σμίκρ' ἂν θέλοιμι - ἔχων ἄλυπος οἰκεῖν μᾶλλον ἢ πλουτῶν νοσεῖν Eur. 714, 3. ἀνὴρ δὲ πλουτῶν, κἂν ἄγαν ψευδηγορῇ, δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν σαφές adesp. 119, 5. κάλλιστα μουσῶν φθέγγεται πλουτῶν ἀνήρ adesp. 464. οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης Eur. 969. (cf. πονῶ.) ἃ δ' οἱ πλουτοῦντες οὐ κεκτήμεθα, τοῖσιν πένησι χρώμενοι τιμώμεθα Eur. 21, 6. δεινόν γε, τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον, σκαιοῖσιν εἶναι Eur. 776. σκαιὸν τὸ πλουτεῖν κἄλλο μηδὲν εἰδέναι Eur. 1069, 2.

Πλούτων: Πλούτωνος ἥδ' ἐπείσοδος Soph. 251. τοιόνδ' ἐμὸν Πλούτων' ἀμεμφίας χάριν Soph. 261. λέγουσι Δήμητρός ποτ' ἄρρητον κόρην Πλούτωνα - ἁρπάσαι Carc. 5, 2 p. 799.

πλωτός: ἰχθύων πλωτῷ (al. πλωτῶν) γένει Soph. 855, 9. οἳ δ' ἐπείγοντο πλωταῖς ἀπήναισι χαλκεμβόλοις adesp. 142.

πνεῦμα: ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον Soph. 12. χρόνος θεῶν τε πνεῦμ' ἔρως θ' ὑμνῳδίας Eur. 192. πολλοὺς δὲ βροντῆς πνεῦμ' (al. τραῦμ') ἄναιμον ὤλεσεν Eur. 982. νεύει δὲ τύχα κατὰ πνεῦμ' ἀνέμων Eur. 153, 4. ἀπέσβη πνεῦμ' ἀφεὶς ἐς αἰθέρα Eur. 971, 2. Νεῖλος - γαῖαν κυλίνδων πνευμάτων ἐπομβρίᾳ Aesch. 300, 3. (cf. πλεύμων.) δισσὰ πνεύματα πνεῖς, Ἔρως adesp. 187.

(πνεύμων v. πλεύμων.)

πνέω: δισσὰ πνεύματα πνεῖς, Ἔρως adesp. 187. πνεῖ δ' οὖρος, ἡμῖν δ' οὐ κρατεῖ τὰ πείσματα adesp. 380, 2. χωρὶς μυρηρῶν τευχέων πνέουσ' ἐμοί Aesch. 180, 5. κατάγνυται τὸ τεῦχος οὐ μύρου πνέον Soph. 140, 3. θεόθεν δὲ πνέοντ' οὖρον ἀνάγκη τλῆναι καμάτοις ἀνοδύρτοις adesp. 303. τὰ πολλὰ τῶν δεινῶν, ὅναρ πνεύσαντα νυκτός, ἡμέρας μαλάσσεται Soph. 62, 2.

πνοή: πελάζει καὶ καταψύχει

πνοὴ ἄρκειος ὡς ναύταισιν ἀσκεύοις μολών Aesch. 127. τερθρία πνοή Soph. 310. θοαῖσι μὲν ναυσὶ πόρον πνοαὶ - ἰθύνουσι Eur. 304, 2. δειναὶ δὲ ποταμῶν καὶ πυρὸς - πνοαί Eur. 1059, 2. οὔτ' ἐν πνοαῖσι χείματος δυσχείμερον Eur. 1083, 7. βορεάδας ἥξεις πρὸς πνοάς Aesch. 195, 2. Αἴγινα - πρὸς νότου κεῖται πνοάς Aesch. 404. ὅθεν ἅπασιν ἦρξατο τρέφειν ὁδ' αἰθὴρ ἐνδιδοὺς θνητοῖς πνοάς adesp. 112, 4. θάλασσαν - καὶ πνοὰς τὰς αἰθέρος περᾶν ἕτοιμος adesp. 408.

πόα: γεύομαί πως τῆς ἀειζώου πόας Aesch. 29. ὁ τὴν ἀείζων ἄφθιτον πόαν φαγών Aesch. 28.

ποδαπός: ποδαπὸς ὁ γύννις; τίς πάτρα Aesch. 61. ποδαπὸς ὁ ξένος Κορινθίοις ἔμολεν Eur. 74, 2. ποδαπὸν τὸ δῶρον ἀμφὶ φαιδίμοις ἔχων ὤμοις Soph. 415. ποδαποὶ γάρ εἰσιν οἱ ξένοι Ach. 3, 3 p. 747.

ποδεῖον: ποδεῖα Crit. 7 p. 774.

ποδήρης: ὅστις χιτῶνας βασσάρας τε Λυδίας ἔχει ποδήρεις Aesch. 59, 2.

ποδίζω: ἐν δεσμοῖσι δραπέτης ἀνὴρ κῶλον ποδισθεὶς πᾶν πρὸς ἡδονὴν λέγει Soph. 60, 2.

ποδώκης: τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς Aesch. 22. οὐ χρὴ ποδώκη τὸν τρόπον λίαν φορεῖν adesp. 519.

ποθεινός: ὡς ἄπυρος χρυσὸς γεγώς, ποθεινὸν εἰδὼς κτῆμα τοῦτο τοῖς βροτοῖς Eur. 1132, 31. κόμας ἐκειράμεσθα - ἥ που ποθεινὸν χρῆμα παιζούσῃ φρενί Agath. 3, 2 p. 763. ὦ καλλιφεγγῆ λαμπάδ' εἰλίσσων φλογὸς ἥλιε, ποθεινὸν πᾶσιν ἀνθρώποις σέλας Theod. 10, 2 p. 805.

πόθεν: πόθεν ποτ' ἄλυπον ὧδε ἠΰρον ἄνθος ἀνίας Soph. 174. πόθεν δὲ πεύκης πανὸν ἐξηῦρες λαβεῖν Eur. 90. πέμψον δ' ἐς φῶς ψυχὰς ἐνέρων τοῖς βουλομένοις ἄθλους προμαθεῖν πόθεν ἔβλαστον Eur. 912, 11.

ποθέν: ὑπομυκῶνταί ποθεν ἐξ ἀφανοῦς φοβεροὶ μῖμοι Aesch. 57, 9. εἴτε δὲ Μυσὸς ⟨γεγὼς⟩ ἦν εἴτε κἄλλοθέν ποθεν Eur. 704, 2.

πόθος: ὀμμάτειος πόθος Soph. 733. (cf. πόνος.) οὐδὲν οὕτω λαμπρὸν - ὡς τοῖς ἅπαισι καὶ πόθῳ δεδηγμένοις παίδων νεογνῶν - ἰδεῖν θάλος Eur. 316, 6. πόθῳ δὲ μητέρ' ἠφανισμένης κόρης - ἐπελθεῖν πᾶσαν - χθόνα Carc. 5, 4 p. 799. (cf. κόρος.)

ποθῶ: ἐκμαθεῖν δέ σου *ποθῶ - Ἀτθίδα χθόνα τίνες τύχαι κατέχουσιν Pyth. 1, 8 p. 811. ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς adesp. 63. τί γὰρ ποθεῖ τράπεζα Eur. 467. ἦν καὶ δίκῃ θνήσκῃ τις, οὐχ ἧσσον ποθεῖ πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους Eur. 834, 2. ὅταν δ' ἐφέρπῃ κῦμα λοίσθιον βίου, τὸ ζῆν ποθοῦμεν Lycophr. 5, 4 p. 818. ὦ φιλόζωοι βροτοί, οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν *ποθεῖτε Eur. 816, 8. στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν adesp. 41. Ἀιδης ποθεῖται τοῖς δεδυστυχηκόσιν Lycophr. 5, 2 p. 818.

ποῖ: ποῖ; πῶς δὲ λήσει Eur. 277. ποῖ πόδα πτερόεντα καταστάσω Eur. 781, 61. ποῖ ποτ' ἐξῆξας τάλας Neophr. 2, 3 p. 730. ποῖ μεταστρέ-

φεσθ', ὦ κακοί adesp. 126. ποῖ πορευθῶ adesp. 144.

ποιητής: ποιητὴν (al. μουσικὴν) δ' ἄρα Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν Eur. 663.

ποικιλία: ποικιλίᾳ πραπίδων δεινὰ μὲν φῦλα πόντου - δάμναται Eur. 27, 2.

ποικίλλω: τοῦτον δ' ἐπόπτην ἔποπα τῶν αὐτοῦ κακῶν πεποικίλωκε Aesch. 304, 2.

ποίκιλμα: τό τ' ἀστερωπὸν οὐρανοῦ σέλας, χρόνου καλὸν ποίκιλμα τέκτονος σοφοῦ Crit. 1, 34 p. 771.

ποικιλόμητις: τὰν γὰρ ἀνθρώπου ζόαν ποικιλομήτιδες ἄται πημάτων πάσαις μεταλλάσσουσιν ὥραις Soph. 533, 2.

ποικίλος: ποικίλης νεβροῦ adesp. 419. ἐν δὲ ποικίλῳ φάρει Soph. 527. μή μοι τὰ κομψὰ ποικίλοι γενοίατο Eur. 16, 2. τῇ δ' Ἀφροδίτῃ πόλλ' ἔνεστι ποικίλα Eur. 26. λίπος τ' ἐλαίας καὶ τὸ ποικιλώτατον ξυνθῆς μελίσσης κηρόπλαστον ὄργανον Soph. 366, 4. ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον Eur. 291, 3.

ποιμαίνω: χρὴ δὲ τὸν στρατηλάτην ὁμῶς δίκαιον ὄντα ποιμαίνειν στρατόν Eur. 744, 2.

ποιμαντήρ: ὕπνου φύλαξι πιστὰ σημαντήρια νεῶν τε ποιμαντῆρσιν ἐνθαλασσίοις Soph. 399, 10.

ποιμήν: πᾶς δὲ ποιμένων ἔρρει λεώς Eur. 146.

ποίμνη: σύριγγας δ' οὐριβάται κινοῦσιν ποίμνας ἐλάται Eur. 773, 28. βουσὶ καὶ ποίμναισιν εὐβοτωτάτην Eur. 1083, 6. ποίμνας Ὀλύμπου συναγαγὼν θυηπόλει Soph. 479, 2.

ποίμνιον: σκάπτων, ἀρῶν γῆν, *ποιμνίοις ἐπιστατῶν Eur. 188, 4.

† ποίμνιος: λειμῶνας ποίμνιά τ' ἄλση Eur. 740, 5.

ποινή: ποιναῖς ἐφικταῖς adesp. 256. ὅταν δὲ φωραθῶσιν ἕρδοντες κακά, τίνουσι ποινάς Theod. 8, 9 p. 804.

ποῖος: ποῖος δ' ἂν οἶκος - δέμας τὸ θεῖον περιβάλοι τοίχων πτυχαῖς Eur. 1130. ποία ξυνωρὶς τῆσδε καρτερωτέρα Aesch. 381, 2. ποία πόλις ἂν τάδ' ἐνέγκοι Soph. 81, 4. ποῖαι λιβάδες, ποία σειρὴν Eur. 116. θεόν δὲ ποῖον, εἰπέ μοι, νοητέον Eur. 1129. ὀλόμενε παίδων, ποῖον εἴρηκας λόγον adesp. 2. ποίαν σε φῶμεν γαῖαν ἐκλελοιπότα πόλει ξενοῦσθαι τῇδε Eur. 1. ποίαν δῆθ' ὁρμάσω adesp. 137. ποῖαι λιβάδες, ποία σειρὴν Eur. 116.

ποιῶ: ὅρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ Aesch. 95. ἓν δρᾷ μόνον δίκαιον ὢν ποιεῖ φθόνος Carc. 8, 2 p. 800. ἄδικον ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποεῖ Eur. 55. θάλλειν τε τε καὶ μή, ζῆν τε καὶ φθίνειν ποεῖ Eur. 330, 5. τὸ πολλὰ τολμᾶν πόλλ' ἁμαρτάνειν ποεῖ adesp. 319. λήθην ὅταν ποιῶσι τῶν ὄντων κακῶν Soph. 238, 2. καὶ κάταιθε χῶτι λῇς πόει Eur. 629. ὅστις καθ' ἑτέρου δόλια μηχανεύεται, αὐτὸς καθ' αὑτοῦ τοῦτο λανθάνει ποιῶν adesp. 573, 2. κακὸν δὲ - φειδοῖ πονηρᾷ μηδέν' εὖ ποιεῖν βροτῶν Eur. 407, 3. μόνου - καὶ θεὸς στερίσκεται, ἀγέννητα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα Agath. 5, 2 p. 764. κἀφ' ὅτῳ τεταγμένος εἴη τις, ἀνδάνοντα δεσπόταις ποεῖν Eur. 93,

3. ὅσ' ἂν ἀρέσκῃ τἀνδρὶ ταῦτ' αὐτὴν ποεῖν Eur. 953, 16. τό τοι χρεὼν οὐκ ἔστι μὴ χρεὼν ποεῖν adesp. 368. ταῦτ' ἐποίησεν λαβὼν ὁ καιρὸς αἰσχρὰ καὶ διαλλάξας καλά adesp. 26, 3. καὶ κέρδος αὐτῷ τοῦτο ποιεῖται μέγα Eur. 256, 2. τὸ μὲν πάρεργον ἔργον ὡς ποιούμεθα Agath. 11 p. 766. θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα Dicaeog. 1, 2 p. 775. γέλωτα δή με ποιοῦνται κόροι adesp. 458, 9. τῶνδ' ἕκατι σύλλογον ποιούμενοι Eur. 282, 14. παραινῶ - μὴ πρὸς τὸ γῆρας *ἀναβολὰς ποιουμένους σχολῇ τεκνοῦσθαι παῖδας Eur. 317, 2. ἐχρῆν γὰρ ἡμᾶς σύλλογον ποιουμένους τὸν φύντα θρηνεῖν Eur. 449. ἀπὸ τῶν θεῶν ἀρχὴν δὲ ποιεῖσθαι πρέπον Theod. 7 p. 804. Ἑστίας - ἀφ' ἧς γε σώφρων πᾶς ἂν ἄρχεσθαι θέλοι εὐχὰς ποζεῖσθαι> Eur. 781, 37.

πολέμιος: τοῖς δ' αὖ κακοῖς πάντων μέγιστος πολέμιος Eur. 692, 2. πόλιν δὲ πολεμία κατεῖχε φλόξ Eur. 360, 23. πέφυκε γάρ πως παισὶ πολέμιον γυνὴ τοῖς πρόσθεν Eur. 4. ἐτραυματίσθην πολεμίῳ βραχίονι Eur. 705, 2. τοῦτον νομίζω κἂν θεῶν συλᾶν βρέτη τοῖς φιλτάτοις τε πολέμιον πεφυκέναι Eur. 328, 4. οὐ τὸν σὸν ἔκταν πατέρα, πολεμίον γε μήν Eur. 625. μισῶ τὸν ἄνδρα τὸν - χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις adesp. 28, 2. ἐχθροῖσιν εἴη πολεμίαν δάμαρτ' ἔχειν Eur. 1060. ἄνδρας δ' ὁπλίτας πολέμιον ταρβεῖν δόρυ adesp. 295, 3. πολλοὶ δὲ λόγχαις πολεμίων - ἥσσους γεγῶτες κρείσσον' ἦλθον εἰς τύχην Eur. 301, 3. ὅταν τις - θάνατον ἐκφυγεῖν θέλῃ - ἢ βίαια πολεμίων κακά Eur. 645, 3. δυσείσβολός τε πολεμίοις τραχεῖά τε Eur. 1083, 3. πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν δίσκους ἔχοντες ἢ δι' ἀσπίδων χερὶ θείνοντες ἐκβαλοῦσι πολεμίους πάτρας Eur. 282, 19. 21. ὁσίᾳ δ' ἀνάγκη πολεμιωτάτη θεός adesp. 501. ψῦχος δὲ λεπτῷ χρωτὶ πολεμιώτατον Eur. 906.

πόλεμος: ἀνόρεος πόλεμος Soph. 403. φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους Soph. 510. οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ πόλεμος ἐν ἀστοῖς Eur. 173, 2. φιλεῖ τοι πόλεμος οὐ πάντων τυχεῖν Eur. 728. πρὸς τῶν ὁμοίων πόλεμον *αἴρονται μέγαν Eur. 50, 2. γνώμαις γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα Eur. 200, 2. Κύπρις γὰρ οὐδὲ νουθετουμένη χαλᾷ - κἄπειτα τίκτει πόλεμον Eur. 340, 3. χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν Eur. 975. † πολέμων δ' εὐμουσίαν ἄσκει Eur. 188, 2. ὦ χρυσέ - πάντων κρατιστεύων τύραννε· *πολέμοις δ' Ἄρεως κρείσσον' ἔχων δύναμιν adesp. 129, 4.

πολιήτης: εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος <ἢ τρόπον, ὧ> πολιῆται Ion. 41 p. 740. cf. πολίτης.

πολιός: μετὰ δ' ἡσυχίας πολιῷ γήρᾳ συνοικοίην· ἀείδοιμι δὲ στεφάνοις κάρα πολιὸν στεφανώσας Eur. 369, 2. 3.

πόλις: ποία πόλις ἂν τάδ' ἐνέγκοι Soph. 81, 4. Ἀσία μὲν ἡ σύμπασα καλῄζεται - πόλις δὲ Μυσῶν Μυσία προσήγορος Soph. 377, 2. οὐ γάρ

ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις, ἐν ᾗ τὰ μὲν δίκαια - λάγδην πατεῖται Soph. 622. ὅπου γὰρ οἱ φύσαντες ἡσσῶνται τέκνων, οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις Soph. 850, 2. γίγνεσθαι φιλεῖ πόλεμος ἐν ἀστοῖς, ἣν διχοστατῇ πόλις Eur. 173, 2. ταράσσων μηδὲν ὢν πόλις νοσεῖ Eur. 202, 2. δεινὴ πόλις νοσοῦσ' ἀνευρίσκειν κακά Eur. 267. εἰ γὰρ αἱρεθήσεται πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι Eur. 360, 40. ἅπασα Πελοπόννησος εὐτυχεῖ πόλις Eur. 730. Ἄργος ἡ πόλις κικλήσκεται Eur. 1132, 5. οὐ γὰρ λόγοις Λάκαινα πυργοῦται πόλις Ion. 63 p. 745. οὐδέπω γὰρ ἦν - λαίνοις εὐρεῖα πύργοις ὠχυρωμένη πόλις Mosch. 6, 8 p. 813. τούτῳ Κελαιναὶ πατρίς, ἀρχαία πόλις Μίδου γέροντος Sosith. 2 p. 822. κέχυται πόλις ὑψίπυλος κατὰ γᾶν adesp. 141. λαμπροὶ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα φοιτῶσι Eur. 282, 10. πόλεως δ' ἁπάσης τοὔνομ' ἓν, πολλοὶ δέ νιν ναίουσι Eur. 360, 16. τὴμῇ δὲ παιδὶ στέφανος - πόλεως θανούσῃ τῆσδ' ὑπερδοθήσεται Eur. 360, 35. τρίαιναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις Eur. 360, 47. τὸν μέγαν τᾶσδε πόλεως βασιλῆ Eur. 781, 24. πόλεως μὲν ἀρχῷ, φωτὶ δ' οὐκ ἔτῃ πρέπων Eur. 1014. ὅστις δ' ἀπ' ἄλλης *πόλεος οἰκήσῃ πόλιν Eur. 360, 11. οὐνὸς οἶκος οὐ πλέον σθένει πταίσας ἁπάσης *πόλεος Eur. 360, 21. κακοὶ - *πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα σκιρτῶσιν Eur. 362, 30. οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν Aesch. 452. κούρειον ᾑρέθη πόλει Soph. 122. νικᾷ δ' ἐν πόλει τὰ χείρονα Soph. 193, 2. ποίαν σε φῶμεν γαῖαν ἐκλελοιπότα *πόλει ξενοῦσθαι τῇδε Eur. 1, 2. ὧν πόλει δεῖ μεγάλα βουλεύοντες εὖ Eur. 16, 3. οὐδὲ πυνθάνεσθε ταῦτα - τἀν τῇ πόλει Eur. 66. ἀτρέκεια δ' ἄριστον ἀνδρὸς ἐν πόλει δικαίου πέλει Eur. 91. τῶν γὰρ δυναστῶν πλεῖστος ἐν πόλει λόγος Eur. 94. ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται Eur. 187, 4. ὁ δ' ἥσυχος φίλοισί τ' ἀσφαλὴς φίλος πόλει τ' ἄριστος Eur. 194, 2. τὸ δ' ἐκλαλοῦν τοῦθ' ἡδονῆς μὲν ἅπτεται, κακὸν δ' ὁμίλημ', ἀσθενὲς δὲ καὶ πόλει Eur. 219, 3. ὅλοιντο πάντες οἳ τυραννίδι χαίρουσιν ὀλίγῃ τ' ἐν πόλει μοναρχίᾳ Eur. 275, 2. τίς γὰρ παλαίσας εὖ - πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών Eur. 282, 18. ἄνδρας χρὴ σοφούς τε κἀγαθοὺς φύλλοις στέφεσθαι, χὥστις ἡγεῖται πόλει κάλλιστα Eur. 282, 24. τοιαῦτα γὰρ πόλει τε πάσῃ πᾶσί θ' Ἕλλησιν καλά Eur. 282, 28. ὡς ἔλθῃ θεὰ χρυσῆν ἔχουσα Γοργόν' ἐπίκουρος πόλει Eur. 351, 2. ἔμοιγ' εἴη τέκνα - μὴ σχήματ' ἄλλως ἐν πόλει πεφυκότα Eur. 360, 27. τοὺς πονηροὺς μήποτ' αὔξαν' ἐν πόλει Eur. 362, 28. φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει Eur. 425, 3. πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος Eur. 626, 7. ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς Eur. 644. τῇ πόλει μὲν οὖν νόσος τόδ' ἐστί Eur. 728, 3. προστάτης θ' ἁπλοῦς πόλει σφαλερός, ὑπὼν δὲ κἄλλος οὐ κακὸν πέλει (πόλει Il.) Eur. 774, 2. τοὺς γὰρ περισσούς - τιμῶμεν ἄνδρας τ' ἐν πόλει νομίζομεν Eur. 788, 3. μισῶ πολίτην - πό-

ρμον αὐτῷ, τῇ πόλει δ' ἀμήχανον Eur. 886, 3. τὴν γὰρ ἐντεθραμμένην ἀστοῖς Ἀθάνας τῇ τε Θησέως πόλει καλὸν φυλάξαι γνησίως παρρησίαν Mosch. 4, 3 p. 813. κωτίλος δ' ἀνὴρ λαβὼν πανοῦργα χερσὶ κέντρα κηδεύει πόλιν Soph. 622, 4. Οἰδίπους - χρυσοῦν ἐνεγκὼν ὅρμον εἰς Ἄργους πόλιν Eur. 70, 2. Δαναὸς - ᾤκισ' Ἰνάχου πόλιν Eur. 228, 6. ὁ δ' ἡδὺς αἰὼν - οὔτ' οἶκον οὔτε πόλιν ἀνορθώσειεν ἄν Eur. 239, 2. (al. οὔτε βίοτον οὐδὲν ὠφελεῖ) 364, 3. οὔποτ' ἂν πάτραν (πόλιν ll.) τὴν σὴν ἀτίζων τήνδ' ἂν ἠὐλόγεις πόλιν (πάτραν ll.) Eur. 347, 2. λογίζομαι - πόλιν οὐκ ἄν τιν' ἄλλην τῆσδε βελτίω λαβεῖν Eur. 360, 5. ὅστις δ' ἀπ' ἄλλης πόλεος οἰκήσῃ πόλιν Eur. 360, 11. πόλιν δὲ πολεμία κατεῖχε φλόξ Eur. 360, 23. ἄρξουσιν ἄλλοι, τήνδ' ἐγὼ σώσω πόλιν Eur. 360, 42. οὐκ ἔσθ' ὅπως οὐ τήνδ' ἐγὼ σώσω πόλιν Eur. 360, 52. ἴθι μοι, πότνα, πόλιν Eur. 453, 9. οἳ γῆν ἔχουσ' Εὐβοΐδα πρόσχωρον πόλιν Eur. 658. ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ Eur. 712. πρὸς τὰς διαίτας τῶν ἐνοικούντων πόλιν - ἰδόντας τὰς νόσους σκοπεῖν χρεών Eur. 917, 2. ἥκω περίκλυστον προλιποῦσ' Ἀκροκόρινθον - πόλιν Ἀφροδίτας Eur. 1084, 2. εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν Πριάμου Eur. 1109, 10. (cf. πέδον.) ὦ Κραναὰ πόλις Aesch. 371. Soph. 798. ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει Eur. 713. γνώμαις γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος Eur. 200. αἱ δ' ἄλλαι πόλεις - ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι Eur. 360, 8. αἱ γὰρ πόλεις εἰσ' ἄνδρες. οὐκ ἐρημία Eur. 828. ὅρκους τε παραβαίνοντας ἐκπορθεῖν πόλεις Eur. 286, 7. πόλεις τε μικρὰς οἶδα τιμώσας θεούς, αἳ μειζόνων κλύουσι δυσσεβεστέρων Eur. 286, 10. cf. πτόλις.

πόλισμα: πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα Crat. 1, 2 p. 809.

πολιτεύομαι: εἰ πένης ἅπας λαὸς πολιτεύοιτο πλουσίων ἄτερ Eur. 21, 2.

πολίτης: ὅστις δ' ἀπ' ἄλλης πόλεος οἰκήσῃ πόλιν - λόγῳ πολίτης ἐστί, τοῖς δ' ἔργοισιν οὔ Eur. 360, 13. ἀργὸς πολίτης κεῖνος, ὡς κακός γ' ἀνήρ Eur. 512. μισῶ πολίτην ὅστις ὠφελεῖν πάτραν βραδὺς φανεῖται Eur. 886. καὶ μὴν ἀκούω - τὸν Ἅρπαλον - πολίτην γεγονέναι Pyth. 1, 16 p. 811. ὅσοι μὲν σαρκὸς εἰς εὐεξίαν ἀσκοῦσι βίοτον - κακοὶ πολῖται Eur. 201, 3. ὄλβιος - μήτε πολιτῶν ἐπὶ πημοσύνην μήτ' εἰς ἀδίκους πράξεις ὁρμῶν Eur. 910, 3. ὅστις τῶν πατέρων παισὶ μὴ φρονοῦσιν εὖ ἢ καὶ πολίταις παραδίδωσ' ἐξουσίαν Eur. 784, 3. στείχει πολίταις ὄμμ' ἔχων ἰδεῖν πικρόν adesp. 415. χρῆσθ', ὦ πολῖται, τοῖς ἐμοῖς λοχεύμασιν Eur. 360, 50. cf. πολιήτης.

πολλάκι: πολλάκι τὸ λυποῦν ὕστερον χαρὰν ἄγει Eur. 174, 2. πολλάκι μοι παπίδων διῆλθε φροντίς Eur. 901. cf. πολλάκις.

πολλάκις: τοὺς ἐρῶντας αὐτὸς ἵμερος δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προσίεται Soph. 153, 9. πολλάκις ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν Soph. 524. ἀγλωσσίᾳ δὲ πολλάκις

ληφθεὶς ἀνὴρ δίκαια λέξας ἥσσον εὐγλώσσου φέρει Eur. 56, 2. πολλάκις σοφωτέρους πένητας - εἰσορῶ τῶν πλουσίων Eur. 327, 4. εἰς δ' ἀνάστασιν δόμων περαίνει πολλάκις τὰ τοιάδε Eur. 340, 4. τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου· τὸν μὲν γὰρ - τὸν δ' ἄνω τε καὶ κάτω ῥήτωρ σπαράσσων πολλάκις λυμαίνεται Eur. 597, 4. τά τοι μέγιστα πολλάκις θεὸς ταπεῖν' ἔθηκε Eur. 716, 3. ῥᾴμη δέ τ' ἀμαθὴς πολλάκις τίκτει βλάβην Eur. 732. τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα Biot. 1 p. 825. cf. πολλάκι.

πολλαχοῦ: σιγᾷν γε μέντοι πολλὰ πολλαχοῦ καλόν adesp. 170.

πόλος: δίδυμοί τ' ἄρκτοι - πτερύγων ῥιπαῖς τὸν Ἀτλάντειον τηροῦσι πόλον Eur. 594, 5. τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς εἰς οὐράνιον πάλιν ἦλθε πόλον Eur. 839, 11. βάσομαί τ' εἰς αἰθέριον *πόλον ἀρθεὶς Eur. 911, 3.

πολυβέλεμνος: πολυβέλεμνοι adesp. 597.

Πόλυβος: ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ ἐξομματοῦμεν - κόρας Eur. 541.

πολύβωλος: βασιλεῦ χώρας τῆς πολυβώλου Κισσεῦ Eur. 229.

Πολυδέκτης — Eur. Δίκτυς.

πολυηλάκατος: ποταμοὺς πολυηλακάτους Aesch. 8.

πολύθρηνος: μέλπει - ἀηδὼν ἁρμονίαν ὀρθρευομένα γόοις Ἴτυν Ἴτυν πολύθρηνον Eur. 773, 26.

Πολυίδος: ὁρῶ πρόχειρον Πολυίδου τοῦ μάντεως Soph. 358. οὐκ ἔστιν εἰ μὴ Πολυίδῳ τῷ Κοιράνου Soph. 359.

πολύκαρπος: ζευγνὺς ἁρμονίᾳ πολύκαρπον ὄχημα Eur. 943, 2.

πολύκοινος: πολύκοινον Ἀμφιτρίταν Soph. 612.

πυλυκοίρανος: Ἀτρέως πολυκοίρανε μάνθανέ μου παῖ Aesch. 238.

πολύμετρος: Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν Eur. 516.

πολύμοχθος: ὦ πολύμοχθος βιοτὴ θνητοῖς Eur. 916. ἄφνω δ' ἄφαντος προσέβα - πολύμοχθος Ἀίδας adesp. 127, 10.

Πολυνείκης — adesp. 458.

πολύξενος: Ζαγρεῖ τε νῦν με καὶ πολυξένῳ.. χαίρειν Aesch. 228.

πολυπληθία: πολλῶν δ' ἐν πολυπληθίᾳ πέλεται οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς οὔτ' ἀχρείων τὸ λίαν κακός Soph. 606.

πολύπλοκος: καμπαῖς πολυπλόκοις adesp. 34.

πολύπονος: ἄνοικτος ὃς τεκὼν σὲ τὴν πολυπονωτάτην βροτῶν μεθῆκεν Ἀιδᾳ Eur. 120, 2.

πολύς: πολὺς πόνος Aesch. 134, 2. ὁ Σίσυφος πολὺς ἔνδηλος ἐν σοί Soph. 142. πολὺς δὲ Φρὺξ τρίγωνος - ἐφυμνεῖ πηκτίδος συγχορδίᾳ Soph. 378. πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται Soph. 715. πολὺς δ' ἀνεῖρπε κισσὸς εὐφυὴς κλάδος Eur. 88. τὸ μὲν μέγ' εἰς οὐδὲν ὁ πολὺς χρόνος μεθίστησι Eur. 304, 4. πολὺς δὲ κοσσάβων ἀραγμὸς Κύπριδος προσῳδὸν ἄχει μέλος Eur. 631. ὀθούνεκα πολὺς παρῆλθεν εἰς γονὴν παίδων χρόνος Eur. 1132, 21. μῶν Ἀχελῷος ἦν κεκραμένος πολύς Ach. 9 p. 748.

πολὺς γὰρ ὅμιλος ποντίου κύκλου σοβῶν ἐνάλιος θεωρία Ach. 27 p. 753. βραχεῖ πολὺς σιδήρῳ κείρεται πεύκης κλάδος Mosch. 1, 2 p. 812. πολύς τοι μόχθος ἐν μακρῷ χρόνῳ adesp. 551. οὐδὲν γὰρ ἄλγος οἷον ἡ πολλὴ ζόη Soph. 512. πολλὴ φαρέτρα adesp. 257. πολλοῦ γὰρ χρυσοῦ καὶ πλούτου κρείσσων πάτρα σώφρονι ναίειν Eur. 1046. χρόνου πολλοῦ νόστον προμαθόντες adesp. 241, 2. ὃς τῆσδέ τ' ἄρξει χἀτέρας πολλῆς χθονός Eur. 1132, 16. καθῆσθ' ἂν ἐν δόμοισιν; ἢ πολλοῦ γε δεῖ Eur. 709. πολλοῦ σε θνητοῖς ἄξιον τίκτει πατήρ adesp. 410. ὅ τοι θρασὺς πρὸς ἔργον ἐκ πολλοῦ (?) κακός adesp. 449. τὸ θῆλυ - ἔν τε τοῖσι - καλοῖς πολλῷ λέλειπται Eur. 401, 4. πολλῷ δὲ κρεῖσσόν ἐστι μὴ δεδοικότα παθεῖν τὸ μέλλον δεινὸν ἢ δεδοικότα adesp. 324. πολὺν οἰδματόεντα δρόμου πόρον Aesch. 69, 4. πολὺν δ' ἀγῶνα πάγξενον κηρύσσεται Soph. 348. ὦ γλῶσσα, σιγήσασα τὸν πολὺν χρόνον Soph. 690. πολὺν γὰρ πέλανον ἐκπέμπεις δόμων Eur. 350. ἀδίκως δὲ μὴ κτῶ χρήματ', ἢν βούλῃ πολὺν χρόνον μελάθροις ἐμμένειν Eur. 362, 11. εὔδουσα δ' Ἰνοῦς συμφορὰ χρόνον πολὺν νῦν ὅμμ' ἐγείρει Eur. 398. πολὺν μὲν ἄροτον, ἐκπονεῖν δ' οὐ ῥᾴδιον Eur. 1083. ἢ πολὺν πόνον βραχεῖ διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ Neophr. 2, 14 p. 731. πολλὴν γλῶσσαν ἐκχέας μάτην Soph. 843, 3. πολλὴν παρ' ἡμῖν μωρίαν ὀφλισκάνει Eur. 86, 2. τό τ' εὐγενὲς πολλὴν δίδωσιν ἐλπίδ' ὡς ἄρξουσι γῆς Eur. 404, 2. οὐκ ἔστι τὰ θεῶν ἄδικ', ἐν ἀνθρώποισι δὲ κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει Eur. 606, 2. ὁ γὰρ ἐν καιρῷ μόχθος πολλὴν εὐδαιμονίαν τίκτει Eur. 745, 2. χρὴ - πειθὼ - τοῖς μὲν σώφροσιν πολλὴν ἔχειν Eur. 759, 3. πολλοῖσι πολλήν, δὶς τόσοις δὲ πλείονα Eur. 995. πολλὴν ὀπώραν Κύπριδος εἰσορᾶν παρῆν Chaer. 12 p. 785. αἰδὼς ἀπώλεσ' αὐτόν - πολλὴν γὰρ αὐτὴν δειλὸς ὢν ἐκτήσατο adesp. 556, 2. ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ μεῖζον ἐβλάστομεν γυναῖκες πολὺ δυσμαχώτερον Eur. 429, 3. χρεία δ' ἀνάγκης οὐκ ἀπώκισται πολύ Chaer. 18 p. 788. πολλοὶ γὰρ ὠδύσαντο δυσμενεῖς ἐμοί Soph. 880, 2. θνητοὶ δὲ πολλοὶ - ἱδρυσάμεσθα - θεῶν ἀγάλματα Soph. 1025, 4. πολλοὶ δὲ θνητῶν τοῦτο πάσχουσιν κακόν Eur. 220. πολλοὶ μὲν οἶδμα διέφυγον θαλάσσιον, πολλοὶ δὲ λόγχαις πολεμίων ἀμείνονες ἥσσους γεγῶτες κρείσσον' ἦλθον εἰς τύχην Eur. 301, 2. 3. πόλεως δ' ἁπάσης τοὔνομ' ἕν, *πολλοὶ δέ νιν ναίουσι Eur. 360, 16. τὴν εὐγένειαν - τιμῶσι πολλοὶ προσλαβεῖν τέκνων χάριν Eur. 405, 2. πολλοί γε θνητῶν - τὰς συμφορὰς ζητοῦσ' ἀμαυροῦν Eur. 416. πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστα Θεσσαλῶν Eur. 422. ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος εἵνεκα ἀσκοῦσι χάριτας κερτόμους Eur. 492. πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων Eur. 511, 2. πολλοὶ γεγῶτες ἄνδρες οὐκ ἔχουσ' ὅπως δείξουσιν αὐτούς Eur. 738. πέπονθας οἷα χἄτεροι πολλοὶ βροτῶν Eur. 1077. εἰ μὲν γὰρ αὐτίκ' ἦσαν αἱ τιμωρίαι, πολλοὶ διὰ φόβον - θεοὺς ἂν ἦξον Theod.

8, 5 p. 804. πολλοὶ μαθηταὶ κρείσσονες διδασκάλων adesp. 107. τοῦ σώματος γὰρ εἵνεχ' οἱ πολλοὶ πόνοι adesp. 115. πολλοί σε μισήσουσιν, ἢν σαυτὸν φιλῇς adesp. 180. ὦ πλοῦτε - πόνοι δὲ κἀν σοὶ καὶ φθοραὶ πολλαὶ βίου ἔνεισι Eur. 813, 2. ποῦ μοι τὰ πολλὰ δῶρα κἀκροθίνια Aesch. 184. ψευδόδειπνα πολλὰ μαργώσης γνάθου ἐρρυσιάσθη Aesch. 258. τὰ πολλὰ τῶν δεινῶν, ὄναρ πνεύσαντα νυκτός, ἡμέρας μαλάσσεται Soph. 62. βραχεῖ λόγῳ δὲ πολλὰ πρόσκειται σοφά Soph. 98. τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα Soph. 666, 6. τῇ δ' Ἀφροδίτῃ πόλλ' ἔνεστι ποικίλα Eur. 26. γένοιτό τἂν πόλλ' ὧν δόκησις οὐκ ἔνι Eur. 131, 2. τὰ πολλὰ ταύτῃ γίγνεται τέκνων πέρι Eur. 167, 2. πόλλ' ἔστιν ἀνθρώποισιν, ὦ ξένοι, κακά Eur. 204. ὀργῇ δὲ φαύλῃ πόλλ' ἔνεστ' ἀσχήμονα Eur. 259. καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει Eur. 1065. πόλλ' ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά adesp. 523. πολλῶν δ' ἐν πολυπληθίᾳ πέλεται οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς οὔτ' ἀχρείων τὸ λίαν κακός Soph. 606. πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα Soph. 785. εὐκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων Eur. 134. τῶν πολλῶν βροτῶν δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς Eur. 208, 2. ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν Eur. 244. θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα τύμβον - κοινὸν ἔλαχον Eur. 360, 32. φθόνος δ' ὁ πολλῶν φρένα διαφθείρων βροτῶν ἀπώλεσ' αὐτόν Eur. 551. ἤδη δὲ πολλῶν ἠρέθην λόγων κριτής Eur. 812. εἰσελήλυθεν πολλῶν σοφιστῶν ὄχλον ἐξηρτημένος Ioph. 1, 2 p. 761. πολλῶν γὰρ οὐσῶν τὴν μὲν εὑρήσεις κακήν, τὴν δὲ Eur. 657, 3. οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί, ὅσπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν Aesch. 353, 2. τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἔστι σοι Soph. 79. ἀλλὰ τῶν πολλῶν καλῶν τίς χάρις Soph. 534. πολλῶν καλῶν δεῖ τῷ καλόν τι μωμένῳ Soph. 852. ἥ τοι Κύπρις - πολλῶν ὀνομάτων ἐπώνυμος Soph. 855, 2. πολλῶν τ' ἔπαινον ἔστι μοι λέξαι καλῶν Eur. 316, 4. εἰσὶν γάρ - διφθέραι μελεγγραφεῖς πολλῶν γέμουσαι Λοξίου γηρυμάτων Eur. 627, 2. πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν Eur. 632. ἀλλὰ χρημάτων πολλῶν κεκλῆσθαι βούλεται πάτωρ δόμοις Eur. 659, 4. φίλον πρίασθαι χρημάτων πολλῶν σαφῆ Eur. 934, 2. πολλῶν (πολλοῖς ll.) γὰρ ἀνθρώποισι φάρμακον κακῶν σιγή Carc. 7 p. 800. Αὐτόλυκον πολέων κτεάνων σίνιν Soph. 221, 2. πολλοῖς γάρ ἐστι κέρδος ἡ σιγὴ βροτῶν Aesch. 188. μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα Soph. 592. σκαιοῖσι πολλοῖς εἷς σοφὸς διόλλυται Soph. 835. δεῖ τοῖσι πολλοῖς τὸν τύραννον ἀνδάνειν Eur. 171. πολλοῖς παρέστην κἀφθόνησα δὴ βροτῶν ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ἦ Eur. 334. πολλοῖς ἔστιν ἀνθρώπων κακά Eur. 415. ᾧ παρῆν - ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης Eur. 787, 2. τἀξίωμα γὰρ νοσοῦν τὸ πρόσθε πολλοῖς οἶκτον ἐμποεῖ βροτῶν Mosch. 9, 11 p. 816.

πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν φρενῶν μεγάλα δίδωσιν εὐτυχήματα adesp. 82. ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν Eur. 437. πολλοῖσι δούλοις τοὔνομ' αἰσχρόν Eur. 831. πολλοῖσι πολλήν, δὶς τόσοις δὲ πλείονα Eur. 995. τοῦτο τἄδικον πολλαῖς ὑπερρύηκε Eur. 497, 5. πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων σφάλλουσιν ἡμᾶς Eur. 972. ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν Soph. 862. ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους Eur. 28, 2. πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν Eur. 257. ὀλίγους ἐπαινῶ μᾶλλον ἢ πολλοὺς κακούς Eur. 356. τὰ μητέρων δὲ δάκρυ' ὅταν πέμπῃ τέκνα, πολλοὺς ἐθήλυν' εἰς μάχην ὁρμωμένους Eur. 360, 29. πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους γυνὴ κατῄσχυνε Eur. 662. πολλοὺς δὲ βροντῆς πνεῦμ' ἄναιμον ὤλεσεν Eur. 982. τῶν ἀμηχάνων δ' ἔρως πολλοὺς ἔθηκε τοῦ παρόντος ἀμπλακεῖν Eur. 1076, 3. σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας νικᾷ Eur. 200, 3. ἀλλ' ἦμαρ ‹ἓν› τοι μεταβολὰς πολλὰς ἔχει Eur. 549. πολλάς γ' ὁ δαίμων τοῦ βίου μεταστάσεις ἔδωκεν ἡμῖν Eur. 554. τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους Eur. 637. φιλοῦσι δὲ τὸν ἐξ Ἀθηνῶν παρθένους ὅταν φέρῃ πολλάς Eur. 675, 5. ἀρετὴ δ' ὤνησε πολλάς Eur. 909, 2. πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν Eur. 1089, 2. μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει adesp. 550. ἵν' οὖν τὰ πολλὰ κεῖνα διὰ παύρων λέγω Aesch. 99, 4. ἢ πολλά μ' ἐν δόμοισιν εἴργασται κακά Aesch. 311, 2. οὔτε πολλὰ τραύματ' ἐν στέρνοις λαβὼν θνήσκει τις Aesch. 362. ὁ χρήσιμ' εἰδώς, οὐχ ὁ πόλλ' εἰδὼς σοφός Aesch. 390. πόλλ' ἔχει σιγὴ καλά Soph. 78. πολλὰ καὶ λαθεῖν καλόν Soph. 80. πολλά σε ζηλῶ βίου Soph. 525. πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ Soph. 600. πολλὰ καὶ μαθεῖν σε δεῖ καὶ πόλλ' ἀκοῦσαι Soph. 632, 1. 2. τὰ πόλλ' ἀνάγκη διαφέρει τολμήματα Eur. 38. ἄδικον ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποεῖ Eur. 55. πολλά τοι θεὸς κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις τελεῖ Eur. 100. ἀλλ' ἡμέρα τοι πολλὰ - τίκτει βροτοῖσιν Eur. 101. ὃν μὴ τὸ θεῖον ὡς τὰ πολλὰ συνθέλει Eur. 150, 2. ὅστις δὲ πράσσει πολλὰ μὴ πράσσειν παρόν, μῶρος Eur. 193. τὰ πολλὰ πρὸς φίλων νικώμενοι Eur. 220, 3. πόλλ', ὦ τέκνον, σφάλλουσιν ἀνθρώπους θεοί Eur. 254. τυραννικόν τοι πόλλ' ἐπίστασθαι λέγειν Eur. 335. λογίζομαι δὲ πολλά Eur. 360, 5. βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ Eur. 362, 5. σπουδάζομεν δὲ πόλλ' ὑπ' ἐλπίδων Eur. 391, 2. νομίζειν χρή σε - ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς Eur. 396, 3. ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους ἢ πολλὰ χρήματα Eur. 502, 2. πόλλ' ἐλπίδες ψεύδουσι - βροτούς Eur. 650. πόλλ' ἀμιλληθέντα μαρτύρων ὕπο τἀναντί' ἔγνων Eur. 812, 2. ἢ πολλὰ καὶ δύσγνωστα βουλεύει θεός Eur. 947. νέος δ' ὅταν πόλλ' ἐξαμάρτῃ, τὴν ἁμαρτίαν ἔχει εἰς γῆρας αὐτοῦ τοῖς τρόποισιν ἔμφυτον Eur. 1027,

4. τὸ λαιψηρὸν φρενῶν εἰς συμφορὰν καθῆκε πολλὰ δὴ βροτούς Eur. 1032, 2. ὁ γὰρ θεός πως - κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί Eur. 1073, 4. πόλλ' ἐσθίουσιν, ὡς ἐπασκούντων τρόπος Ach. 3, 2 p. 747. πεταλίδων δέ τοι συῶν - πόλλ' ἐπάιον Ach. 8, 2 p. 748. τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι, βροτοῖσι πολλὰ τυγχάνειν οὐκ εἰκότα Agath. 9, 2 p. 765. νέων γὰρ ἀνδρῶν πολλὰ κάμπτονται φρένες Agath. 26 p. 768. ὀργὴ δὲ πολλὰ (al. πολλοὺς) δρᾶν ἀναγκάζει κακά Chaer. 29 p. 789. σοφόν γέ τοί τι πρὸς τὸ βουλεύειν ἔχει τὸ γῆρας, ὡς δὴ πολλ' ἰδόν τε καὶ παθόν Antiph. 3, 2 p. 793. ὦ πολλὰ πλοῦτος δυστυχέστατος κυρῶν Carc. 10 p. 800. πολλὰ δεῖ μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον Theod. 11 p. 805. ὦ δυστυχεῖς μὲν πολλά, παῦρα δ' ὄλβιοι βροτοί Sosiph. 3 p. 820. τὰ δεινὰ ταῦτα καὶ τὰ πόλλ' ἔπη εἰς ὠδε μικρὸν τεῦχος ἤθροισεν τύχη. τί δῆτα θνητοὶ πόλλ' ἀπειλοῦμεν μάτην δεινοὺς ἐπ' ἀλλήλοισι πέμποντες λόγους Patrocl. 1, 1. 3 p. 830. ὦ πολλὰ τέρψαντ' οὐδὲ λυπήσαντά τι μητέρα Pomp. 1, 2 p. 831. τούτῳ δὲ - πολλὰ κἀγάθ' οἱ θεοὶ .. δοῖεν adesp. 32. πόλλ' ἀπιστία δέδρακεν ἀγαθά adesp. 113. ἡ γλῶσσά τοι αὐτὴ μὲν οὐδέν - πονεῖ, ὅταν δ' ἁμάρτῃ, πολλὰ προσβάλλει κακά adesp. 120, 3. σιγᾶν γε μέντοι πολλὰ πολλαχοῦ καλόν adesp. 170. τὸ πολλὰ τολμᾶν πόλλ' ἁμαρτάνειν ποεῖ adesp. 319. δαίμων βροτοῖσι πόλλ' ἀνευρίσκει κακά adesp. 488. χρόνος - πόλλ' ἀνευρίσκει σοφὰ μαιομένοις adesp. 509, 3. — ἦ τί πλέον εἶναι παῖδας ἀνθρώποις - εἰ μὴ ἐπὶ τοῖς δεινοῖσιν ὠφελήσομεν Eur. 84. νεότης μ' ἐπῆρε καὶ θράσος τοῦ νοῦ πλέον Eur. 149. ‹τί› κέρδος οὐκέτ' ὄντας ὑβρίζειν νεκρούς; τί τὴν ἄναυδον γαῖαν αἰκίζειν πλέον Mosch. 7, 2 p. 815. πόλεις - αἳ μειζόνων κλύουσι δυσσεβεστέρων λόγχης ἀριθμῷ πλείονος κρατούμεναι Eur. 286, 12. πλείω δὲ μισθὸν μείζονος τόλμης ἔχων Eur. 297, 4. πολλοῖσι πολλήν, δὶς τόσοις δὲ πλείονα Eur. 995. κέστρᾳ - πλευρὰ καὶ κατὰ ῥάχιν ἠλοῆσαι † πλεῖον Soph. 19, 2. πλεῖον φυλάσσων αὐτὸς ἢ φυλάσσομαι Soph. 706, 2. φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις νικᾶν ἐπ' αἰσχροῖς ἢ ἐπὶ τοῖς καλοῖς πλέον Soph. 186, 2. ὅπου λόγοι σθένουσι τῶν ἔργων πλέον Soph. 192, 2. διψῶντι - πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς Soph. 696, 2. γνῶμαι πλέον κρατοῦσιν ἢ σθένος χερῶν Soph. 853. αἱ γὰρ εὖ τεθραμμέναι πλέον σφάλλουσιν οἴκους τῶν παρημελημένων Eur. 111, 2. οὐνὸς οἶκος οὐ πλέον (πλεῖον ll.) σθένει πταίσας ἁπάσης πόλεος Eur. 360, 20. τὸ θῆλυ - ἔν τε τοῖσι - καλοῖς πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον Eur. 401, 4. ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ' ἀνήρ Eur. 425. φημὶ καὶ νόμον γε μὴ σέβειν ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον Eur. 433, 2. ὅταν μὲν ᾖς παῖς, μὴ πλέον παιδὸς φρονεῖν Eur. 603, 2. τὸ γὰρ ἔχειν πλέον κρατεῖ τῆς εὐσεβείας Eur. 736, 4. τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον τιμῶμεν Eur. 788, 2.

ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν ἔνδικος, τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον Eur. 1061, 3. πλέον (πλεῖον ll.) γὰρ οὐδὲν οἱ σοφοὶ τῶν μὴ σοφῶν εἰς ταὔτα γιγνώσκουσιν Aristarch. 1, 3 p. 728. καὶ τοῦ ποτοῦ προύτεινεν ὡς ἂν ἐν θέρει πλέον Sosith. 2, 15 p. 822. ἀεὶ δὲ τοῦ δοθέντος ἐνδεῖται πλέον Char. 1, 3 p. 826. τίς δ' ἔστ' ἀνάγκη δυστυχεῖν ἐν πλείοσιν Aesch. Alex. 1 p. 824. μηδ' ὡς κακὸς ναύκληρος - ζητῶν τὰ πλείον', εἶτα πάντ' ἀπώλεσεν Eur. 417, 4. αἰδὼς γὰρ ὀργῆς πλείον' ὠφελεῖ βροτούς Eur. 746. ἐμοὶ δὲ λῷστον αἷμα ταύρειον πιεῖν καὶ μή γε πλείω τῶνδ' ἔχειν δυσφημίας Soph. 663, 2. τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα Biot. 1, 2 p. 825. οὗτος τὰ πλείω τῶν κακῶν ἔχει κακά Char. 1, 5 p. 826.— τῶν γὰρ δυναστῶν πλεῖστος ἐν πόλει λόγος Eur. 94. πλεῖστος φόβος πρόσεστι μὴ δράσωσί τι Eur. 605, 4. ὡς ὁ πλεῖστος ἔσπαρται λόγος Eur. 846. πλείστη γὰρ ἀρετὴ τοῦθ' ὑπάρχον ἐν βίῳ Eur. 15, 3. (cf. πιστός.) σὺν ὄχλῳ δ' ἀμαθία πλεῖστον (al. πλέον et μεῖζον) κακόν Eur. 200, 4. ἐκεῖνο δ' οὐ ⟨τὸ⟩ πλεῖστον ἐν κοινῷ μέρος Eur. 360, 43. παίδευμα δ' Ἔρως σοφίας ἀρετῆς πλεῖστον ὑπάρχει Eur. 897, 2. ᾧ δ' ἄν - χρόνον συνοικῇ πλεῖστον, οὗτος εὐγενής Eur. 22, 5. ὅστις - πλεῖστον μισθὸν - λαβὼν κακὸς γένηται Eur. 297, 2. θαυμάζεται δ' ὁ πλεῖστον ἐν ναοῖς ἔχων χρυσόν Eur. 794, 2. τἀληθὲς ἀεὶ πλεῖστον ἰσχύει λόγου Soph. 869. νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος Eur. 183, 2. δεῦτ', ὦ τέκν', ὦ στερχθέντ' ὅσον πλεῖστον θέμις Pomp. 1 p. 831. τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα Eur. 1026. φήμ' ἐγὼ τυραννίδα κτείνειν τε πλείστους κτημάτων τ' ἀποστερεῖν Eur. 286, 6. χρῆν γὰρ τὸν εὐτυχοῦντ' ὅπως πλείστας ἔχειν γυναῖκας Eur. 402, 2. τὰ πλεῖστα φωρῶν αἰσχρὰ φωράσεις βροτῶν Soph. 769. πλεῖστα γὰρ σφάλλει βροτούς Eur. 31, 2. ὁ πλεῖστα πράσσων πλεῖστ' ἁμαρτάνει βροτῶν Eur. 576. ὃς δ' ἂν πλεῖστ' ἔχῃ σοφώτατος Eur. 580, 5.

πολυσπερής: πολυσπερὴς - καθ' Ἑλλάδα φήμη πλανᾶται Theod. 16 p. 806.

Πολύφημος — Aristiae 4 p. 727.

πολύφθορος: ἐμπολὰς μακρὰς ἀεὶ παραρρίπτοντες οἱ πολύφθοροι Soph. 511, 5.

Πολυφόντης — Eur. 451.

πολύχρυσος: (cf. βαθύσπορος.) Λυδῶν τῶν πολυχρύσων ἄναξ adesp. 322. δόμοι μὲν οἵδ' - οὐκ ἐν πολυχρύσοισιν ἠσκηνται χλιδαῖς Eur. 1132, 2.

πόμπιμος: προσαιθρίζουσα πόμπιμον φλόγα adesp. 260.

πονηρία: ἡ δὲ μωρία μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ Soph. 839, 2.

πονηρός: ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς Eur. 360, 12. ὦ δαῖμον ὅς μ' εἵλκυσας, ὡς πονηρὸς εἶ adesp. 17. λύπας - θεοὶ τοῖσιν διδοῦσιν οὓς ἂν ἐχθαίρωσ', ἐπεὶ οὔ σφιν πονηρόν ἐστιν adesp. 489, 3. βίου πονηροῦ θάνατος εὐκλεέστερος Aesch. 90. ζωῆς πονηρᾶς θάνατος

αἱρετώτερος Aesch. 401. εἶδον καὶ δίκης παραστάτας ἐσθλοὺς πονηρῷ τῷ φθόνῳ νικωμένους Eur. 295, 2. κακὸν - φειδοῖ πονηρᾷ μηδέν' εὖ ποιεῖν βροτῶν Eur. 407, 3. εἰ παραζεύξειέ τις χρηστῷ πονηρὸν λέκτρον Eur. 520, 2. οὐ γάρ τις οὕτω παῖδας εὖ παιδεύσεται, ὥστ' ἐκ πονηρῶν μὴ οὐ κακοὺς πεφυκέναι Eur. 1068, 2. φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις κέκτησο· τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ τῇ σῇ πονηροὺς (?) κλῄθρον εἰργέτω στέγης Eur. 362, 20. τοὺς πονηροὺς μήποτ' αὔξαν' ἐν πόλει Eur. 362, 28. ἥτις πονηρὰ τἄργ' ἔχουσ' ‹εἶτ'› εὖ λέγεις Eur. 528, 2. ὅστις - οἴεται - κακόν τι πράσσων τοὺς θεοὺς λελῆθέναι, δοκεῖ πονηρά Eur. 835, 3.

(πόνησις cf. ὄνησις.)

πόνος: πολὺς πόνος Aesch. 134, 2. πόνος γάρ - εὐκλείας πατήρ Eur. 474. εἰ κερκίδων μὲν ἀνδράσιν μέλοι πόνος Eur. 522. ἄνευ τύχης - πόνος μονωθεὶς οὐκέτ' ἀλγύνει βροτούς Eur. 668, 2. βίος γὰρ ὄνομ' ἔχει πόνος γεγώς Eur. 966. τὸν πέλας μὲν νουθετεῖν βραχὺς πόνος Mosch. 8, 2 p. 815. ἄπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος (πόθος ll.) adesp. 526. τῷ πονοῦντι δ' ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος Aesch. 315, 2. πόνου - ἄκρον οὐκ ἔχει χρόνον Aesch. 352. πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς Soph. 345. οὗτοι ποθ' ἥξει (?) τῶν ἄκρων ἄνευ πόνου Soph. 365. αὐτὸς παρ' αὐτοῦ μανθάνων ἄνευ πόνου Soph. 1019, 7. οὔτε γὰρ τυραννίδες χωρὶς πόνου γένοιντ' ἂν οὔτ' οἶκος μέγας Eur. 426, 3. πόνῳ πόνον ἐκ νυκτὸς ἀλλάσσουσα τὸν μεθ' ἡμέραν adesp. 7, 2. οὔπω τις Ἀκταίων' ἄθηρος ἡμέρα κενὸν πόνον πονοῦντ' (πόνου πλουτοῦντ' l.) ἔπεμψεν ἐς δόμους Aesch. 241, 2. ὑψηλὸν ἠβήσασα (?) τεκτόνων πόνον Aesch. 357. τάλαινα - ἣ πολὺν πόνον βραχεῖ διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι χρόνῳ Neophr. 2, 14 p. 731. πόνῳ πόνον ἐκ νυκτὸς ἀλλάσσουσα τὸν μεθ' ἡμέραν adesp. 7, 2. πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς Soph. 345. οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν Eur. 237, 3. ὦ πλοῦτε - πόνοι δὲ κἂν σοὶ καὶ φθοραὶ πολλαὶ βίου ἔνεισι Eur. 813, 2. οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν Eur. 1052, 7. τοῦ σώματος γὰρ εἵνεχ' οἱ πολλοὶ πόνοι adesp. 115. τῶνδε βούλευτις πόνων Aesch. 172. ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς δοὺς ἀντίδουλα καὶ πόνων ἐκδέκτορα Aesch. 194, 2. Αἰτναῖός ἐστι κάνθαρος βίᾳ πόνων (?) Aesch. 233. οἵ τε στεναγμοὶ τῶν πόνων ἐρείσματα Aesch. 385. κατθανεῖν δ' ὀφείλεται καὶ τῷ κατ' οἴκους ἐκτὸς ἡμένῳ πόνων Eur. 10, 2. ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων Eur. 133. εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων Eur. 134. γάλακτος κίσσινον φέρων σκύφος πόνων ἀναψυκτῆρα Eur. 146, 3. τὰς τύχας ἐκ τῶν πόνων θηρᾶν Eur. 233. ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς Eur. 364. εἰ δ' ἄτερ πόνων δοκεῖς ἔσεσθαι, μῶρος εἶ Eur. 392. τὸν δ' αὖ θανόντα καὶ πόνων (al. κακῶν) πεπαυμένον Eur. 449, 3. εἰ - μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν Eur. 821, 2.

παίζω· μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ Eur. 864. τοῖς δ' ἀτελέστοις τῶν τοῦδε πόνων μήτε συνείην χωρὶς τ' ἀγρίων ναίοιμι τρόπων Eur. 897, 7. εὐφημία γὰρ εὐκολώτατος πόνων Eur. 1087. ἀρετὴ - ἑαυτὴν ἄθλα τῶν πόνων ἔχει adesp. 116, 3. μηδεὶς φοβείσθω θάνατον ἀπόλυσιν πόνων adesp. 371. σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις Eur. 236. νέος, πόνοις δέ γ' οὐκ ἀγύμναστος φρένας Eur. 344. μὴ πρὶν πόνοις ὑπερβάλῃ με γῆρας Eur. 453, 4. ἄτρυτος ἐν πόνοις adesp. 163. (cf. v. l. Eur. 525, 2.) τρισὶ γοναῖσι τοὺς γυναικείους πόνους ἐκαρτέρησα Aesch. 99, 7. σπουδάζομεν δὲ πόλλ' ὑπ' ἐλπίδων, μάτην πόνους ἔχοντες Eur. 391, 3. ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους Eur. 573, 4. μακρὸς γὰρ αἰὼν μυρίους τίκτει πόνους Eur. 575, 3. τοὺς παρόντας οὐκ ἀπωθοῦμαι πόνους Eur. 789, 2. οὐκ ἀρκεῖ μίαν ψυχὴν ἀλύειν κἀπὶ τῇδ' ἔχειν πόνους Eur. 908, 8. παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν πόνους ὁρῶντας εἰς ὅσους φυτεύομεν adesp. 111, 3. cf. Aesch. 340.

πόντιος: πολὺς γὰρ ὅμιλος ποντίου κύκλου σοβῶν ἑνάλιος θεωρία Ach. 27 p. 753. ὥστ' οὐ παρόντα ποντίας ὑπὲρ πλακὸς τἀκεῖ - πάντ' ἐπίστασθαι Eur. 578, 4. ἄκανθα ποντίου βοσκήματος σήψει παλαιὸν δέρμα Aesch. 275, 3. ποντίῳ σάλῳ κάμνοντας adesp. 64. τί δ' ἦν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος adesp. 60. ὀχεῖα πόντια adesp. 251. πόντια ῥάχη adesp. 258. τράπεζα - πλήρης μὲν ὄψων ποντίων Eur. 467, 2. πατήρ - ἔγνωκεν ἄμφω ποντίους ἀφιέναι τὴν παῖδα καὶ τὸ τεχθέν Eur. 1132, 43.

ποντοναύτης: ἢ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν Soph. 511.

πόντος: οὔθ' ὅσα γαῖα φέρει τροφὸς οὔθ' ὅσα πόντος Theod. 18 p. 807. ἐπὶ γὰρ Ὀρφείαις μὲν ᾠδαῖς εἵπετο δένδρεα - σοὶ δὲ καὶ χθὼν πᾶσα καὶ πόντος adesp. 129, 9. δελφινοφόρον πεδίον πόντου διαμειψάμεναι Aesch. 150. ὃς οὐρανόν τ' ἔτευξε - πόντου τε χαροπὸν οἴδμα Soph. 1025, 3. ποικιλίᾳ πραπίδων δεινὰ μὲν φῦλα πόντου - δάμναται Eur. 27, 3. καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον Eur. 316, 2. ἀωρὶ πόντου κύματ' εὐρέος περᾷ Eur. 921. ὅταν δὲ πόντου πεδίον Αἰγαῖον δράμω Ion. 60 p. 744. πόντου πλάνητες Λευκοθέαν ἐπώνυμον adesp. 100. ὑπέρ τε πόντου χεῦμ' ὑπέρ τε Πλειάδα adesp. 157. ἐάν τι δέλτος ἐν πτυχαῖς πόντου πάθῃ adesp. 348. ὑπέρ τε πόντον πάντ' ἐπ' ἔσχατα χθονός Soph. 870. Ἔρως γὰρ - κἀπὶ πόντον ἔρχεται Eur. 431, 3.

πονῶ: ἔφυ μὲν οὐδεὶς ὅστις οὐ πονεῖ βροτῶν Eur. 757, 2. ἡ γλῶσσά τοι αὐτὴ μὲν οὐδέν, ἡνίκ' ἂν λέγῃ, πονεῖ adesp. 120, 2. γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους, μάτην πονοῦσιν Eur. 501, 2. τῷ πονοῦντι δ' ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος Aesch. 315. τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει Eur. 432, 2. οὔπω τις Ἀκταίων' ἄθηρος ἡμέρα κενὸν πόνον πονοῦντ' (πόνου πλουτοῦντ' l.) ἔπεμψεν ἐς δόμους

Aesch. 241, 2. οὐκ ἔστιν - σὺν ῥᾳθυμίᾳ τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν Philisc. 1, 2 p. 819. ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν Soph. 836. ἀλλὰ χρὴ πονεῖν Eur. 238, 2. φαῦλοι βροτῶν γὰρ τοῦ πονεῖν ἡσσώμενοι θανεῖν ἐρῶσιν Agath. 7 p. 765. οἱ - τρυφῆς ὑφ' ἡδοναῖσι σαχθέντες κέαρ πονεῖν θέλοντες οὐδὲ βαιά Diog. Sinop. 1, 3 p. 808. ἠπιστάμην ἂν μουσικὴν παρεὶς πονεῖν adesp. 546, 2. οὐκ ἔστιν - σὺν ῥᾳθυμίᾳ τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν Philisc. 1, 2 p. 819.

ποππύζω: ποππύζεται ζευγηλατρίς Soph. 794.

πορεύω: πτηνὸς πορεύσει Eur. 669, 4. ἄμισθος ὁ ξένος πορεύεται Soph. 745. ποῖ πορευθῶ adesp. 144.

Πορθάων: Οἰνεὺς δ' ἀνάσσει τῆσδε γῆς Αἰτωλίας, Πορθάονος παῖς Eur. 515, 4.

πορθμίς: ἔμβα, πορθμίδος ἕρμα adesp. 520.

πορθμός: ἀκύματος δὲ πορθμὸς ἐν φρίκῃ γελᾷ adesp. 336. πρὸς κρῆτα (?) πορθμὸν Ion. 18, 3 p. 735.

πορθῶ: φίλους τε πορθεῖν καὶ κατακτανεῖν χρεών Eur. 605, 3. αὐχεῖ δὲ Τρώων ἄστυ *πορθήσειν βίᾳ Aesch. 99, 19.

πορίζω: τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα Biot. 1, 2 p. 825.

πόριμος: μισῶ πολίτην - πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον Eur. 886, 3.

πόρνη: οὐξ ἀριστερᾶς δ' ὅδε πόρνης ὁ κλεινὸς ναός Pyth. 1, 3 p. 811.

πόρος: πολὺν οἰδματόεντα - πόρον Aesch. 69, 4. θοαῖσι μὲν ναυσὶ πόρον πνοαὶ κατὰ βένθος ἅλιον ἰθύνουσι Eur. 304, 2. οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν τίθησι καὶ τὸν ἄπορον εὑρίσκειν πόρον Aristarch. 2, 5 p. 728. γλώσσῃ διαψαίρουσα μυκτήρων πόρους (τόπους ll.) Eur. 926.

πόρρω: πόρρω δὲ λεύσσων, ἐγγύθεν δὲ πᾶς τυφλός Soph. 774, 3. φλὸξ ὑπερτέλλουσα γῆς καίει τὰ πόρρω Eur. 772, 2. πόρρω (al. πέλας) γὰρ ἐστὼς ὁ θεὸς ἐγγύθεν βλέπει adesp. 496, 2.

πορσύνω: ὅταν δ' ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακά, τὸν νοῦν ἔβλαψε πρῶτον adesp. 455. ζῴη τις - τὸ κατ' ἦμαρ ὅπως ἥδιστα πορσύνων Soph. 536, 2.

πορφύρα: κημοῖσι πλεκτοῖς πορφύρας φθείρει γένος Soph. 463.

πορφύρεος v. πορφυροῦς.

πορφυροῦς: βίος δὲ πορφυροῦς (?) θαλάσσιος οὐκ εὐτράπεζος Eur. 670. ἅλα πορφυρέην Eur. 882. λάμπει δ' ἐπὶ πορφυρέαις παρῇσι φῶς ἔρωτος Phryn. 13 p. 723.

Ποσειδῶν: Αἰγαίου Ποσειδῶ παῖς Aristiae 1 p. 726. Πόσειδον, ὃς Αἰγαίου μέδεις πρῶνας Soph. 342. cf. Soph. Ἀνδρομέδα. Soph. 596. Eur. 106. 107. Eur. Μελαν. ἡ σοφή. Choer. 1 p. 719.

Ποσίδειος: τοὺς Ποσιδείους .. θριγκοὺς ἀποσεισαμένη Soph. 465.

πόσις: εἰ γάρ σ' ἔμελλεν - κτείνειν πόσις, χρῆν καὶ σὲ μέλλειν Eur. 451. πόσις μοι πλησίον γαμηλίους μολπὰς ἀυτεῖ Eur. 781, 4. κἂν ἄμορ-

φος ἡ πόσις, χρὴ δοκεῖν εὔμορφον εἶναι Eur. 909, 4. κατηγορεῖ μὲν ἐν λόγοισί μου γυνή, πρὸς ὃν δ' εἴρηκε, τυγχάνει πόσις Theod. 10, 6 p. 805. ὅταν γὰρ ἄλοχον εἰς δόμους ἄγῃ πόσις, οὐχ ὡς δοκεῖ γυναῖκα λαμβάνει μόνον Theod. 13 p. 805. ἡ δὲ τῷ χρεὼν πόσει μένουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους Eur. 501, 2. ἔνθ' ἐμῷ κεῖται πόσει χρυσός Eur. 781, 9. γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει ἥδιστόν ἐστι Eur. 822. χρὴ γὰρ εὐναίῳ πόσει γυναῖκα κοινῇ τὰς τύχας φέρειν ἀεί Eur. 823. ἡδὺ δ', ἢν κακόν πάθῃ τι, συσκυθρωπάζειν πόσει ἄλοχον Eur. 909, 9. οὐδεμίαν ὤνησε κάλλος εἰς πόσιν ξυνάορον Eur. 909. γυναικὶ δ' ὄλβος, ἢν πόσιν στέργοντ' ἔχῃ Eur. 1062. δίκαιόν ἐστιν, ἥτις ἂν κτείνῃ πόσιν Theod. 5 p. 803.

πόσος: μέχρι πόσου τὴν τῆς τύχης - σὺ λήψῃ πεῖραν ἐν τῷμῷ βίῳ Eur. 953, 32.

ποταίνιος: τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποταινίους Soph. 153, 5.

ποτάμιος: σπασθεῖσα δ' ἐν λειμῶνι ποταμίων ποτῶν ἴδῃ σκιᾶς εἴδωλον Soph. 598, 5.

ποταμός: ποταμὸς Ἴναχος τὸν ἀντίπλαστον νόμον ἔχει κεκμηκότων Soph. 262. ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεών Aesch. 144. Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις Aesch. 168, 3. ἐπεὶ - ὕδωρ - ποταμοῦ σῶμα διεπεράσαμεν Chaer. 17, 2 p. 787. Λυδὰς Βακτρίας τε παρθένους ποταμῷ παροίκους Ἄλυϊ Diog. Ath. 1, 7 p. 777. πρόσω δὲ βάντι ποταμὸν Ἦλις ἡ Διὸς γείτων κάθηται Eur. 1083, 13. Σπερχειὲ ποταμὲ βούνομοί τ' ἐπιστροφαί Aesch. 249. ἄνω ποταμῶν Aesch. 335. δειναὶ δὲ ποταμῶν καὶ πυρὸς - πνοαί Eur. 1059, 2. ποταμοὺς πολυηλακάτους Aesch. 8.

ποτέ: τὰ πράγματα κρείσσω νομίζω τῶν λόγων ἀεί ποτε Eur. 206, 6. ἀεί ποτ' ⟨ἐστὶ⟩ σπέρμα κηρύκων λάλον Eur. 1012. Ὁρθάονος παῖς, ὃς ποτ' Ἀλθαίαν γαμεῖ Eur. 515, 4. Μελέαγρε, μελέαν γάρ ποτ' ἀγρεύεις ἄγραν Eur. 517. ὃδ' ἐστὶν ὃς ποτ' ἀμφ' ἐμοὶ βέλος γελωτοποιὸν - ἔρριψεν Aesch. 180. ἣν Ἰδυῖα πρίν ποτε - τίκτεν Soph. 503, 2. ἔγημεν ἀφθόγγους γάμους - Θέτιδι συμπλακείς ποτε Soph. 561. τίς δ' οἶκος - ὠλβίσθη ποτὲ γυναικὸς ἐσθλῆς χωρὶς ὀγκωθεὶς χλιδῇ Soph. 856. οἷος ἦν ποτε κἀγώ Eur. 285, 19. μηδ' ὡς - ναύκληρος εὖ πράξας ποτὲ ζητῶν τὰ πλείον', εἶτα πάντ' ἀπώλεσεν Eur. 417, 3. ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε, ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ Eur. 420, 4. Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν θύων ἀπαρχὰς Eur. 516. ὦ μοί ποτ' εἶφ' ὅτ' ἠνάσθη θεός Eur. 773. γάμων τέλος, τὸ δή ποτ' εὐχαῖς ἐγὼ λισσομένα προσέβαν ὑμέναιον ἀεῖσαι Eur. 773, 52. καίτοι ποτ' εἴ τιν' εἰσίδοιμι - τυφλὸν προηγητῆρος ἐξηρτημένον - ἑλοιδόρουν Eur. 816. Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών - ἦλθε Θηβαίαν χθόνα Eur. 819. ἦν οἱ τεκόντες τοῦτο γιγνώσκωσ' ὅτι νέοι ποτ' ἦσαν Eur. 951, 2. στρατός ποτ' εἰς γῆν τήνδ' ἐπεστρώφα Phryn. 5 p. 721. λέγουσι Δήμητρός ποτ'

ἄρρητον κόρην Πλούτωνα - ἁρπάσαι Carc. 5 p. 799. ἦν γάρ ποτ' αἰὼν κεῖνος, ἦν ποθ' ἡνίκα (ἦν ὁπηνίκα ll.) θηρσὶν διαίτας εἶχον ἐμφερεῖς βροτοί Mosch. 6, 3 p. 813. Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα adesp. 378. ἡμέρας ἡ νυκτὸς ἡ Δίκη ποτὲ τῷ δυσσεβοῦντι - ἐνήλατο adesp. 486, 3. δοκεῖς τὰ τῶν θεῶν ξυνετὰ νικήσειν ποτέ Eur. 255. κἀτά πως κείνη ποτὲ εὐνὴν κρυφαίαν γνοῦσα - ὑπόπτερον λέοντα τέξεται πατρί Eur. 1132, 13. ὡς εὐτυχήσων καὶ κακῶς πράξων ποτέ adesp. 546, 3. ἦν δ' ἔλθῃ ποτέ, ἀνιώμεθα Crat. 3, 3 p. 810. τίς δή ποτ' ὄλβον ἢ μέγαν θείη βροτῶν ἢ σμικρόν Soph. 102. καί μ' ἔρως ἔλοι ποτέ Eur. 331. ἐκ κείνων τῶν ποτε λαμπρῶν Eur. 153, 2. — δή ποτε Soph. 469. — μὴ ἐπὶ δουλείαν ποτὲ ζῶν ἑκὼν ἔλθῃς Eur. 245. μή μοί ποτ' εἴη χρημάτων νικωμένῳ κακῷ γενέσθαι Eur. 341. ὃ μὴ τύχοι ποτέ Eur. 525. μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτέ Eur. 626, 3. χρὴ δ' ὅσ' ἂν θεοὶ διδῶσι, φεύγειν μηδέν', ὦ τέκνον, ποτέ Soph. 879, 2. εἰ δ' ἀξιοῖς σοι μηδὲν ἀλγεινόν ποτε - ἔσεσθαι Dionys. 2 p. 793. μηδεὶς μηδέν' ὄλβιόν ποτε κρίνῃ Dionys. 3 p. 794. κοὐ μή ποθ' ἁλῶ κακὰ πράσσων Eur. 918, 5. λέγων τἀληθὲς οὐ σφαλῇ ποτε Soph. 529. λόγος γὰρ τοὔργον οὐ νικᾷ ποτε Eur. 97, 3. ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε Eur. 296. τούτου τὸ σοφὸν οὐκ αἰνῶ ποτε Eur. 583, 2. οὐκ ἄν ποτ' ἦλθες εἰς τόδε θράσους Eur. 1132, 65. οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει Soph. 102, 3. οὐ γάρ ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις, ἐν ᾗ Soph. 622. οὐ γάρ ποτ' εἴων Σθένελον εἰς τὸν εὐτυχῆ χωροῦντα τοῖχον τῆς δίκης ἀποστερεῖν Eur. 89. οὐ γάρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθεν δράσουσα adesp. 52. οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ δοῦναι χαλινούς Eur. 463. οὐ χρή ποτ' ἀνθρώπων μέγαν ὄλβον ἀποβλέψαι Soph. 535. οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας ἀνδρός Soph. 588. οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας γνώμας διώκειν Eur. 216. οὐ χρή ποτ' ὀρθαῖς ἐν τύχαις βεβηκότα ἔξειν τὸν αὐτὸν δαίμον' εἰς ἀεὶ δοκεῖν Eur. 1073. χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ χρή ποτε Soph. 840. ἀτὰρ σιωπᾶν τά γε δίκαι' οὐ χρή ποτε Eur. 1037. οὐ γὰρ ἔσθ' ὅπως σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε Soph. 236, 2. οὗτοι ποθ' ἥξει (?) τῶν ἄκρων ἄνευ πόνου Soph. 365. κάκιον ἄλλ' οὐκ ἔστιν οὐδ' ἔσται ποτὲ γυναικός Soph. 187, 2. ὃ μὴ γένοιτο, Ζεῦ φίλ', οὐδ' ἔσται ποτέ Eur. 953, 28. αἴσχη - οὐδ' ἂν εἰς φύγοι βροτῶν ποθ', ᾧ Soph. 619, 2. τὸ γὰρ κακὸν οὐδεὶς - χρηστὸν ἂν θείη ποτέ Eur. 810, 2. οὐδεὶς τοῦτό μ' ἂν πίθοι ποτέ Eur. 1067, 4. τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ λόγος δύναιτο Eur. 597, 2. οἷς οὔτε δαίμων οὔτε τις θεῶν νέμων πλούτου ποτ' ἂν νείμειεν ἀξίαν χάριν Soph. 511, 3. οὔτε γὰρ πλοῦτός ποτε βέβαιος ἄδικος Eur. 354, 2. — τίς ποτ' ἔσθ' ὁ μουσόμαντις Aesch. 60. τίς ποτ' ἐν δόμοις βοή Soph. 1014. τί ποτ' -

οὐ πλάθεις ἐπ' ἀρωγάν Aesch. 132. τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν μέρος ἐξέλαχον Eur. 115. τί ποτέ μ' ἐργάσῃ Eur. 700. τί ποτε τοῦτο ταῖτιον Eur. 776, 2. πόθεν ποτ' ἄλυπον ὧδε ἠῦρον ἄνθος ἀνίας Soph. 174. ποῖ ποτ' ἐξῆξας τάλας Neophr. 2, 3 p. 730. ποῦ καί ποτ' οἰκεῖ σώματος λαχὼν μέρος (?) Eur. 403, 3. — ποτὲ μὲν ὡς πῦρ φαίνεται, ποτὲ δ' ὕδωρ, ποτὲ γνόφος Aesch. 464, 3. 4. — cf. οὔποτε οὐδέποτε μήποτε.

πότερος: πότερα γυνή τις Αἰθίοψ φανήσεται Aesch. 329. πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν δίσκους ἔχοντες Eur. 282, 19. πότερα γενέσθαι δῆτα χρησιμώτερον συνετὸν ἄτολμον ἢ θρασύν τε κἀμαθῆ Eur. 552. πότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω ἢ σκλήρ' ἀληθῆ Eur. 1036. πότερα θεωροῖς εἶτ' ἀγωνισταῖς λέγεις Ach. 3 p. 747.

ποτί: μουσομανεῖ δ' ἐλάμφθην δακέτῳ ποτὶ δειράν Soph. 224.

ποτιμάστιος: ἐκ μὲν Ἐριχθονίου ποτιμάστιον ἔσχεθε κοῦρον Soph. 221.

πότμος: οὐμὸς δὲ *πότμος οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει Aesch. 159. οὐμὸς αἰεὶ πότμος ἐν πυκνῷ θεοῦ τροχῷ κυκλεῖται Soph. 787. Αἰγύπτου πότμος (γάμος et πόεμος ll.) adesp. 131. αὐτορέγμονος πότμου Aesch. 117. καινοῦ δαίμονος ἄρχει, καινοῦ πότμου adesp. 542, 2.

πότνα: ἴθι μοι, πότνα (πότνια ll.) πόλιν Eur. 453, 9.

πότνια: ἀείδομεν τὰν ἐρώτων πότνιαν - Ἀφροδίταν Eur. 781, 16. ὦ πότνι' αἰδώς Eur. 436. πότνια σοὶ τάδ' ἐγὼ νυμφεῖ' ἀείδω Eur. 781, 18. ὦ πότνι' Εἰλείθυια adesp. 58. πότνια σοφία, σύ μοι ἄνδανε adesp. 130. ἔξεστ' ἐρωτᾶν πότνιά σ' ἢ σιγὴν ἔχω adesp. 282. (cf. πότνα.)

Ποτνιάς: ἔνθα συμβολὰς τριῶν κελεύθων Ποτνιάδων ἠμείβομεν Aesch. 173, 3.

ποτόν: δείλη δὲ πᾶσα τέμνεται - ὁπώρα καλῶς κἀνακίρναται ποτόν Soph. 234, 8. καὶ τοῦ ποτοῦ προύτεινεν ὡς ἂν ἐν θέρει πλέον Sosith. 2, 14 p. 822. ἥτις - ἐν λειμῶνι ποταμίων ποτῶν ἴδῃ σκιᾶς εἴδωλον Soph. 598, 5. ἠπιστάμην ἄν - στέργειν θ' ὑδρηλοῖς ὥστε θὴρ ἀεὶ ποτοῖς adesp. 546, 6. πρὸς ναρὰ καὶ κρηναῖα χωροῦμεν ποτά Soph. 564.

ποτός: μόχθος ἰατροῖς μέγας τομαῖς ἀφαιρεῖν ἢ ποτοῖσι φαρμάκοις πασῶν μεγίστην - νόσων Eur. 403, 6.

πότος: ἀρδευτὰ δαψιλεῖ πότῳ Sosith. 2, 17 p. 822.

ποτῶμαι: ἐρῳδιὸς γὰρ ὑψόθεν ποτώμενος ὄνθῳ σε πλήξει Aesch. 275.

ποῦ: ποῦ δ' ἐστὶν Ἄργους ἱερόν, αὔδασον, ξύλον Aesch. 20. ποῦ μοι τὰ πολλὰ δῶρα κἀκροθίνια, ποῦ χρυσότευκτα κἀργυρᾶ σκυφώματα Aesch. 184, 1. 2. λεοντοβάμων ποῦ σκάφη χαλκήλατος Aesch. 225, 2. ποῦ δὴ τὸ σαφὲς θνατοῖσι βιοτᾶς Eur. 304. θετῶν δὲ παίδων ποῦ κράτος Eur. 359. ποῦ καί ποτ' οἰκεῖ σώματος λαχὼν μέρος Eur. 403, 3. καὶ ποῦ τοσαῦτα χρήματ' ἐστίν - ἃ μᾶλλον ἀνδρὸς εὐφρανεῖ παρόντα με Eur. 953, 22. ποῦ γὰρ τὰ σεμνὰ κεῖνα; ποῦ δὲ Λυδίας μέγας δυνάστης Κροῖσος adesp. 372.

που: λόγῳ γὰρ ἕλκος οὐδὲν οἶδά που (?) τυχεῖν Soph. 467. εἰ δέ που τύχοι πέριξ ἐλίξας εἶλκε . . ὁμοῦ λαβὼν γυναῖκα πέτραν δρῦν Eur. 221. δοκεῖς - τὴν Δίκην που μάκρ' ἀπῳκίσθαι βροτῶν Eur. 255, 2. ἡ Δίκη ἐνταῦθά ποὔστιν ἐγγύς Eur. 506, 8. οὐ σταλαγμὸν ἐξομόρξετε, εἴ πού τις ἔστιν αἵματος χαμαὶ πεσών Eur. 781, 7. — ἢ ποῦ κρεῖσσον τῆς εὐγενίας τὸ καλῶς πράσσειν Eur. 9. ἢ που τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν Eur. 135. ἤ που σφόδρα θυμοῖ Ach. 11, 2 p. 749. κόμας ἐκειράμεσθα - ἤ που ποθεινὸν χρῆμα Agath. 3, 2 p. 763.

πουλύπους: νόει πρὸς ἀνδρὶ χρῶμα πουλύπους ὅπως πέτρᾳ τραπέσθαι γνησίου φρονήματος Soph. 286. τὸν πετραῖον πλεκτάναις ἀναίμοσιν στυγῶ μεταλλακτῆρα πουλύπουν χροός Ion. 36, 2 p. 739.

πούς: καὶ χρόνου προύβαινε πούς Eur. 42. δράκων - ἐνῴκισεν δεινὴν † στομάτων ἔκφυσιν ποδὸς βλάβην Aesch. 252, 2. φαγέδαιν' ἀεί μου σάρκας ἐσθίει ποδός Aesch. 253. ῥυτῆρι κρούων γλουτὸν ὑπτίου ποδός Soph. 460, 2. παράρυμα ποδός Soph. 484. Θεστίου παῖδες τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδός Eur. 530, 7. φαγέδαιν' ἀεί μου σάρκα θοινᾶται ποδός Eur. 792. τρομὸν δράμημα γηραιοῦ ποδός Eur. 876. θανὼν μὲν οὖν Μαίανδρον ἐρρίφη ποδός Sosith. 3 p. 823. ἔλα δίωκε μή τι μαλκίων ποδί Aesch. 332. ἀποπλήκτῳ ποδὶ Soph. 227. ζῶντι ποδὶ χρώμενος Soph. 722. ἡ Δίκη - σῖγα καὶ βραδεῖ ποδὶ στείχουσα μάρψει τοὺς κακούς Eur. 979, 3. στρατὸς ποτ' εἰς γῆν τήνδ' ἐπεστρώφα ποδί (?) Phryn. 5 p. 721. λαιθάργῳ ποδί adesp. 227. ὄχθοις Ἀκεσταίοισιν ἐμβεβὼς πόδα Soph. 611. διὰ μέσου γὰρ αἰθέρος τέμνων κέλευθον πόδα τίθημ' ὑπόπτερον Eur. 124, 3. πάλιν ὑποστρέψας πόδα χωρεῖ δρομαίαν Eur. 495, 3. ⟨κοῦφον⟩ πόδ' ἄλλος ἄλλοσ' εἴχομεν φυγῇ Eur. 495, 33. κνεφάλλου δ' οὐχ ὑπερτείνεις πόδα Eur. 676, 2. ἔστρεψ' ἐκ δόμων ταχὺν πόδα Eur. 781, 43. ποῖ πόδα πτερόεντα καταστάσω Eur. 781, 61. ἤπειρον εἰς ἄπειρον ἐκβάλλων πόδα (al. χθόνα) Eur. 1010. ⟨λίθοισι⟩ γῆς ὀστοῖσιν ἐγχριμφθεὶς πόδα Choer. 2 p. 719. πρὸς σὲ πελάζω τὸν ὀπισθοβάτην πόδα γηροκομῶν adesp. 25, 2. λέγε δὲ σὺ κατὰ πόδα νεόχυτα μέλεα adesp. 136. ὦ πούς, ἀφήσω σε Aesch. 254. ἐκ ποδῶν δ' ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα Aesch. 169. νίπτρα - χρὴ θεοφόρων ποδῶν φέρειν Aesch. 225. οἴσει δὲ δῶρον - Πελίου μὲν ἆθλον, Κάστορος δ' ἔργον ποδῶν Ion. 1, 3 p. 732. θαλλούς τε θεῶν - τίθεμεν πρὸ ποδῶν τῶν σῶν Ach. 2, 3 p. 746. ἄδην δ' ἐλαίου στέρνα καὶ † ποδῶν κύτος χρίουσιν Ach. 4, 4 p. 747. τὸ δ' ἔγχος ἐν ποσὶν κυλίνδεται Soph. 713. ὀρείοις ποσί adesp. 244. τρόχιμα βάσιμα χέρεσι πόδεσι Soph. 219, 2. πηγαῖς δ' οὐχ ὑγραίνουσιν πόδας Eur. 367, 2. κρατὸς ἐξ ἄκρου δεινὸν καθεὶς *πρίον' εἰς ἄκρους πόδας adesp. 114, 3. κεχήλευμαι πόδας adesp. 220. — μικρὸν δὲ ποδὸς χαλάσαι μεγάλῃ κύματος ἀλκῇ adesp. 413.

πρᾶγμα: ἀδικώτατον πρᾶγμ' ἐστὶ τῶν πάντων φθόνος adesp. 532. τὸ γὰρ πρᾶγμ' αὐτό μοι καλῶς ἔχον καλοὺς παρασχεῖν τοὺς λόγους δυνήσεται adesp. 553. βοᾷς τοιοῦδε πράγματος θεωρὸς ὤν Aesch. 289. ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων ἀγῶνα θεῖτ' ἄν Eur. 189. πῶς δῆτα τλήσῃ πρᾶγμ' ὑπεξελεῖν τόδε Soph. 690, 2. ναός, ὃν δὴ Παλλίδης τεύξας κατέγνω διὰ τὸ πρᾶγμ' αὐτοῦ φυγήν Pyth. 1, 4 p. 811. δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον γνώμην προσάπτων τὴν ἐναντίαν μέθες Eur. 362, 9. τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία Chaer. 2 p. 782. ὡς πάντα πράγματ', ἢν καλὰς ἀρχὰς λάβῃ, καλῶς τελευτᾶν καὶ μεσοῦν φιλεῖ adesp. 433. εἰ τἄλλα κρίνειν ἐστὶν ἀνόητον γυνή, περὶ τῶν γ' ἑαυτῆς πραγμάτων ἴσως φρονεῖ Eur. 953, 12. παῖς ὢν φυλάσσου πραγμάτων αἰσχρῶν ἄπο Eur. 1027. ὅ τ' ὄλβος ἔξωθέν τίς ἐστι πραγμάτων (?) Eur. 1052, 4. τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών Eur. 287. τὰ πράγματα κρείσσω νομίζω τῶν λόγων Eur. 206, 5. οὐντυγχάνων τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς Eur. 287, 3. φεῦ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν φωνήν Eur. 439. πρὸς τὰς φύσεις χρὴ καὶ τὰ πράγματα σκοπεῖν Eur. 759. ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες Eur. 400.

πρᾶγος: ἄνασσα πράγους τοῦδε καὶ βουλεύματος Eur. 699.

Πραξιθέα — Eur. Ἐρεχθεύς.

πρᾶξις: μήτε πολιτῶν ἐπὶ πημοσύνην μήτ' εἰς ἀδίκους πράξεις ὁρμῶν Eur. 910, 4.

πραότης: οὐκ ἔστιν ἐπιτήδευμα χρησιμώτερον τῆς πραότητος adesp. 173, 2.

πραπίς: ποικιλίᾳ πραπίδων δεινὰ μὲν φῦλα πόντου - δάμναται Eur. 27, 2. πολλάκι μοι πραπίδων διῆλθε φροντίς Eur. 901.

† πρασίμοχθος: αἰεὶ πρασίμοχθοι κοὔποθ' ἥσυχοι δορί Eur. 998.

πρᾶσις: ὠνὴν ἔθου καὶ πρᾶσιν ὡς Φοῖνιξ ἀνήρ Soph. 823.

πράσσω: τοῦ θανόντος ἡ Δίκη πράσσει κότον Aesch. 266, 5. ὅστις δὲ πράσσει πολλὰ μὴ πράσσειν παρόν, μῶρος Eur. 193. οὐντυγχάνων τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς Eur. 287, 3. εἰ δέ τις πράσσει καλῶς κακὸς πεφυκώς, τὸν χρόνον κερδαινέτω Eur. 1131, 3. τὰ δεινὰ πράσσει, τὰς φρένας μετοικίσας Melanth. 1 p. 760. οἳ μὲν εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ σκληραὶ πάρεισιν Eur. 684, 2. νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορός Eur. 1109, 4. Ἀτθίδα χθόνα τίνες τύχαι κατέχουσιν ἢ πράττουσί τί Pyth. 1, 10 p. 811. ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς Eur. 644. ὅταν καλῶς πράσσῃ τις, ἐλπίζειν κακά adesp. 460, 2. ὅπως εἴη τι δεῖμα τοῖς κακοῖσι, κἂν λάθρᾳ πράσσωσιν ἢ λέγωσιν ἢ φρονῶσί ⟨τι⟩ Crit. 1, 15 p. 771. ὁ πλεῖστα πράσσων πλεῖσθ' ἁμαρτάνει βροτῶν Eur. 576. ὅστις δὲ θνητῶν οἴεται - κακόν τι πράσσων τοὺς θεοὺς λελῃθέναι, δοκεῖ πονηρά Eur. 835, 2. κοὐ μή ποθ' ἁλῶ κακὰ πράσσων Eur. 918, 5. ὅστις δὲ

τοῖς φίλοισι πάντα πρὸς χάριν πράσσων ὁμιλεῖ, τὴν παραυτίχ' ἡδονὴν ἔχθραν καθίστησι Crit. 3, 2 p. 774. αὐτόν ⟨τε⟩ πράσσων (πράττων ll.) εὖ τίθησιν εἰς μέσον adesp. 366. κακῶς τε πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου Eur. 409, 2. πατρὶς καλῶς πράσσουσα τὸν τυχόντ' ἀεὶ μείζω τίθησι Eur. 798. οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας ἀνδρός Soph. 588. ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι Soph. 667. τῷ γὰρ κακῶς πράσσοντι μυρία μία νύξ ἐστιν Soph. 401. οἷός ἐστι νῦν ὅδε, καλῶς κακῶς πράσσοντι συμπαραινέσαι Soph. 666, 3. τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς adesp. 318. οἴκοι μένειν χρὴ τὸν καλῶς εὐδαίμονα καὶ τὸν κακῶς πράσσοντα Aesch. 317, 2. ὦ πάντα πράσσων Soph. 142. κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί Aesch. 398. οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον, ἀλλ' οὐδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ Soph. 837. τοῖς κακῶς πράσσουσιν ἡδὺ - λαθέσθαι τῶν παρεστώτων κακῶν Soph. 375. τὰ γὰρ οὐκ ὀρθῶς πρασσόμεν' ὀρθῶς τοῖς πράσσουσιν κακὸν ἦλθεν Eur. 264, 2. ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσιν καλῶς καὶ τοῖσι δυστυχοῦσιν Eur. 443, 2. τοῖς γὰρ κακῶς πράσσουσιν οἱ σεμνοὶ λόγοι κόσμον μὲν ἂν δοίησαν adesp. 557. μὴ σκυθρωπὸς ἴσθ' ἄγαν πρὸς τοὺς κακῶς πράσσοντας Eur. 406, 2. τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον τιμῶμεν Eur. 788, 2. οὐκ ἔστι πράσσοντάς τι μοχθηρὸν λαθεῖν adesp. 510. δεινόν γε τοὺς μὲν δυσσεβεῖς - πράσσειν καλῶς Soph. 103, 2. (cf. τάσσω.) ἢ που κρεῖσσον τῆς εὐγενίας τὸ καλῶς πράσσειν Eur. 9, 2. ὅστις δὲ πράσσει πολλὰ μὴ πράσσειν παρόν, μῶρος Eur. 193. τἀπεσταλμένα *πράσσειν προθύμως Eur. 1132, 48. καὶ μὴν τὰ μέν γε τῇ τέχνῃ πράσσειν, τὰ δὲ ἡμῖν ἀνάγκῃ καὶ τύχῃ προσγίγνεται Agath. 8 p. 765. ἐπειδὴ τἀμφανῆ - οἱ νόμοι ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ Crit. 1, 10 p. 771. ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ adesp. 547, 5. τέκτων γὰρ ὢν ἔπρασσες (ἔπραττες ll.) οὐ ξυλουργικά Eur. 988. εἰ δ' εὐσεβὴς ὢν τοῖσι δυσσεβεστάτοις εἰς ταὔτ' ἔπρασσον, πῶς τάδ' ἂν καλῶς ἔχοι Eur. 832, 2. τἀμφανῆ μὲν οἱ νόμοι ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ, λάθρᾳ δ' ἔπρασσον Crit. 1, 11 p. 771. σὺ μὲν βίᾳ πράξεις ἃ βούλει Eur. 953, 43. ὡς εὐτυχήσων καὶ κακῶς πράξων ποτέ adesp. 546, 3. ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα, γενναίως ⟨δ'⟩ ἴσως ἔπραξας Eur. 97, 2. βίᾳ δ' ἔπραξας χάριτας ἣ πείσας κόρην adesp. 402. ὅταν κακοὶ πράξωσιν - καλῶς - ἔδρασαν πάντ' ἐφέντες ἡδονῇ Eur. 564. ὅταν δὲ πράξωσ' εὖ, διωθοῦνται χάριν Eur. 608, 2. ἀλλ' ἴθι χαίρων καὶ πράξειας κατὰ νοῦν τὸν ἐμόν Soph. 278. ὁ Τυδεὺς ἀνδρὸς αἷμα συγγενὲς πράξας (κτείνας ll.) ἐν Ἄργει ξεῖνος ὢν οἰκίζεται Soph. 731, 4. ὡς κακὸς ναύκληρος εὖ πράξας ποτὲ - εἶτα πάντ' ἀπώλεσεν Eur. 417, 3. ἥκω πεπραγὼς δεινά Ach. 44 p. 757. ἐλαφρὸν παραινεῖν ⟨τῷ⟩ κακῶς πεπραγότι adesp. 342. μικρὸν φρονεῖν χρὴ τὸν κακῶς πεπραγότα (πεπρα-

χότα ll.) Eur. 957. οὐ γὰρ οἱ κακῶς πεπραγότες - τοὺς λόγους ἀπώλεσαν Eur. 165. ὅθεν λαβόντες οἱ κακῶς πεπραγότες σωτηρίαν ἀπῆλθον ἐκ δυσπραξίας adesp. 481, 3. τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων οὐπώποθ' ὕβρισα Eur. 130. ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας λέγειν Eur. 81. δυστυχεῖν φὺς καὶ κακῶς πεπραγέναι (πεπραχέναι l.) adesp. 112. τὰ γὰρ οὐκ ὀρθῶς πρασσόμεν' ὀρθῶς τοῖς πράσσουσιν κακὸν ἦλθεν Eur. 264. πέπραχται πᾶν τὸ τοῦ θεοῦ καλῶς Soph. 1019. μόνου - καὶ θεὸς στερίσκεται, ἀγένητα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα Agath. 5, 2 p. 764. πῶς ἂν ἐξ ἀρχῆς δόμους Ἀθάμαντος οἰκήσαιμι τῶν πεπραγμένων δράσασα μηδέν Eur. 399, 2.

πράττω cf. πράσσω.

πραΰνω: ὀργήν τε πραΰνουσα καὶ δυσθυμίας ψυχὴν μεθιστᾶσα Eur. 822, 3. ὁρᾷς σὺ νῦν δή μ' ὡς ἐπράυνας, τύχη Eur. 535.

πρέμνον: πρέμνον ἑστίας adesp. 259.

πρεπόντως: γήρᾳ *πρεπόντως σῴζε τὴν εὐφημίαν Soph. 194.

πρέπω: μιξοβόαν πρέπει διθύραμβον ὁμαρτεῖν σύγκωμον Διονύσῳ Aesch. 355. ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα πρὸς τοὺς τεκόντας - πρέπει Soph. 61, 2. οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει Soph. 89. ὀξηρὸν ἄγγος οὐ μελισσοῦσθαι πρέπει Soph. 285. στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει σοφὸν κυβευτήν Soph. 861. θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φέρειν Eur. 79, 2. τοῖσι γενναίοισιν - πρέπει (?) χαρακτὴρ χρηστὸς εἰς εὐψυχίαν Eur. 329, 2. ἐπίσταμαι - ὁρᾶν δ' ἃ δεῖ με κοὐχ ὁρᾶν ἃ μὴ πρέπει (al. χρεών) Eur. 413, 3. οὐ πρέπει τύραννον - νεῖκος αἵρεσθαι κακοῖς Eur. 1050. ψευδῆ δὲ τοῖς ἐσθλοῖσιν οὐ πρέπει λέγειν Chaer. 27 p. 789. ἅπαντα τοῖς καλοῖσιν ἀνδράσιν πρέπει adesp. 133. οὗτοι πρέπει τὸ σχῆμα adesp. 381. ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ Eur. 292, 3. ἔμοιγ' εἴη τέκνα ⟨ἃ⟩ καὶ μάχοιτο καὶ μετ' ἀνδράσιν πρέποι Eur. 360, 26. σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων Soph. 592, 2. πόλεως μὲν ἀρχῷ, φωτὶ δ' οὐκ ἔτῃ πρέπων Eur. 1014. ἀπὸ τῶν θεῶν ἀρχὴν δὲ ποιεῖσθαι πρέπον Theod. 7 p. 804. ἀπολεῖς μ' ἐρωτῶν - ἐν οὐ πρέποντι τοῖς λόγοισι χρώμενος Agath. 13, 2 p. 766. ἐν πρέποντι χωρίῳ Crit. 1, 39 p. 772. δούλῳ γὰρ οὐχ οἷόν τε τἀληθῆ λέγειν, εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι Eur. 313, 2. πρέψαι Aesch. 439.

πρεσβεῖον: ἐμοὶ μὲν ὥρισεν πατὴρ ἀκτὰς ἀπελθεῖν τῆσδε γῆς .. πρεσβεῖα νείμας Soph. 872, 3. πρεσβεῖ' ἔχοντ⟨ας⟩ Eur. 495, 21.

πρεσβεύω: Ἴναχε - μέγα πρεσβεύων Ἄργους τε γύαις Ἥρας τε πάγοις Soph. 248, 2.

πρέσβυς: οὐδὲν πρεσβύτερον νομίζω τᾶς σωφροσύνας Eur. 959, 2. ἦλθεν δὲ δαὶς θάλεια πρεσβίστη θεῶν Soph. 548. Ἥλιε - θρῃξὶ πρέσβιστον σέλας Soph. 523.

πρεσβύτης: γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ Eur. 317, 4.

πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ Eur. 807. τοιόνδε μὲν Ζεὺς κλέμμα πρεσβύτου πατρὸς - ἤνυσεν λαβεῖν Aesch. 99, 2. μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ τέκνα Eur. 804.

πρευμενής: πρευμενὴς ἀλάστορος Aesch. 92. τίνος θεῶν βροτῶν τε πρευμενοῦς τυχών Eur. 1132, 9. Δήμητρος κόρη Ἥφαιστέ τ' ἔστε *πρευμενεῖς δόμοις ἐμοῖς Eur. 781, 60. ἕως ἐγείρω πρευμενεῖς τοὺς νυμφίους Aesch. 43, 2.

πρηστήρ: ὀμμάτων δ' ἄπο αἱμοσταγῆ πρηστῆρε (πρηστῆρες ll.) ῥεύσονται κάτω Eur. 384, 3.

Πριαμίδης: ὡς Πριαμίδαισιν ἐμφερὴς ὁ βουκόλος adesp. 286.

Πρίαμος: εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν Πριάμου Eur. 1109, 11. σοφὸς μὲν οὖν εἶ, Πρίαμ', ὅμως δέ σοι λέγω Eur. 48. cf. Soph. Τεῦκρος p. 256.

πρίασθαι: οὐδεὶς δ' ἐς οἴκους δεσπότας ἀμείνονας αὑτοῦ πρίασθαι βούλεται Eur. 689, 2. φίλον πρίασθαι χρημάτων πολλῶν σαφῆ Eur. 934, 2.

πρίν: Νηρηίδος - ἣν Ἰδυῖα πρίν ποτε - τίκτεν Soph. 503, 2. δέδοικα δὲ μὴ πρὶν πόνοις ὑπερβάλῃ με γῆρας Eur. 453, 4. ὃς γὰρ ἂν σφαλῇ εἰς ὀρθὸν ἔστη χὠ πρὶν εὐτυχῶν πίτνει Eur. 262, 3. γαῖα δ' ἡ πρὶν ἄσπορος ἤδη ζυγουλκοῖς βουσὶν ἠροτρεύετο Mosch. 6, 25 p. 814. πάσης Ἑλλάδος καὶ ξυμμάχων βίον διώκησ' ὄντα πρὶν πεφυρμένον adesp. 470, 2. ὅσπερ τὸν πρὶν ἔκτεινεν βαλών Eur. 495, 31. ὀκνῶν δὲ μόχθων τῶν πρὶν ἐκχέαι χάριν καὶ τοὺς παρόντας οὐκ ἀπωθοῦμαι πόνους Eur. 789. — ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν πλάστιγγ' ἐρείσῃ τοῦ βίου παλίντροπον Soph. 666, 4. Πελασγιώτας δ' ὠνομασμένους τὸ πρὶν Δαναοὺς καλεῖσθαι νόμον ἔθηκε Eur. 228, 7. ὅστις ἄτεκνος ὢν τὸ πρὶν παῖδας θυραίους εἰς δόμους ἐκτήσατο Eur. 491. ποιητὴν δ' ἄρα Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν Eur. 663, 2. — πρὶν ἄν σταλαγμοῖς αἵματος χοιροκτόνου αὐτός σε χράνῃ Ζεύς Aesch. 327. ὃδ' ἀνὴρ οὐ πρὶν ἂν φάγῃ καλῶς ὅμοια καὶ βοῦς ἐργάτης ἐργάζεται Soph. 138, 2. οὔποτε παραινέσαιμ' ἂν παισὶ προσθεῖναι κράτη πρὶν ἂν κατ' ὄσσων τυγχάνῃ - σκότος Eur. 806, 3. οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας ἀνδρός, πρὶν αὐτῷ - βίος διεκπεραθῇ Soph. 588, 2. μήπω μέγ' εἴπῃς, πρὶν τελευτήσαντ' ἴδῃς Soph. 601. μηδεὶς μηδέν' ὄλβιόν ποτε κρίνῃ, πρὶν αὐτὸν εὖ τελευτήσαντ' ἴδῃ Dionys. 3, 2 p. 794. — πρὶν τιν' αὐλιτῶν ὁρᾶν - εἶδον στρατόν Soph. 461. μὴ πρὶν πόνοις ὑπερβάλῃ με γῆρας, πρὶν σὰν χαρίεσσαν προσιδεῖν ὥραν Eur. 453, 6. πρὶν ἂν (?) ἐκφλῆναί με καὶ μαθεῖν λόγον Eur. 470. πρόσθε γὰρ κάτω γῆς εἶσιν ἄστρα - πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον Eur. 687, 4. πέραινε πρίν τινα συντυχίαν - γενέσθαι Eur. 791, 2. βούλευσαι καλῶς πρὶν (πρὶν ἢ l.) ἐξαμαρτεῖν Neophr. 2, 2 p. 730. πρὶν γὰρ φρονεῖν εὖ καταφρονεῖν ἐπίστασαι Chaer. 25 p. 789. καὶ πρὸς παθόντων - σοφὴ κέκλημαι, πρὶν παθεῖν δὲ μαίνομαι adesp. 414, 3.

πριστός: πριστοῖσι λόγχης θέλγεται ῥινήμασιν Eur. 724.

πρίω: δάφνην φαγὼν ὀδόντι πρῖε τὸ στόμα Soph. 811.

πρίων: οὐ σκέπαρνος οὐδὲ πρίονος πληγαί Soph. 729. οὔτ' ἂν καταίθων οὔτε κρατὸς ἐξ ἄκρου δεινὸν καθιεὶς πρίον' εἰς ἄκρους πόδας πύθοι' ἄν adesp. 114, 3.

πρό: πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα Aesch. 397. οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται Soph. 624, 2. Τυδεὺς - πρὸ Θηβῶν ὠμοβρὼς ἐδαίσατο τὸν Ἀστάκειον παῖδα διὰ κάρα τεμών Soph. 731, 5. μισῶ γυναῖκας αἵτινες πρὸ τοῦ καλοῦ ζῆν παῖδας εἵλοντο Eur. 360, 30. δώσω κόρην θῦσαι πρὸ γαίας Eur. 360, 39. ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς πρὸ δόμων - καὶ παῖς Φαέθων βαίνουσι Eur. 773, 59. ἀλλ' εἰσορῶ γὰρ - Ἀκρίσιον πρὸ δόμων στείχοντα Eur. 1132, 62. θαλλούς τε θεῶν - τίθεμεν πρὸ ποδῶν τῶν σῶν Ach. 2, 3 p. 746.

προάστιος: ὅρια κελεύθου τῆσδε γῆς προαστίας Soph. 654.

προβαίνω: καὶ χρόνου *προύβαινε πούς Eur. 42. φίλαι φίλαι πρόβατε Eur. 74, 2.

προβάλλω: στεφάνους ἑτοιμάζουσιν, οὓς εὐφημίας κήρυκας εὐχαὶ προυβάλοντο δαιμόνων Chaer. 11, 2 p. 785.

προβέβουλα: θάνατον δ' ὅ γε δουλοσύνας προβέβουλεν Ion. 53, 3 p. 743.

πρόβλημα: Τελαμὼν δὲ χρυσοῦν αἰετὸν πέλτης ἔπι πρόβλημμ θηρός Eur. 530, 2.

πρόγονος: Ἑρμᾶν μὲν πρόγονον τίομεν Aesch. 273. προγόνων παλαιὰ θέσμι' ὅστις ἐκβαλεῖ Eur. 360, 45.

προγυμνάζω: ἡδὺ ξανθῆσαι καὶ προγυμνάσαι χέρα Soph. 458.

προδίδωμι: οὐ μὴ προδώσεις, θυμέ, σαυτὸν ἐν κακοῖς Neophr. 2, 9 p. 731. οὐκ ἂν προδοίην καίπερ ἄψυχον φίλον Eur. 655.

πρόδομος: Ἑκάτη τῶν βασιλείων πρόδομος μελάθρων Aesch. 388, 2.

προηγητήρ: εἴ τιν' εἰσίδοιμ' ἀνὰ πτόλιν τυφλὸν *προηγητῆρος ἐξηρτημένον Eur. 816, 2.

προήκω: ἐξ οὗ γ' ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν κάλλει *προήκειν τῆς ἐμῆς εὐμορφίας Eur. 1109, 8.

(προθέω cf. ῥοθῶ.)

προθυμία: τὰς θνητῶν δ' ἐγὼ χαίρειν κελεύω θεῶν ἄτερ προθυμίας Eur. 1025, 3.

πρόθυμος: δοῦναι δὲ πᾶς τις μᾶλλον ὀλβίῳ κακῷ πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ Eur. 326, 7. χωρεῖ δρομαίαν, θῆρ' ἑλεῖν πρόθυμος ὤν Eur. 495, 4.

προθύμως: τἀπεσταλμένα πράσσειν προθύμως Eur. 1132, 48.

(προίημι v. προσίημι.)

προίξ: αὕτη γὰρ ἡ προὶξ οἰκίαν σῴζει μόνη Hippoth. 6, 3 p. 828. — παῖς δ' οὖν κακὸν μὲν δρᾶν τι προῖκ' ἐπίσταται Soph. 1019, 6.

προΐστημι: προστῆναι μέσην τράπεζαν Soph. 599.

Προιτίδες — Soph. 288.

Προῖτος — Eur. Σθενέβοια.

προκαλοῦμαι: ἡ δὲ προυκαλεῖτό με βαυβᾶν μεθ' αὑτῆς adesp. 165.

Πρόκνη: ἀλγεινά, Πρόκνη, δῆλον Soph. 526.

προλέγω: τὸ δ' ἐρᾶν προλέγω τοῖσι νέοισιν μήποτε φεύγειν Eur. 897, 9.

προλείπω: ἥκω ζαθέους ναοὺς προλιπών Eur. 472, 4. ἥκω περίκλυστον προλιποῦσ' Ἀκροκόρινθον Eur. 1084. καὶ Σιδῶνος προλιπόντα ναόν Phryn. 10 p. 723.

προμανθάνω: χρόνου πολλοῦ νόστον προμαθόντες adesp. 241, 2. τοῖς βουλομένοις ἄθλους προμαθεῖν πόθεν ἔβλαστον Eur. 912, 10.

προμαντεύομαι: ἣ πρῶτα μὲν τὰ θεῖα προυμαντεύσατο Eur. 482.

πρόμαντις: ὅσσαν, ἣν ἔχρησέ μοι Φοίβου πρόμαντις, συμβαλεῖν ἀμηχανῶ Neophr. 1, 3 p. 730.

Προμηθεύς: δεσμῶν ἄριστος ἐκ Προμηθέως λόγου Aesch. 235, 2. εἴτ' οὖν μέριμναν τὴν Προμηθέως πάρα - εἴτε τῇ μακρᾷ τριβῇ αὐτὴν παρασχὼν τὴν φύσιν διδάσκαλον Mosch. 6, 20 p. 814. ὑμεῖς μὲν οὐκ ἄρ' ἦστε τὸν Προμηθέα Soph. 316. τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ, δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι Aesch. 190, 2. cf. Soph. Κωφοί.

προμηθία: προμηθία γὰρ κέρδος ἀνθρώποις μέγα Soph. 864, 3. σωτηρίας - φάρμακ' οὐχὶ παντα χοῦ βλέψαι πάρεστιν, ἐν δὲ τῇ προμηθίᾳ Soph. 281, 2.

πρόνοια: φθείρει γὰρ ἡ πρόνοια τὴν ἀβουλίαν adesp. 484. θείᾳ προνοίᾳ πάντ' ἐγέννησεν φύσις adesp. 478.

πρόξενος: κακός τίς ἐστι προξένῳ σοὶ χρώμενος Eur. 721.

προξενῶ: ἐπροξένει Eur. 1104.

πρόπας: ἑξὸν προπάντων μίαν ὑπερδοῦναι θανεῖν Eur. 360, 18.

προπηδῶ: φθάσαντος δ' ἐπ' ἔργοις προπηδήσεταί νιν (?) Aesch. 23, 2.

προπίνω: λεύσσεις - μόχθους, οὓς ⟨προπεπωκὼς⟩ εἴσω κλισίας ⟨θάσσεις⟩ Aesch. 131, 3.

πρόποδα (?): πρόποδα (al. πρόσωδα) μέλεα τάδ' ὅσα κλαίομεν Soph. 219.

πρόρριζος: εἰ μὴ - ὄψομαι πόλιν Πριάμου βίᾳ πρόρριζον ἐκτετριμμένην Eur. 1109, 11.

πρός: κακὸν τὸ κεύθειν κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς Soph. 76. πρὸς ἀνδρὸς ἐσθλοῦ πάντα γενναίως φέρειν Soph. 296. σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους Eur. 28. τὴν δ' εὐγένειαν πρὸς θεῶν μή μοι λέγε Eur. 22. πρὸς θεῶν δρᾶτε μηδαμῶς τάδε⟩ Eur. 495, 17. μή με, πρὸς τῆς ἑστίας, ἀποστερήσῃς ἀνδρός Eur. 953, 39. φίλων - χρῆσις ἡ πρὸς αἵματος μόνη - ὠφελεῖν φιλεῖ adesp. 384. πρὸς τῶν ὁμοίων πόλεμον αἴρονται μέγαν Eur. 50, 2. διακρινόμενον δ' ἄλλο πρὸς ἄλλου μορφὴν ἑτέραν ἀπέδειξεν Eur. 839, 13. ἡ παῖς νοσεῖ σου κἀπικινδύνως ἔχει. ⟨ΛΥΚ.⟩ πρὸς τοῦ; τίς αὐτὴν πημονὴ δαμάζεται Eur. 682, 2. σπουδὴ - ἐγκεκρυμμένη οὐ πρὸς θυραίων οὐδαμῶς ἀκουσίμη Soph. 679. πρὸς οὐ δέδοικα, μή τι - ὑπέρτατον δράσῃ τε καὶ πάθῃ κακόν Aesch. 99, 20. κακῶς σὺ πρὸς θεῶν ὀλουμένη Soph. 697. ὅταν οἵ τ' ἀγαθοὶ πρὸς τῶν ἀγενῶν

κατανικῶνται Soph. 81, 2. πρὸς τοῦ παρόντος ἡμέρου νικωμένη Soph. 846, 4. πρὸς τοῦ παρόντος ἡμέρου νικώμενος Eur. 1132, 19. πρὸς φίλων νικώμενοι Eur. 220, 3. πρὸς τέκνων νικώμενον Eur. 806, 4. σιγᾶν κλύοντα δεινὰ πρὸς κακιόνων Eur. 334, 5. ψυχὴν ἐμὴν ὁρῶσα - παρημελημένην πρὸς ὧν ἐχρῆν ἥκιστα Neophr. 2, 7 p. 731. ἠλίσκετ' ἄρα καὶ πρὸς ἀσθενῶν ταχὺς καὶ πρὸς χελώνης αἰετός Ach. 34, 1. 2 p. 755. πρὸς παθόντων κἀν κακοῖσι κειμένων σοφὴ κέκλημαι adesp. 414, 2.—μὴ πάντα παιδὸς ἐκχέω πρὸς αἵματι Aesch. 99, 23. μηδ' αἵματος πέμφιγα πρὸς πέδῳ βάλῃς Aesch. 183. ἀθλίαν φάβα, μέσακτα πλευρὰ πρὸς πτύοις πεπλεγμένην Aesch. 210, 2. νόει πρὸς ἀνδρὶ χρῶμα πουλύπους ὅπως πέτρᾳ τραπέσθαι γνησίου φρονήματος Soph. 286. πρὸς πέτραις Ἐλυμνίαις Soph. 802. τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς πηδῶν ἀθύροι Eur. 323. Θρηίκιον πέλταν πρὸς Ἀθάνας - ἀγκρεμάσας θαλάμοις Eur. 369, 4. πρὸς μὲν δώμασιν τυραννικοῖς Eur. 601. καὶ πρὸς κακοῖσι τοῦτο δὴ μέγας γέλως Eur. 1063, 15. γήρᾳ δὲ πρὸς αὐτῷ μορφῇ καὶ μεγέθει μείζων Theod. 18, 4 p. 807. — τὸν ἐν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν Soph. 513, 5. οὐμὸς δ' ἀλέκτωρ αὐτὸν ἦγε πρὸς μύλην Soph. 767. ἐγὼ γὰρ ὅστις μὴ δίκαιος ὢν ἀνὴρ βωμὸν προσίζει - πρὸς τὴν δίκην ἄγοιμ' ἄν Eur. 1049, 3. ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην adesp. 498. ἐὰν ἴδῃς πρὸς ὕψος ἠρμένον τινά Eur. 1040. πρὸς λέκτρον ᾖει Soph. 1026, 8. πλοῦτος δὲ πρὸς μὲν τὰς ὅλας τιμὰς (?) ἰὼν οὐκ ἔσχεν ὄγκον Chaer. 36 p. 790. δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα καὶ πρὸς τὰ βατά Soph. 85, 7. Κύκνου - πρὸς δόμους ἐλήλυμεν Ach. 24 p. 752. τοιοῦδε φωτὸς πρὸς δόμους ἐλήλυτε Ach. 43 p. 757. ἦλθεν δὲ λαοὶ μυρίοι πρὸς ἠόνα adesp. 191. πρὸς μάντιν οὐδεὶς εὐτυχὴς ἀπέρχεται adesp. 439. πρὸς τελευτὴν ἔρχεται τὰ τοῦ χρόνου Theod. 12, 2 p. 805. ὅστις δὲ τόλμῃ πρὸς τὸ δεινὸν ἔρχεται Soph. 325. βορεάδας ἧξεις πρὸς πνοάς Aesch. 195, 2. πρὸς δ' οἷον ἧξεις δαίμονα Soph. 703. οὐδ' ἂν πρὸς αὐλὰς Ζηνὸς ἐκφύγοι μολών Soph. 865, 4. Περσεὺς πρὸς Ἄργος ναυστολῶν Eur. 123. πρὸς ἵππων - ὁρμήσας στάσιν Eur. 442. πρὸς σὲ πελάζω adesp. 25. πρὸς ναρὰ καὶ κρηναῖα χωροῦμεν ποτά Soph. 564. πρόσω πρὸς αὐτὸν πάλιν ὑποστρέψας πόδα χωρεῖ δρομαίαν Eur. 495, 3. ἡμῶν δ' ἐχώρει κωφὰ πρὸς γαῖαν βέλη Eur. 495, 27. ὠθούμεθ' ἔξω καὶ διεμπολώμεθα θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο, αἳ μὲν ξένους πρὸς ἄνδρας, αἳ δὲ βαρβάρους Soph. 524, 9. οὗτοι προσελθοῦσ' ἡ Δίκη σε - παίσει πρὸς ἧπαρ Eur. 979, 2. πρὸς θῆλυ νεύει μᾶλλον ἢ ἐπὶ τἄρσενα adesp. 355. χρὴ τοὺς σοφοὺς ἀναστρέφειν (ἀνατρέφειν l.) βουλεύματ' ἀεὶ πρὸς τὸ χρησιμώτερον Eur. 490, 2. πρὸς τίνας στρεφθῶ λόγους Eur. 139. ἀκριβὲς οἰάκισμα πρὸς σταθμὸν βίου adesp. 287. παραινῶ - μὴ πρὸς τὸ γῆρας ἀναβολὰς ποιουμένους σχολῇ τεκνοῦσθαι παῖδας Eur. 317, 2. εἰ μὲν πρὸς αὐγὰς ἡλίου,

χρυσωπὸν ἠν νώτισμα θηρός· εἰ δὲ πρὸς νέφη βάλοι, κυανωπὸν - ἀντηύγει σέλας adesp. 541, 1. 2. Αἴγινα - πρὸς νότου κεῖται πνοάς Aesch. 404. τῆς δὲ γῆς τὸ πρὸς νότον - εἵληχε Πάλλας Soph. 872, 6. ὑμνεῖτο - κλῶνα πρὸς καλὸν δάφνης ὁ Φοῖβος adesp. 418, 5. κακὸν γυναῖκα πρὸς νέαν ζεῦξαι νέον Eur. 24. κακὸν γυναῖκα πρὸς νέον ζεῦξαι νέαν Eur. 914. δύοιν παρόντοιν πραγμάτοιν πρὸς θάτερον γνώμην προσάπτων τὴν ἐναντίαν μέθες Eur. 362, 9. ἐγὼ δὲ πεινῶσ' αὖ πρὸς ἵτρια βλέπω Soph. 189. ὅμμα γὰρ πυρὸς γέμεις ταῦρος λέοντος ὡς βλέπων πρὸς ἐμβολήν Eur. 689, 4. πρὸς αἰθέρ' ἐξαμίλλησαι κόρας Eur. 764. πρὸς τὴν νόσον - τὸν ἰατρὸν χρεὼν ἰδόντ' ἀκεῖσθαι Eur. 292. πρὸς τὰς φύσεις χρὴ καὶ τὰ πράγματα σκοπεῖν καὶ τὰς διαίτας τῶν κακῶν τε κἀγαθῶν Eur. 759. πρὸς τὰς διαίτας τῶν ἐνοικούντων πόλιν τὴν γῆν ἰδόντας τὰς νόσους σκοπεῖν χρεών Eur. 917, 2. πρὸς ἄνδρ' εἰπὼν ἕνα Eur. 411, 3. ὅταν - λόγους γάμων πέρι λέξῃ πρὸς ἡμᾶς Eur. 773, 17. πρὸς χορὸν γὰρ οἰκείων ἐρεῖς Eur. 940. πρὸς ὃν δ' εἴρηκε, τυγχάνει πόσις Theod. 10, 6 p. 805. οὔτ' εἶπον οὐδὲν πρὸς ‹σὲ› κῦρον adesp. 226. ῥῆσις βραχεῖα - πρὸς τοὺς τεκόντας καὶ φυτεύσαντας πρέπει Soph. 61, 2. ὅπως - μάρτυρες ἀρετῆς γένωνται Μελεάγρῳ πρὸς Ἑλλάδα Antiph. 2, 2 p. 792. ταὐτὸ πρὸς τύμβον τε κλαίειν καὶ πρὸς ἄνδρα νήπιον adesp. 440. οὐδεὶς ἐχθρὸς οὔτε φύεται πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν Soph. 85, 5. πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται Soph. 235. οὐ χρὴ μάχεσθαι πρὸς τὸ θεῖον Eur. 491, 5. μὴ πρὸς λέοντα δορκὰς ἄψωμαι μάχης adesp. 135. πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου Eur. 604. πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται adesp. 547, 12. μὴ σκυθρωπὸς ἴσθ' ἄγαν πρὸς τοὺς κακῶς πράσσοντας Eur. 406, 2. ὅστις πατὴρ πρὸς παῖδας ἐκβαίνει πικρός Eur. 952. πρὸς υἱὸν ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ Chaer. 35 p. 790. θάρσος δὲ πρὸς τὰς συμφορὰς μέγα σθένει Eur. 302. πρὸς τὴν ἀνάγκην πάντα τἄλλ' ἔστ' ἀσθενῆ Eur. 299. κἄστι πρὸς τὰ χρήματα θνητοῖσι τἄλλα δεύτερα Soph. 328, 4. οὐδὲν ηὐγένεια πρὸς τὰ χρήματα Eur. 95. ἐγὼ δὲ ῥᾳδίως μισήσομαι πρὸς κέρδος ἕλκων τὴν ἐμὴν ἀτιμίαν adesp. 401, 2. πρὸς ἄσπερ οἱ μαργῶντες ἐντονώτατα Soph. 758. οὗτος σοφὸς πέφυκε πρὸς τὸ συμφέρον Eur. 634, 2. σοφόν γέ τοί τι πρὸς τὸ βουλεύειν ἔχει τὸ γῆρας Antiph. 3 p. 793. ἄλλη πρὸς ἄλλο γαῖα χρησιμωτέρα Eur. 742. ὅ τοι θρασὺς πρὸς ἔργον ἐκ πολλοῦ κακός adesp. 449. τὸ δοῦλον ὡς ἁπανταχῇ γένος πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός Eur. 218, 2. ὁρῶ δὲ πρὸς τὰ παρθένου θοινάματα κῆτος θοάζον Eur. 145. πρὸς οἷον ἔργον ἐξοπλιζόμεσθα Neophr. 2, 13 p. 731. οὐδεὶς παρανομῶν πρὸς θεοὺς ἐχέγγυος adesp. 494. καὶ πρὸς τί ταῦτα δύρομαι Neophr. 2, 5 p. 731. νῦν σοι πρὸς ὄψιν θυμὸς ἡβάτω Sosiph. 2 p. 820. κοὐκ οἶδ' ὅτι χρὴ πρὸς ταῦτα λέγειν

Soph. 81. πρὸς ταῦτα κρύπτε μηδέν Soph. 280. πρὸς ταῦθ' ὅτι χρὴ καὶ παλαμάσθων καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθων Eur. 918. τὸ πρὸς βίαν πίνειν ἴσον πέφυκε τῷ διψῆν κακόν Soph. 669. ἥκω δὲ δεῦρο πρὸς βίαν Εὐρυσθέως Eur. 591, 5. πᾶν πρὸς ἡδονὴν λέγει Soph. 60, 2. τοιαῦτά τοί σοι πρὸς χάριν τε κοὐ βίᾳ λέγω Soph. 25. τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ τῇ σῇ πονηροὺς (?) κλῄθρον εἰργέτω στέγης Eur. 362, 19. ἂν τῷ ξυνόντι πρὸς χάριν μέλλῃ τελεῖν Eur. 909, 8. ὅστις δὲ τοῖς φίλοισι πάντα πρὸς χάριν πράσσων ὁμιλεῖ Crit. 3 p. 774. ἡ βαιὰ κύλιξ αὐτοῖς κυκλεῖται πρὸς μέτρον Lycophr. 3, 2 p. 818.— ὅστις δὲ πρὸς τὸ πῖπτον (?) εὐλόφως φέρει Eur. 175. πρὸς κρῆτα πορθμόν (?) Ion. 18, 3 p. 735. ἐργάζεται δ' ἐλαφρὰ πρὸς τὰ σιτία (?) Sosith. 2, 9 p. 822. μὴ μουσοποίει πρὸς τὸ νηπιώτερον (?) adesp. 496.

προσάγω: Λυδία λίθος σίδηρον τηλόθεν προσηγάγου Soph. 732.

προσαιθρίζω: προσαιθρίζουσα πόμπιμον φλόγα adesp. 260.

προσαιτῶ: οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν Eur. 322, 4.

προσαμπέχω: ἄλλη δ' ἐγύμνου - ὠλένας ἄλλης προσαμπέχουσα θῆλυν αὐχένα Chaer. 14, 8 p. 786.

προσάπτω: ὅστις - μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον Soph. 530, 4. δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον γνώμην προσάπτων τὴν ἐναντίαν μέθες Eur. 362, 10. καί μοι - ἀγχοῦ προσῆψεν Ἔλατος Soph. 349, 2.

προσαρκῶ: οὐ γάρ τις ἂν δύναιτο πρῳράτης στρατοῦ τοῖς πᾶσιν - προσαρκέσαι χάριν Soph. 481, 2.

προσαυδῶ: προσαυδῶ σὲ - ἔασον Ἀχοῖ με - γόου κόρον λαβεῖν Eur. 118.

προσαυρίζω: νοτὶς προσαυρίζουσα χερσαίᾳ τροχῇ adesp. 261.

προσβαίνω: λισσομένα προσέβαν ὑμέναιον ἀείσαι Eur. 773, 53. ἄφνω δ' ἄφαντος προσέβα - Ἀιδας adesp. 127, 8.

προσβάλλω: ἡ γλῶσσά τοι αὐτὴ μὲν οὐδὲν - πονεῖ, ὅταν δ' ἁμάρτῃ, πολλὰ προσβάλλει κακά adesp. 120, 3. *προσβαλλέτω τις χεῖρα φασγάνου λαβῇ Ach. 37, 2 p. 755. Διὸς ἀπωτάτω κεῖται πολὺς θησαυρὸς ὅτῳ προσέβαλε (?) adesp. 130, 6. μή σε προσβάλῃ στόμα πέμφιξ Aesch. 206. οὔτ' ἄν - πύθοι' ἄν, οὐδ' εἰ δεινὰ πάντα προσβάλοις adesp. 114, 4. δαιτὸς δὲ πληρωθείς τις ἄσμενος πάλιν φαύλῃ διαίτῃ προσβαλὼν ἤσθη στόμα Eur. 213, 4. οὔ σοι παραινῶ - σαυτῇ προσβαλεῖν ἀλάστορα Eur. 874, 2. ἀργυρηλάτοις κέρασι χρυσᾶ στόμια προσβεβλημένοις Aesch. 185.

προσβλέπω: καρυκοποιοὺς προσβλέπων βδελύσσομαι Ach. 12 p. 749. τόλμα δὲ προσβλέπειν με Eur. 716, 2. γραπτούς ‹τ' ἐν αἰετ›οῖσι *πρόσβλεψον τύπους Eur. 764, 2.

προσβολή: βαρεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ μόλις δι' ὠτὸς ἔρχεται τρυπωμένου Soph. 774.

προσγίγνομαι: τὰ μέν γε τῇ τέχνῃ πράσσειν, τὰ δὲ ἡμῖν ἀνάγκῃ καὶ τύχῃ προσγίγνεται Agath. 8, 2 p. 765.

προσδέρκομαι: ἃς οὔτε πέμφιξ

ἡλίου προσδέρκεται οὔτ' - ὄμμα Λητῴας κόρης Aesch. 170.

προσδέω: συνέλεγον τὰ ξύλ', ὡς ἐκκαυμάτων μή μοι μεταξὺ προσδεήσειεν Soph. 205, 2.

προσδοκῶ: ἐὰν ἴδῃς - τινὰ λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον - τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα Eur. 1040, 4. ἐκ τῶν ἀέλπτων ἡ χαρὰ μείζων βροτοῖς φανεῖσα - ἢ τὸ προσδοκώμενον Eur. 550, 2. ἔστιν οὐχ ὁρώμενον τοῖς ζῶσιν ἡμῖν οὐδὲ προσδοκώμενον δαιμόνιον adesp. 492, 2.

πρόσειμι: φόβος πρόσεστι μὴ δράσωσί τι Eur. 605, 4. πρόσεστιν ἀεὶ τῷ πένητ' ἀπιστία adesp. 119. τρισσῶν δὲ μοιρῶν ἐγκρινῶ νικᾶν μίαν πλούτῳ τε χὤτῳ σπέρμα γενναῖον προσῇ πενίας τε Eur. 285, 4. ὅπου προσῇ τὸ κάλλος, ἀμφιδέξιος adesp. 355, 2. ὅτῳ δ' ἔρωτος δῆγμα παιδικοῦ προσῇν Soph. 757.

πρόσειμι: πῶς οὖν πρόσειμι δῶμα θερμὸν Ἡλίου Eur. 773, 5. δμωσὶν γὰρ ἀνάκτων εὐαμερίαι προσιοῦσαι μολπᾶν θράσος αἴρουσ' ἐπὶ χάρματα Eur. 773, 47.

προσεῖπον: τίς ἂν προσειπεῖν ἀξιώσειεν λάτριν Theod. 3, 2 p. 802.

προσεμφερής: τὸ λοίσθιον δὲ τῷ τρίτῳ προσεμφερές Eur. 382, 13. Σκυθικῷ τε τόξῳ ⟨τὸ⟩ τρίτον ἦν προσεμφερές Agath. 4, 3 p. 764. τρίτον δ' ἑλικτῷ βοστρύχῳ προσεμφερές Theod. 6, 4 p. 803. ἄγαλμα θεῖον καὶ θεῷ προσεμφερές adesp. 117.

προσέρχομαι: προσῆλθε μητρὶ καὶ φυταλμίῳ πατρί Soph. 720. οὔτοι προσελθοῦσ' ἡ Δίκη σε - παίσει Eur. 979. θεᾶς προσελθεῖν τέμενος ἐξ ἐμῶν δόμων Eur. 781, 42.

προσέχω: ὡς ἔστι δαίμων - προσέχων τε ταῦτα καὶ φύσιν θείαν φορῶν Crit. 1, 19 p. 771.

προσήγορος: πόλις δὲ Μυσῶν Μυσία προσήγορος Soph. 377, 2. ἅπας δὲ χεῖρα καὶ προσήγορον φάτιν ὤρεξε Mosch. 9, 8 p. 816.

προσήκω: οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν ἀθάνατον Eur. 799, 2. οὐκ ἐμὲ προσήκει λαμβάνειν τούτων δίκην Eur. 953, 7. οὐδ' ἂν ἀναγκασθείς τις εὖ δράσῃ τινά, προσῆκον οἶμαι τῷδ' ὀφείλεσθαι χάριν adesp. 80, 4. ποθεῖ πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλους Eur. 834, 3.

προσηνής: οὐ τῆς ἐμῆς ἔκατι καρδίας φέρεις λόγους προσηνεῖς Serap. 1, 2 p. 831.

πρόσθε et πρόσθεν: ὁ πρόσθεν ἐλθὼν ἦν ἀραῖός μοι νέκυς Soph. 367. κἄπειτα σώσει πάνθ' ἃ πρόσθ' ἀπώλεσεν Soph. 1027, 9. οἳ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν, δόξαν φέρονται Eur. 326, 3. ἦλθε γὰρ ἡ πρόσθ' ἢ μετόπισθεν τῆς εὐσεβίας χάρις Eur. 446, 5. πρόσθε γὰρ κάτω γῆς εἶσιν ἄστρα - πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον Eur. 687, 2. ὕδωρ δὲ νίψαι χεῖρας οὐ πρόσθεν δίδως Ach. 17, 4 p. 750. ἕκτον δ' ὅπερ καὶ πρόσθεν εἶφ' ὁ βόστρυχος Theod. 6, 8 p. 803. σὺν αἴσι δόξῃ πρόσθε καὶ γένει μέγας Ἄργους δυνάστης - ἔστειχεν Mosch. 9 p. 816. — πέφυκε - παισὶ πολέμιον γυνὴ τοῖς πρόσθεν Eur. 4, 2. μηδ' ἐν ὀφθαλμοῖς ἐᾶν τῆς πρόσθε θοίνης μνημό-

νευμα δυσσεβοῦς Mosch. 6, 33 p. 814. τἀξίωμα γὰρ νοσοῦν τὸ πρόσθε πολλοῖς οἴκτων ἐμποεῖ βροτῶν Mosch. 9, 11 p. 816. — τἀπιεικῆ πρόσθεν ἡγοῦνται δίκης Eur. 645, 6. οἳ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ ζητοῦσιν Eur. 659, 7.

πρόσθιος: καὶ ψυκτηρίοις πτεροῖς ἀναστήσαντα προσθίαν τρίχα Ach. 10, 2 p. 749.

προσίζω: τοῖς δὲ τοιούτοις οὐδέποτ' αἰσχρῶν ἔργων μελέδημα προσίζει Eur. 910, 9. ὅστις μὴ δίκαιος ὢν ἀνὴρ βωμὸν προσίζει Eur. 1049, 2.

προσίημι: τοὺς ἐρῶντας αὐτὸς ἵμερος δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προσίεται (προΐεται ll.) Soph. 153, 9. ἣν δ' ἂν προσῆται (?) Κύπρις, ἥδιστον λαβεῖν Eur. 162, 4. τὸ δ' ἄκαιρον ἄπαν ὑπερβάλλον τε μὴ προσείμαν Eur. 893, 4.

προσίκτης: προσίκτην θαλλὸν ἠγκαλισμένος ἔστειχεν εἰς γῆν Mosch. 9, 3 p. 816.

προσίστημι: ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο δειναί, πλάνος τε καρδίᾳ προσίσταται Eur. 1038, 2.

προσίσχω: ἢ κύαθον ἢ χαλκήλατον ἠθμὸν προσίσχων τοῖσδε τοῖς ὑπωπίοις Eur. 374, 2.

πρόσκειμαι: κακοῖς γὰρ οὐ σὺ πρόσκεισαι μόνη Eur. 418, 2. βραχεῖ λόγῳ δὲ πολλὰ πρόσκειται σοφά Soph. 98. πάντων τύραννος ἡ τύχη ἐστὶ τῶν θεῶν, τὰ δ' ἄλλ' ὀνόματα ταῦτα πρόσκειται μάτην adesp. 506, 2. ἔπειτα τριόδους πλάγιος ἣν προσκείμενος Agath. 4, 4 p. 764.

προσκνήθω: καὶ γὰρ κάπρον - οὐ μόνον γυνή, παῖς δ' ἂν νεογνὸς χειρὶ προσκνήθων νέᾳ κλίνοι adesp. 383, 2.

προσκοπῶ: τἀληθὲς ὄψει προσκοπούμενος μαθεῖν Eur. 1132, 41.

προσκυνῶ: καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον adesp. 62. πᾶς προσκυνεῖ δὲ τὸν στρέφοντα κύκλον ἡλίου Soph. 672.

προσλάζομαι: ὦ τέκνα - τί προσλάζεσθε κἀξαρτᾶσθέ μου Pomp. 1, 3 p. 831.

προσλαμβάνω: παιδεύματα προσλαμβάνειν δὲ δεῖ καθ' ἡμέραν ἀεὶ Soph. 1019, 4. τὴν εὐγένειαν τιμῶσι πολλοὶ προσλαβεῖν τέκνων χάριν (πρὸς τέκνων χάριν λαβεῖν ll.) Eur. 405, 2.

προσμανθάνω: ἀεί τι βούλου χρήσιμον προσμανθάνειν adesp. 516 a.

προσμίγνυμι βάσομαί τ' εἰς αἰθέριον πόλον ἀρθεὶς Ζηνὶ προσμείξων (προσμίξων l.) Eur. 911, 4.

προσομιλῶ: προσομιλεῖν οὗτος ὁ δαίμων πάντων ἥδιστος ἔφυ θνητοῖς Eur. 897, 3.

προσορῶ: πρὶν σὰν χαρίεσσαν προσιδεῖν ὥραν Eur. 453, 6.

προσπαίω: ἀνταῖον περιδινέοντα οὐχ ὁρᾶτε καὶ δεῖμα προσπαίοντα Soph. 311, 2.

προσπήγνυμι: ἢ προσπηγνύναι κράδαις ἐριναῖς Eur. 679.

προσπίπτω: ὅταν δὲ προσπέσῃ γῆρας πικρόν Eur. 282, 11. πατρὸς ἴθι πρόσπεσε (?) γόνυ ‹λι›ταῖς Eur. 781, 72. ἵν' εἴ τι πάσχοιμι - μή μοι νεῶρες προσπεσὸν μᾶλλον δάκοι Eur. 964, 6. τὰ προσπεσόντα (al. τὰ τυγχάνοντα) δ' ὅστις εὖ φέρει βροτῶν,

ἄριστος εἶναι σωφρονεῖν τ' ἐμοὶ δοκεῖ Eur. 505.

πρόσπολος: ἄγου δέ μ' - εἴτε πρόσπολον θέλεις εἴτ' ἄλοχον Eur. 132. τοιάνδε χρὴ γυναικὶ πρόσπολον ἐᾶν Eur. 410 δέξαι κυνῆν μοι, πρόσπολε Astyd. 2 p. 778.

προσσαίνω: προσσαίνειν Soph. 978.

προστάτης: προστάτης θ' ἁπλοῦς πόλει σφαλερός Eur. 774, 2. οὔτε ναυτίλον φιλῶ τολμῶντα λίαν οὔτε προστάτην χθονός Eur. 194, 4. οὔποτ' εὐγένειαν ἤνεσα τὴν προστάταισι χρωμένην ἀναξίοις Theod. 15, 2 p. 806.

προστίθημι: τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν Eur. 524, 2. φυγάς τ' ἐμαυτῷ προστιθεὶς πάτρας ἐμῆς θανάτους τ' ἀώρους Eur. 964, 3. αἰδὼς - ἠπιώτατον ἐρύθημα λαμπρῷ προστιθεῖσα χρώματι Chaer. 1, 4 p. 781. ἦν αὐτός τις αὑτῷ τὴν βλάβην προσθῇ Soph. 324, 2. προσθεὶς πρόσωπον φλόγα μὲν οὐχ ὁρῶ πυρός Eur. 781, 47. οὔποτε - βροτὸν παραινέσαιμ' ἂν παισὶ προσθεῖναι κράτη Eur. 806, 2. ὅρκου δὲ *προστεθέντος ἐπιμελεστέρα ψυχὴ κατέστη Soph. 431.

προστρέπομαι: οἳ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς λίκνοισι *προστρέπεσθε Soph. 760, 3.

πρόσφατος: μηδὲν φοβεῖσθαι προσφάτους ἐπιστολάς Soph. 124.

προσφερής: οἳ δ' ὄλβου μέτα φθίνουσ' ἐτείοις προσφερεῖς (προσφόροις ll.) μεταλλαγαῖς Eur. 330, 9.

προσφέρω: κλύδωνα σαυτῷ προσφέρεις αὐθαίρετον adesp. 568. μισῶ δ' ὅταν τις καὶ χθονὸς στρατηλάτης μὴ πᾶσι πάντων προσφέρῃ μειλίγματα Eur. 1053, 2. κάπηλα προσφέρων τεχνήματα Aesch. 322. θαλλὸν χιμαίραις προσφέρων νεοσπάδα Soph. 461, 2. διψῶντι - πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς Soph. 696. καὶ παιδὶ καὶ γέροντι προσφέρων (?) τρόπους adesp. 453.

προσφιλής: ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος, τὸ μὴ οὐ σὲ μῆτερ προσφιλῆ νέμειν ἀεί Eur. 1064, 2. βούλευσαι καλῶς πρὶν ἐξαμαρτεῖν καὶ τὰ προσφιλέστατα ἔχθιστα θέσθαι Neophr. 2, 2 p. 730.

πρόσφορος: γέρων γέροντι γλῶσσαν ἰδίστην ἔχει - καὶ γυναικὶ πρόσφορον γυνή adesp. 364, 2. (cf. προσφερής.)

προσφωνῶ: οὐμὸς δὲ πότμος - με προσφωνεῖ τάδε Aesch. 159, 2.

(πρόσχημα v. σχῆμα.)

πρόσχωρος: οἳ γῆν ἔχουσ' Εὐβοΐδα πρόσχωρον πόλιν Eur. 658.

πρόσω: πρόσω πρὸς αὐτὸν πάλιν ὑποστρέψας πόδα χωρεῖ Eur. 495, 3. τοῦτο τἄδικον πολλαῖς ὑπερρύηκε καὶ χωρεῖ πρόσω Eur. 497, 5. πρόσω .. ναυτίλοισιν .. πρόσω δὲ βάντι ποταμὸν Ἦλις ἡ Διὸς γείτων κάθηται Eur. 1083, 12. 13. ἡνίκ' ἂν μὲν ᾖ πρόσω τὸ κατθανεῖν, Ἅιδης ποθεῖται τοῖς δεδυστυχηκόσιν Lycophr. 5 p. 818. τί δῆτα - πάντα συννοοῦμεν ἐκπράξειν χειρί, πρόσω βλέποντες Patrocl. 1, 6 p. 830. ἀφροσύνᾳ πρόσω βιοτὰν τεκμαιρόμενοι adesp. 127, 5. οὐχ εὕδει Διὸς ὀφθαλμός, ἐγγὺς δ' ἐστὶ καίπερ ὢν πρόσω adesp. 485, 2.

προσῳδία: οὗτοι μ' ἄπειρον τῆσδε τῆς προσῳδίας Aesch. 299.

προσῳδός: πολὺς δὲ κοσσάβων ἀραγμὸς Κύπριδος προσῳδὸν ἀχεῖ μέλος Eur. 631, 2. ὑμνεῖτο δ' αἰσχρῶς κλῶνα πρὸς καλὸν δάφνης ὁ Φοῖβος οὐ προσῳδά adesp. 418, 6.

πρόσωπον: δεινὸν τὸ τᾶς Πειθοῦς πρόσωπον Soph. 781. δικαιοσύνας τὸ χρύσεον πρόσωπον Eur. 486. Δίκης ὀφθαλμὸς ὡς δι' ἠσύχου λεύσσων προσώπου πάνθ' ὅμως ἀεὶ βλέπει Dionys. 5, 2 p. 795. τυφλὸς - οὐδ' ὁρῶν Ἄρης συὸς προσώπῳ πάντα τυρβάζει κακά Soph. 754, 2. προσθεὶς πρόσωπον φλόγα μὲν οὐχ ὁρῶ πυρός Eur. 781, 47. ὡς αἰσχρόν ἐστι μὴ καλῶν ἀπ' ὀμμάτων κλᾶον πρόσωπον καὶ δακρυρροοῦν ὁρᾶν adesp. 447, 2. φίλων προσώπων εἰσορῶντες ὄ⟨μματα⟩ Eur. 495, 10. ὥσπερ σελήνης ὄψις - ἔρχεται νέα πρόσωπα καλλύνουσα Soph. 787, 6.

προταρβῶ: οὐκ ἄν νιν ἐξέπεμπον εἰς μάχην δορὸς θάνατον προταρβοῦσα Eur. 360, 25.

προτείνω: τρία - σάκη προτείνων Aesch. 74, 6. μή μοι προτείνων ἐλπίδ' ἐξάγου δάκρυ Eur. 131. καὶ τοῦ ποτοῦ προύτεινεν ὡς ἂν ἐν θέρει πλέον Sosith. 2, 14 p. 822.

προτίθημι: ἀριθμὸν γὰρ τοσόνδε προυθέμην Eur. 285, 5.

πρότονος: σινδὼν δὲ πρότονον ἐπὶ μέσον πελάζει Eur. 773, 42.

προφάντις: ἔργων μυστικῶν προφάντιδες adesp. 425.

πρόφασις: κρινεῖ τίς αὐτὸν πώποτ' ἀνθρώπων μέγαν, ὃν ἐξαλείφει πρόφασις ἡ τυχοῦσ' ὅλον Eur. 1041, 2. ὅστις - μέμφεται τὰ θεῖ, ὅτι οὐκ εὐθὺς - μετέρχεται τοὺς μὴ δικαίους, πρόφασιν εἰσακουσάτω Theod. 8, 3 p. 804. σῴσαι γὰρ ὁπόταν τῷ θεῷ δοκῇ, πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν Eur. 1089, 2.

προφέρτερος: ἡ γὰρ φίλη ἐγὼ τῶνδε τοῦ προφερτέρου Soph. 409.

προφεύγω: προφυγὼν ἱερᾶς νυκτὸς ἀμολγόν Aesch. 69, 5.

προφωνῶ: ἓν δέ σοι μόνον προφωνῶ, μὴ ἐπὶ δουλείαν ποτὲ ζῶν ἑκὼν ἔλθῃς Eur. 245.

πρόχειρος: ὁρῶ πρόχειρον (al. πρὸ χειρῶν) Πολυίδου τοῦ μάντεως Soph. 358.

προχέω: ἵνα πλημοχόας τάσδ' εἰς χθόνιον χάσμ' εὐφήμως προχέωμεν Eur. 592, 2. σὺ δέ μοι θυσίαν ἄπυρον παγκαρπείας δέξαι πλήρη προχυθεῖσαν Eur. 912, 5.

προχοή: ἵν' ὁ παντόπτας - χρῶτ' ἀθάνατον Ἥλιος - κάματόν θ' ἵππων θερμαῖς ὕδατος - προχοαῖς ἀναπαύει Aesch. 192, 8.

πρύτανις: Σφίγγα δυσαμερίαν πρύτανιν κύνα Aesch. 236.

πρών: Πόσειδον, ὃς Αἰγαίου μέδεις πρῶνας Soph. 342, 2.

Πρῶναξ — Agath. 3 p. 763.

πρῶος: οὔτ' ἄλλο φῖτυ πρῷον Soph. 803.

πρῷρα: ὦ πρῷρα λοιβῆς Ἑστία, κλύεις τάδε Soph. 658.

πρῳράτης: οὐ γάρ τις ἂν δύναιτο πρῳράτης στρατοῦ τοῖς πᾶσιν εἶξαι Soph. 481.

Πρωτεσίλεως — Soph. 457.

πρωτεύω: ὁρᾷς ὅτι Ζεὺς τῷδε πρωτεύει θεῶν Thesp. 3 p. 833.

φὴ κέκλημαι adesp. 414, 3. πῶς γὰρ σοφὸν τοῦτ' ἔστιν, ἥτις εὐφυᾷ λαβοῦσα τέχνη φῶτ' ἔθηκε χείρονα Eur. 186. σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας νικᾷ Eur. 200, 3. ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας εἰς πάντας ἀμαθές, τὸ δ' ἐπικρύπτεσθαι σοφόν Eur. 553, 2. ἁμαρτάνει τι καὶ σοφοῦ σοφώτερος Aesch. 391. σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους Eur. 28. ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ Eur. 290, 2. γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ Eur. 362, 34. ⟨ταῦτα⟩ παρὰ σοφοῦ τινος μαθών Eur. 964. κτυπήματα βροντῆς τό τ' ἀστεροπὸν οὐρανοῦ σέλας, χρόνου καλὸν ποίκιλμα τέκτονος σοφοῦ Crit. 1, 34 p. 771. γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι σοφοῦ τινος γένοιτ' ἂν ἱστορος λόγων Apollon. 2, 2 p. 825. παρθένου τ' εἰκώ τιν' - σοφῆς ἄγαλμα χειρός Eur. 125, 4. σοφῆς δὲ πενίας σκαιότητα πλουσίαν κρεῖσσον σύνοικόν ἐστιν ἐν δόμοις ἔχειν Crit. 5 p. 774. σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους Eur. 899, 4. στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει σοφὸν κυβευτήν Soph. 861, 2. μισῶ σοφὸν ἐν λόγοισιν, ἐς δ' ὄνησιν οὐ σοφόν Eur. 61. τὸν εὐτυχοῦντα χρῆν σοφὸν πεφυκέναι Eur. 99. κῆδος καθ' αὑτὸν τὸν σοφὸν κτᾶσθαι χρεών Eur. 214. οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ δοῦναι χαλινούς Eur. 463. τὰ τυγχάνοντα δ' ὅστις εὖ φέρει βροτῶν, σοφὸν νομίζω v. l. Eur. 505, 2. χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν Eur. 715, 2. οὔποτ' ἄνδρα χρὴ σοφὸν λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων Eur. 1063, 2. σοφὸν λέγουσι τὸν χρόνον πεφυκέναι Agath. 19 p. 767. οὐ μνημονεύω· μὴ λίαν μ' ἡγοῦ σοφόν adesp. 288. αἱ τύχαι δέ με - σοφὴν ἔθηκαν Eur. 458, 3. † σοφήν Diog. Ath. 1, 5 p. 776. δυσειδὲς σῶμα καὶ δυσώνυμον γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν Soph. 85, 10. ἐγὼ μὲν οὖν ᾄδοιμι καὶ λέγοιμί τι σοφόν Eur. 202, 2. τούτου τὸ σοφὸν οὐκ αἰνῶ ποτέ Eur. 583, 2. δρᾶν τι δὴ δοκῶν σοφὸν μάταιός ἐστι Eur. 1063, 10. οὐ ζῶσιν οἵ τι μὴ συνιέντες σοφόν Chaer. 24 p. 789. σοφόν γέ τοί τι πρὸς τὸ βουλεύειν ἔχει τὸ γῆρας Antiph. 3 p. 793. σοφοὶ τύραννοι τῶν σοφῶν ξυνουσίᾳ Soph. 13. σὺ δ' αὐτὸς ὥσπερ οἱ σοφοὶ τὰ μὲν δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου Soph. 25, 2. ⟨ὃν⟩ οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν ⟨καὶ⟩ πατέρα πάντων Soph. 1017, 2. δέλτων τ' ἀναπτύσσοιμι γῆρυν ἂν σοφοὶ κλέονται Eur. 369, 7. σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας Eur. 683. ⟨οἱ⟩ πεῖραν οὐ δεδωκότες μᾶλλον δοκοῦντες ἢ πεφυκότες σοφοί Eur. 809, 2, Ἑστίαν δέ σ' οἱ σοφοὶ βροτῶν καλοῦσιν Eur. 944. ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί Eur. 1042. πλέον γὰρ οὐδὲν οἱ σοφοὶ τῶν μὴ σοφῶν εἰς ταῦτα γιγνώσκουσιν Aristarch. 1, 3 p. 728. σοφοὶ σοφοὺς σῴζουσιν, ἣν ὦσιν σοφοί adesp. 422. βραχεῖ λόγῳ δὲ πολλὰ πρόσκειται σοφά Soph. 98. οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς θείᾳ ξύν-

εστιν ἡμέρᾳ τεθραμμένος Soph. 864. χωρῶμεν ἤδη παῖδες εἰς τὰ τῶν σοφῶν διδασκαλεῖα μουσικῆς Soph. 1019, 2. ἀνδρῶν τάδ' ἐστὶν ἐνδίκων τε καὶ σοφῶν, κἀν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς Eur. 1078. σοφῶν γὰρ ἀνδρῶν τὰς ἁμαρτίας καλῶς κρίνειν Chaer. 31 p. 790. μισῶ γελοίους, οἵτινες τήτει σοφῶν ἀχάλιν' ἔχουσι στόματα Eur. 492, 3. διδάσκαλος γὰρ ηὐτέλεια τῶν σοφῶν καὶ τῶν ἀρίστων γίγνεται βουλευμάτων adesp. 522, 3. τὸν θεὸν - σοφοῖς μὲν αἰνικτῆρα θεσφάτων ἀεί, σκαιοῖς δὲ φαῦλον κἀν βραχεῖ διδάσκαλον Soph. 704, 2. ἔστι τοῖς σοφοῖς βροτῶν χρόνῳ σκοπεῖσθαι τῆς ἀληθείας πέρι adesp. 507. ἡ γὰρ σιωπὴ τοῖς σοφοῖσιν ἀπόκρισις Eur. 977. οὐκ ἐν σοφοῖσιν ἔστιν Eur. 1070, 3. ἅπαντα τοῖς σοφοῖσιν εὔκολα adesp. 577. ἄνδρας χρὴ σοφούς τε κἀγαθοὺς φύλλοις στέφεσθαι Eur. 282, 23. φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ σοφοὺς τίθεσθαι τοὺς λόγους Eur. 327, 2. σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ στρατηλάτας χρή Eur. 352. ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἄγειν βίον Eur. 408. σύν τοι θεῷ χρὴ τοὺς σοφοὺς ἀναστρέφειν βουλεύματ' ἀεὶ πρὸς τὸ χρησιμώτερον Eur 490. σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους Eur. 899, 4. παίδων κρατεῖν δεῖ τῶν νεωτέρων σοφούς Hippoth. 4 p. 828. καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά Aesch. 396. διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς Soph. 696. χρόνος ἅμα κραταιᾷ χρημοσύνᾳ βίου πόλλ' ἀνευρίσκει σοφὰ μαιομένοις adesp. 509, 3. — ἁμαρτάνει τι καὶ σοφοῦ σοφώτερος Aesch. 391. πῶς δῆτ' ἔγωγε - γενοίμην εὖ φρονεῖν σοφώτερος Soph. 481, 7. δυοῖν λεγόντοιν, θατέρου θυμουμένου, ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος Eur. 654, 2. ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος Eur. 760. ὦ Ζεῦ, τίς εἶναι φησὶ σοῦ σοφώτερος adesp. 351. τὸ γῆρας, ὦ παῖ, τῶν νεωτέρων φρενῶν σοφώτερον πέφυκε κἀσφαλέστερον Eur. 619, 2. σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας πάντες διαθρεῖν ἢ τύχας τὰς οἴκοθεν Eur. 102. ἐγὼ δὲ πολλάκις σοφωτέρους πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων Eur. 327, 4. — κἂν φαῦλος ᾖ τἄλλ', εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτατος (σοφώτερος ll.) Eur. 162, 3. ὃς δ' ἂν πλεῖστ' ἔχῃ σοφώτατος Eur. 580, 5. πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως - ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης Eur. 787, 3. λόγῳ μ' ἔπεισας φαρμάκῳ σοφωτάτῳ adesp. 317. τοὺς δ' αὖ μεγίστους καὶ σοφωτάτους φρενὶ τοιούσδ' ἴδοις ἄν Soph. 666. χρόνου τε διατριβὰς σοφωτάτας ἐφηῦρε Soph. 438, 2.

σοφῶς: ἐγὼ μάγειρος ἀρτύσω σοφῶς Soph. 1021.

σπάθη: ἐξεθέρισεν ὥστε πύρινον ⟨στάχυν⟩ σπάθῃ κολούων φασγάνου μελανδέτου Eur. 373, 2.

σπαθητός: σπαθητοῖς τριμιτίνοις ὑφάσμασιν Aesch. 365.

σπανίζω: ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων βίου σπανίζει Eur. 285, 12. cf. Aesch. 97.

σπάνιος: *σπάνιον ἄρ' ἦν θανοῦσιν ἀσφαλεῖς φίλοι Eur. 736, 3.

σπαραγμός: ἐκ ποδῶν δ' ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα Aesch. 169, 2.

σπαράσσω: τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου· τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι - λόγος δύναιτο, τὸν δ' ἄνω τε καὶ κάτω ῥήτωρ σπαράσσων (ταράσσων ll.) πολλάκις λυμαίνεται Eur. 597, 4.

Σπάρτη: νὴ τοὺς ἐν Ἄργει καὶ κατὰ Σπάρτην θεούς Soph. 871, 2. Σπάρτην ἔλαχες, κείνην κόσμει Eur. 723.

Σπαρτιάτης: τὸν Σπαρτιάτην γραπτὸν κύρβιν ἐν διπλῷ ξύλῳ Ach. 19, 3 p. 751.

σπεῖρα: στεφανωσαμένη δρυὶ καὶ πλεκτοῖς ὠμῶν *σπείραισι δρακόντων Soph. 492, 6.

σπείρω: σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδόν Aesch. 158. (cf. v. l. Eur. 757, 3.) μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα Soph. 592. σπείρων θεοκτίσταν φλόγα adesp. 85. ἐσθλῶν ἀπ' ἀλόχων εὐγενῆ σπείρειν τέκνα Eur. 215, 2. ἐξηυρήκαμεν λευκόν τ' ὀρύσσειν ἄργυρον σπείρειν τε γῆν adesp. 115, 3. Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα adesp. 378. εἰ νοῦν εἶχ' ἔμ' ὁ σπείρας πατήρ adesp. 546. ὡς ὁ πλεῖστος ἔσπαρται λόγος Eur. 846.

σπένδω: ἴδε σοὶ σπένδω κναξζβὶ τὸ λευκόν Thesp. 4 p. 833. ἔσπεισα βαιᾶς κύλικος ὥστε δεύτερα Soph. 39.

σπέρμα: τὸ γὰρ βρότειον σπέρμ' ἐφ' ἡμέραν φρονεῖ Aesch. 399. χῶτῳ σπέρμα γενναῖον προσῇ Eur. 285, 4. θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ λαμπρᾷ γαλήνῃ, τῶν δὲ συννέφει πάλιν Eur. 330, 6. εἴθ' ἦν ἄφωνον σπέρμα δυστήνων βροτῶν Eur. 987. ἀεί ποτ' ⟨ἐστὶ⟩ σπέρμα κηρύκων λάλον Eur. 1012. πῶς ἂν γένοιτο σπέρμα παιδὸς ἐν δόμῳ Eur. 1132, 8. τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνή Aesch. 369. ἄρουραν οὐκ ἐμέμψατο τοῦ μὴ ἐξενεγκεῖν σπέρμα γενναίου πατρός Aesch. 99, 9. ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων βίου σπανίζει Eur. 285, 11. συμπλέκοντες σπέρμα καὶ γάμους τέκνων Eur. 326, 5. τοίων γὰρ ἀνδρῶν σπέρμ' ἔδωκεν Ἑλλάδος adesp. 197.

Σπερχειός: Σπερχειὲ ποταμέ Aesch. 249.

σπεύδω: τὸν ὑπὲρ κεφαλῆς αἰθέρ' ἰδέσθαι σπεύδω Eur. 308, 3. γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους, μάτην πονοῦσιν Eur. 501. σπεύδουσαν αὐτήν, ἐν δὲ ποικίλῳ φάρει Soph. 527.

σπήλαιον: ὀρειγενῆ σπήλαια καὶ δυσηλίους φάραγγας ἐνναίοντες Mosch. 6, 5 p. 813.

σπῆλυγξ: νυμφῶν ὑπὸ σπήλυγγα Dionys. 1 p. 793.

σπίδιος: σπίδιον μῆκος ὁδοῦ Aesch. 378.

σπίζα: κάτω κρέμανται σπίζ' ὅπως ἐν ἕρκεσιν Soph. 398.

σπιλάς: γλαυκᾶς μέδεις εὐανέμου λίμνας ἐφ' ὑψηλαῖς σπιλάδεσσι Soph. 342, 3.

σπίλος: σπίλον Παρνασίαν Ion. 19 p. 735.

σπλάγχνον: ὦ θερμόβουλον σπλάγχον Eur. 858. ἐν χερσὶν ἢ

σπλάγχνοισιν ἢ παρ' ὄμματα Eur. 403, 4.

σπολάς: καταστίκτου κυνὸς σπολὰς Λίβυσσα Soph. 10, 2.

σπονδή: ἦν δ' ἀμπέλου σπονδή τε καὶ ῥᾴξ εὖ τεθησαυρισμένη Soph. 366, 2. Διὸς σωτηρίου σπονδὴ τρίτου κρατῆρος Soph. 392, 2. νεοκρᾶτας σπονδάς Aesch. 323.

σπορά: ὦ κακοὶ κἀνάξιοι τῆς ἐμῆς σπορᾶς adesp. 126, 2. γνησίων ἐπὶ σπορᾷ παίδων adesp. 444. πρῶτα γὰρ θῆλυν σπορὰν φῦσαι δεήσει Eur. 1132, 12.

σπουδάζω: σπουδάζομεν δὲ πόλλ' ὑπ' ἐλπίδων, μάτην πόνους ἔχοντες Eur. 391, 2. τὰς ὁμιλίας ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε Eur. 609, 4.

σπουδαῖος: ἐν κείνῃ τὸ πᾶν σπουδαῖον, ἡσυχαῖον, εἰς βίαν ἄγον Soph. 855, 6.

σπουδή: σπουδὴ γὰρ ἡ κατ' οἶκον ἐγκεκρυμμένη οὐ πρὸς θυραίων οὐδαμῶς ἀκουσίμη Soph. 679. οὐ γὰρ ἔσθ' ὅπως σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε Soph. 236, 2. σοφῶν γὰρ ἀνδρῶν τὰς ἁμαρτίας καλῶς κρίνειν, τὸ δ' εἰκῇ καὶ μετὰ σπουδῆς κακόν Chaer. 31, 2 p. 790.

σπῶ: κάρηνα πυρσαῖς γένυσι Μελανίππου σπάσας Eur. 537, 2. (cf. Mosch. 6, 20 p. 815.) πώλου δίκην, ἥτις συναρπασθεῖσα - θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο, σπασθεῖσα δ' ἐν λειμῶνι ποταμίων ποτῶν ἴδῃ σκιᾶς εἴδωλον Soph. 598, 5.

σταγών: Γαῖα μεγίστη - ὑγροβόλους σταγόνας νοτίας παραδεξαμένη τίκτει θνητούς Eur. 839, 3.

στάζω: ἐπ' αἰετὸς δὲ ξουθὸς ἱππαλεκτρυὼν στάζει .. θέντων φαρμάκων πολὺς πόνος Aesch. 134, 2. ὀπὸν ἀργινεφῆ στάζοντα τομῆς χαλκέοισι κάδοις δέχεται Soph. 491, 2. ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ στάζειν Eur. 407, 2.

σταθερός: σταθεροῦ χεύματος Aesch. 276.

στάθμη: τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι, οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη Soph. 307, 2. ὥστε τέκτονος παρὰ στάθμην ἰόντος ὀρθοῦται κανών Soph. 433, 5. (cf. σταθμός.)

σταθμός: a) ἄπελθε λαΐνων σταθμῶν adesp. 44. δμῳαὶ - αἳ πατρὸς κατὰ *σταθμοὺς σαίρουσι δῶμα καὶ δόμων κειμήλια καθ' ἡμέραν φοιβῶσι Eur. 773, 11. — b) ἀκριβὲς οἰάκισμα πρὸς σταθμὸν (στάθμην ll.) βίου adesp. 287. οὗτος δ' ἐφηῦρε - *σταθμῶν ἀριθμῶν καὶ μέτρων εὑρήματα Soph. 399, 2.

σταθμοῦχος: σὺ δ' ὁ σταθμοῦχος εὖ κατιλλώψας ἆθρει Aesch. 226.

σταθμῶ: οὐκ οἶδ' ὅτῳ χρὴ κανόνι τὰς βροτῶν τύχας ὀρθῶς *σταθμήσαντ' εἰδέναι τὸ δραστέον Eur. 376, 2. τἀρετῇ σταθμώμενος τὰ πάντα adesp. 327, 2.

σταλαγμός: οὐ *σταλαγμὸν ἐξομόρξετε, εἴ πού τις ἔστιν αἵματος χαμαὶ πεσών Eur. 781, 6. θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον Diog. Sinop. 2 p. 809. σταλαγμοῖς (παλαγμοῖς l.) αἵματος χοιροκτόνου Aesch. 327. βωμὸς ἀτμίζων πυρὶ σμύρνης σταλαγμούς, βαρβάρους εὐοσμίας Soph. 341, 2.

στάσις: λέβης αἰεὶ φυλάσσων τὴν ὑπὲρ πυρὸς στάσιν Aesch. 1, 2. τὸν ὑπὲρ κεφαλῆς αἰθέρ' ἰδέσθαι σπεύδω, τίν' ἔχει στάσιν Εἰνοδία Eur. 308, 4. πρὸς ἵππων εὐθὺς ὁρμήσας στάσιν Eur. 442. — τὰν δ' ἐχθρὰν στάσιν εἶργ' ἀπ' οἴκων τὰν μαινομέναν τ' ἔριν Eur. 453, 10. μάχας τ' ἀφαιρῶν καὶ στάσεις Eur. 282, 27.

στατός: οἳ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς λίκνοισι προστρέπεσθε Soph. 760, 2.

στάχυς: νέας δ' ὁπώρας ἡνίκ' ἂν ξανθῇ στάχυς Aesch. 304, 7. εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θηλειῶν στάχυς ἄρσην Eur. 360, 22. πᾶσα δ' εὐθαλὴς Αἴγυπτος - φερέσβιον Δήμητρος ἀντέλλει στάχυν Aesch. 300, 7. πρῶτον μὲν ὄψει λευκὸν ἀνθοῦντα στάχυν Soph. 363. ἐξεθέρισεν ὥστε πύρινον ⟨στάχυν⟩ σπάθῃ κολούων φασγάνου μελανδέτου Eur. 373. Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν θύων ἀπαρχάς Eur. 516. ἀναγκαίως δ' ἔχει βίον θερίζειν ὥστε κάρπιμον στάχυν Eur. 757, 6. σαρκήρη στάχυν adesp. 263.

στεγανός: κόσμος δὲ σιγὴ στεγανὸς (σιγῆς στέφανος ll.) ἀνδρὸς οὐ κακοῦ Eur. 219. τοῦδ' εἵνεκ' οἶκον στεγανὸν ἐξηυρήκαμεν adesp. 115, 2. ναοὺς προλιπών, οὓς αὐθιγενὴς τμηθεῖσα δοκὸς στεγανοὺς παρέχει Χαλύβῳ πελέκει Eur. 472, 6.

στέγαστρον: ὀστῶν στέγαστρον Aesch. 367.

στέγη: ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη Aesch. 58. οὐχ εἰς πάτρα μοι πύργος, οὐ μία στέγη Crat. 1 p. 809. ῥάχοισιν ὀρχάδος στέγης Soph. 743. τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ τῇ σῇ πονηροὺς κληθρον εἰργέτω στέγης Eur. 362, 20. δι' ἁρμῶν ἐξαμείβεται πύλης καπνοῦ μέλαιν' ἄησις ἔνδοθεν στέγης Eur. 781, 46. ἥδε μοι τροφός, μήτηρ, ἀδελφή, δμωίς, ἄγκυρα στέγης Eur. 866, 2. καὶ σεμνοκόπτει τοῦτ' ἐν ἀνδρείᾳ † στέγῃ Aesch. 124, 2. οὔτ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον Aesch. 362, 3. ὑπὸ στέγῃ πυκνῆς ἀκοῦσαι ψακάδος Soph. 579, 2. στέγην πυρώσω καὶ κατανθρακώσομαι Aesch. 281, 4. εὐναῖος εἴη δραπέτην στέγην ἔχων Soph. 176. ἀεὶ δ' ἀοιδῶν μοῦνος ἐν στέγαις ἐμαῖς κωκυτὸς ἐμπέπτωκεν adesp. 387.

στεγήρης: οὐδέπω γὰρ ἦν οὔτε στεγήρης οἶκος οὔτε - πόλις Mosch. 6, 7 p. 813.

στέγος: χρόνῳ δ' ἀργῆσαν ἤμυσεν στέγος Soph. 780, 2. ὡς ἄπυρος χρυσὸς γεγὼς - διὰ στέγους ῥεύσειεν ἐν χερσὶν κόρης Eur. 1132, 32.

στέγω: οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι Eur. 899, 3. τὸ γὰρ γυναιξὶν αἰσχρὸν δεῖ γυναῖκ' ἀεὶ στέγειν Soph. 618, 2. χρὴ τὸν διάκονον - στέγειν τὰ δεσποτῶν Eur. 375, 2.

στείχω: (cf. στίλβω.) στείχει πολίταις ὄμμ' ἔχων ἰδεῖν πικρόν adesp. 415. ἤδη δ' εἰς ἔργα κυναγοὶ στείχουσιν θηροφόνοι Eur. 773, 32. ὡς νῦν τάχος στείχωμεν Soph. 236. σὺ δ' ἀμφὶ Θήβας στεῖχε τὰς Καδμηίδας adesp. 177, 2. στείχων δ' ἀγρώστην ὄχλον Soph. 91. παρακτίαν στείχων ἀνημέρωσα κνωδάλων ὁδόν

Soph. 819, 2. ἡ Δίκη - σῖγα καὶ βραδεῖ ποδὶ στείχουσα μάρψει τοὺς κακούς Eur. 979, 4. ὁρᾷς Δίκην ἄναυδον οὐχ ὁρωμένην εὔδοντι καὶ στείχοντι καὶ καθημένῳ adesp. 493, 2. εἶδον στρατὸν στείχοντα παραλίαν πέτραν Soph. 461, 3. ὁρῶ μὲν ἀνδρῶν τόνδε γυμνάδα στόλον στείχοντα θεωρὸν ἐκ τρόχων πεπαυμένον Eur. 105, 2. ἀλλ' εἰσορῶ γὰρ - Ἀκρίσιον πρὸ δόμων στείχοντα Eur. 1132, 62. τρεῖς τ' ἐπισσείων λόφους *στεῖχεν ἴσος Ἄρει βίαν Aesch. 74, 7. προσίκτην θαλλὸν ἡγκαλισμένος ἔστειχεν εἰς γῆν Mosch. 9, 4 p. 816.

στέλλω: μή μοι γένοιτο μήτε συνθύτης τοῖς θεοῖς μήτ' ἐν θαλάσσῃ κοινόπλουν στέλλοι σκάφος Eur. 852, 5. στέλλειν ὅπως τάχιστα Aesch. 86. βραχὺν λίνου κύπασσιν ἐς μηρὸν μέσον ἐσταλμένος Ion. 59, 2 p. 744. ὦ ἀμφ' ἐμοῦ στεῖλαι Soph. 410. ὧν δέ γ' ἐστάλην - ἀφίξομαι τάχιστα σημανῶν Eur. 1132, 44.

στέμβω Aesch. 440.

στέναγμα: ἠκούσατ' ἀρχὰς δεσπότου στεναγμάτων Eur. 781, 76.

στεναγμός: οἵ τε στεναγμοὶ τῶν πόνων ἐρείσματα Aesch. 385.

στενάζω: λέγουσι - γῆν - πυρὸς γέμουσαν ῥεύμασιν δυσεμβόλοις πᾶσαν στενάξαι Carc. 5, 8 p. 799.

στενάχω: ὅταν ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκῳ Eur. 263, 3.

στενός: στενὴν δ' ἔδυμεν ψαλίδα κοὐκ ἀβόρβορον Soph. 338.

στενόστομος: στενόστομον τὸ τεῦχος Aesch. 108.

στένω: τεκοῦσα δ' ἦν μὲν ἄφρονας τέκω, στένω ματαίως Eur. 908, 4. σὺ δ' ἄνδρα θνητὸν εἰ κατέρθιτο στένεις Soph. 761. παραυτίχ' ἡσθεὶς ὕστερον στένει διπλᾶ Eur. 1079, 5. ὅστις λέγει κάκ' εὖ φρονῶν σιγῇ στένει adesp. 497. στέργειν δὲ τἀκπεσόντα - πρέπει - ἀλλὰ μὴ στένειν τύχην Soph. 861, 2. παλαιὰ καινοῖς δακρύοις οὐ χρὴ στένειν Eur. 43. δοκεῖς τὸν Ἅιδην - παῖδ' ἀνήσειν τὸν σόν, εἰ θέλοις στένειν Eur. 332, 2. κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν, ἐφ' οἷσι μέλλει μήποθ' ὕστερον στένειν Eur. 459, 2. τί ταῦτα δεῖ στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν Eur. 757, 8.

στενωπός: στενωπὸς Ἅιδου καὶ παλιρροία βυθοῦ Soph. 748.

στέργω: στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν μάλιστα Eur. 1064, 4. Ζεὺς εἴτ' Ἀίδης ὀνομαζόμενος στέργεις Eur. 912, 3. γυναικὶ δ' ὄλβος, ἢν πόσιν στέργοντ' ἔχῃ Eur. 1062. στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει σοφὸν κυβευτήν Soph. 861. ἔστ' ἀνδρὶ καὶ γυναικὶ κείμενος νόμος, τῷ μὲν διὰ τέλους ἣν ἔχει στέργειν ἀεί Eur. 953, 15. πάντων ἄριστον μὴ βιάζεσθαι θεούς, στέργειν δὲ μοῖραν Eur. 1076, 2. στέργειν θ' ὑδρηλοῖς ὥστε θὴρ ἀεὶ ποτοῖς adesp. 546, 6. μόνην δ' ἔστερξε τὴν ἁπλῶς δίκην Soph. 703, 3. τέχνη τύχην ἔστερξε καὶ τύχη τέχνην Agath. 6 p. 764. οἵ τοι πέρᾳ στέρξαντες οἶδε καὶ πέρᾳ μισοῦσιν adesp. 78. δεῦτ' ὦ τέκν', ὦ στερχθέντ' ὅσον πλεῖστον θέμις Pomp. 1 p. 831.

† στέρημα Soph. 220, 3.

στερίσκω: μόνου γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται, ἀγένητα ποιεῖν

ἅσσ' ἂν ᾖ πεπραγμένα Agath. 5 p. 764. cf. στερῶ.

στερνόμαντις Soph. 56.

στέρνον: ἀνδρῶν γὰρ ἐσθλῶν στέρνον οὐ μαλάσσεται Soph. 196. πολλὰ τραύματ' ἐν στέρνοις λαβών Aesch. 362. τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς πηδῶν ἀθύροι Eur. 323. ἄδην δ' ἐλαίου στέρνα καὶ ποδῶν κύτος χρίουσιν Ach. 4, 4 p. 747.

Στερνόφθαλμοι Aesch. 441.

(στερρῶς v. l. Eur. 98.)

στερῶ: τεθνᾶσι παῖδες οὐκ ἐμοὶ μόνῃ βροτῶν οὐδ' ἀνδρὸς ἐστερήμεθα Eur. 454, 2. ἄπολις ἄοικος, πατρίδος ἐστερημένος adesp. 284. φίλων τοιούτων οἱ μὲν ἐστερημένοι χαίρουσιν Soph. 779. cf. στερίσκω.

στέφανος: (cf. στεγανός.) τὴμῇ δὲ παιδὶ στέφανος εἷς μιᾷ μόνῃ πόλεως θανούσῃ τῆσδ' ὑπερδοθήσεται Eur. 360, 34. ἀλλ' οὐκ ἔνεστι στέφανος οὐδ' εὐανδρία, εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα Eur. 1052, 5. τῷ δὲ ξένῳ γε στέφανον ἀρχαῖον στέφος Aesch. 235. τίς γὰρ παλαίσας εὖ - πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών Eur. 282, 18. ταῦτα δρῶν κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί Eur. 853, 4. μή μοι στέφανον ἀμφιθῇς κάρᾳ adesp. 108. φέρων δὲ στέφανον ἀμφέθηκέ τις adesp. 418, 4. στέφανοι χειρῶν Ion. 48 p. 742. κισσῷ τε νάρκίσσῳ τε τριέλικας κύκλῳ στεφάνων ἑλικτῶν Chaer. 7, 2 p. 784. ἀείδοιμι δὲ στεφάνοις κάρα πολιὸν στεφανώσας Eur. 369, 3. οὐδ' ἀντ' ἐλαίας - τρίαιναν - Θρῃξ ἀναστέψει λεὼς στεφάνοισι Eur. 360, 49. στεφάνους τεμόντες ἀγγέλους εὐφημίας Chaer. 6 p. 783. στεφάνους ἑτοιμάζουσιν, οὓς εὐφημίας κήρυκας εὐχαὶ προυβάλοντο δαιμόνων Chaer. 11 p. 785.

στεφανῶ: ἀείδοιμι δὲ στεφάνοις κάρα πολιὸν στεφανώσας Eur. 369, 3. στεφανωσαμένη δρυὶ καὶ πλεκτοῖς ὠμῶν σπείραισι δρακόντων Soph. 492, 5.

στέφος: τῷ δὲ ξένῳ γε στέφανον ἀρχαῖον στέφος Aesch. 235.

στέφω: θυσίας τε τούτοις καὶ κενὰς πανηγύρεις στέφοντες (al. νέμοντες vel τεύχοντες) οὕτως εὐσεβεῖν νομίζομεν Soph. 1025, 9. τὸν βαλόντα δὲ στέφειν ἐγὼ ἐτετάγμην, ἆθλα κοσσάβων διδούς Eur. 562, 2. βότρυσι δ' ἔστεψεν κάρα Eur. 530, 2. στέψατε δώματα adesp. 87. ἄνδρας χρὴ σοφούς τε κἀγαθοὺς φύλλοις στέφεσθαι Eur. 282, 24.

στήριγμα: στηρίγματ' οἴκου adesp. 427.

στιβαδοποιοῦμαι: στιβαδοποιούμενος Soph. 992.

στικτός: στικτή νιν αὖθις ἀμφινωμήσει πτέρυξ Aesch. 304, 8.

στίλβω: ὅθεν τε λαμπρὸς ἀστέρος στίλβει (στείχει ll.) μύδρος Crit. 1, 35 p. 772. νέῳ στίλβοντες ἄνθει καρτερὰς ἐπωμίδας Ach. 4, 3 p. 747. στίλβοντα λευκῷ χρώματι Chaer. 1, 2 p. 781.

στίμμι: καὶ τὴν μέλαιναν στίμμιν ὀμματογράφον Ion. 25 p. 736.

στολή: ποδαπὸς ὁ γύννις; τίς πάτρα; τίς ἡ στολή Aesch. 61. ψαλίδας, τιάρας καὶ σισυρνώδη στολήν Soph. 379. τὸ σχῆμα σεμνὸς καὶ

ταπεινός - ἀλλὰ καὶ στολὴν ἰδόντι λαμπρός Eur. 688, 3.

στολοκρατής: στολοκρατές adesp. 598.

στόλος: ὁρῶ μὲν ἀνδρῶν τόνδε γυμνάδα στόλον στείχοντα θεωρὸν ἐκ τρόχων πεπαυμένον Eur. 105. δρυοπαγῆ στόλον Soph. 639. χαλκόδοντας στόλους adesp. 272.

στόμα: κουρήτων στόμα adesp. 580. εὐοδίαν μὲν πρῶτον ἀπὸ στόματος χέομεν Aesch. 36. καὶ τούσδε κημοὺς στόματος Aesch. 125. ψευδόδειπνα πολλὰ μαργώσης γνάθου ἐρρυσιάσθη στόματος ἐν πρώτῃ χαρᾷ Aesch. 258, 2. ἐξευλαβοῦ δὲ μή σε προσβάλῃ στόμα πέμφιξ Aesch. 206. κἀγὼ τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα ἤλπιζον εἶναι Aesch. 350, 5. ὅτι νυν ἦλθ' ἐπὶ στόμα Aesch. 351. ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα Aesch. 354. ἀφρὸς βορᾶς βροτείας ἐρρύη κατὰ στόμα Aesch. 372, 2. πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα Aesch. 397. δάφνην φαγὼν ὀδόντι πρῖε τὸ στόμα Soph. 811. σιγᾶν ἀνάγκη, κἂν καλὸν φορῇ στόμα Soph. 844, 2. ὁ φόβος - τό τε στόμ' εἰς ἔκπληξιν ἀνθρώπων ἄγει Eur. 67, 3. δαιτὸς δὲ πληρωθείς τις ἄσμενος πάλιν φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα Eur. 213, 4. ἔχειν χρὴ στόμ' ἐν ἡσυχίᾳ Eur. 773, 62. δράκων - ἐνώκισεν δεινὴν † στομάτων ἔκφυσιν ποδὸς βλάβην Aesch. 252, 2. νῦν δ' εὐτρόχοισι στόμασι τἀληθέστατα κλέπτουσιν Eur. 439, 3. μισῶ γελοίους, οἵτινες τήτει σοφῶν ἀχάλιν' ἔχουσι στόματα Eur. 492, 4. — γυναῖκ' ἄνωχθι πᾶσι τοῖς κατὰ † στόμα θεοῖς χορεῦσαι Eur. 781, 33. γλαυκᾶς μέδεις εὐανέμου λίμνας ἐφ' ὑψηλαῖς σπιλάδεσσι † στομάτων Soph. 342, 3.

στόμιον: ἀργυρηλάτοις κέρασι χρυσᾶ στόμια προσβεβλημένοις Aesch. 185, 2.

στόμις Aesch. 442.

στομῶ: πώλους τέσσαρας ζυγηφόρους φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας Aesch. 326, 2.

στομώδης: στομώδη Soph. 993.

στόρθυγξ: ἄρασα μύξας .. καὶ κερασφόρους στόρθυγγας Soph. 86, 4.

στραβαλοκόμας: στραβαλοκόμαν Soph. 994.

στράβηλος: ἁλίας στραβήλου τῆσδε Soph. 301.

στρατάρχης: καὶ ταξιάρχας καὶ στρατάρχας καὶ ἑκατοντάρχας ἔταξα Aesch. 182.

στράτευμα: ὀλίγον ἄλκιμον δόρυ κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος Eur. 243, 2. οὐκ ἐχρῆν ἡμᾶς ἔτι μέλλειν Ἀχαιῶν ὠφελεῖν στρατεύματα Eur. 1109, 3.

στρατεύω: ἤτοι στρατεύσεις ἢ μένων ἔσῃ κακός adesp. 35. αἳ μὲν αὐτῶν εἰς ἀπείρονα στρατὸν ἀνθέων ἄλογχον ἐστράτευσαν Chaer. 10, 2 p. 784. οὐδεὶς στρατεύσας ἄδικα σῶς ἦλθεν πάλιν Eur. 353.

στρατηγός: ὀλίγον ἄλκιμον δόρυ κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος Eur. 243, 2.

στρατηγῶ: εὐγενὴς ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν Eur. 242, 2. τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω, καλῶς γνῶναι τὸν ἐχθρὸν ἢ μάλισθ' ἁλώσιμος Eur. 743.

στρατηλάτης: μισῶ δ' ὅταν τις καὶ χθονὸς στρατηλάτης μὴ πᾶσι πάντων προσφέρῃ μειλίγματα Eur. 1053. χρὴ δὲ τὸν στρατηλάτην ὁμῶς δίκαιον ὄντα ποιμαίνειν στρατόν Eur. 744. στρατηλάται τᾶν μυρίοι γενοίμεθα, σοφὸς δ' ἂν εἷς τις ἢ δύ' ἐν μακρῷ χρόνῳ Eur. 581. σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ στρατηλάτας χρή Eur. 352, 2.

στρατός: στρατός ποτ' εἰς γῆν τήνδ' ἐπεστρώφα ποδί Phryn. 5 p. 721. Ἄρης φιλεῖ ἀεὶ τὰ λῷστα πάντα τἀνθρώπων στρατοῦ Aesch. 100, 2. στρατοῦ καθαρτὴς κἀπομαγμάτων ἵδρις Soph. 31. ὃς στρατοῦ φρυκτωρίαν ἔδειξε Soph. 399, 6. οὐ γάρ τις ἂν δύναιτο πρῳράτης στρατοῦ τοῖς πᾶσιν εἶξαι Soph. 481. ᾧ παρῆν ἀπραγμόνως ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης Eur. 787, 2. ὑπέρ γε μέντοι παντὸς Ἑλλήνων στρατοῦ αἰσχρὸν σιωπᾶν Eur. 796. βαθεῖαν εἰς αὐλῶνα περίδρομον στρατοῦ Carc. 1 p. 798. οὗτος δ' ἐφηῦρε τεῖχος Ἀργείων στρατῷ Soph. 399. εὖτ' ἂν Ἄρης νεοχμὸς ἐμπέσῃ στρατῷ Ion. 63, 2 p. 745. σὺν δόρει στρατόν Aesch. 129. ἦξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατόν Aesch. 199. διώσεις ῥᾳδίως Λίγυν στρατόν Aesch. 199, 9. εἶδον στρατὸν στείχοντα παραλίαν πέτραν Soph. 461, 3. χρὴ δὲ τὸν στρατηλάτην ὁμῶς δίκαιον ὄντα ποιμαίνειν στρατόν Eur. 744, 2. εἰς ἀπείρονα στρατὸν ἀνθέων ἄλογχον ἐστράτευσαν Chaer. 10 p. 784.

στρέφω: στρέφει δ' ἄλλους ἄλλως εἰς ἀμέραν Eur. 152, 3. φεῦ, τὰ τῶν εὐδαιμονούντων ὡς τάχιστα στρέφει θεός Eur. 536. ἐκεῖσ' ἔλα, τῇδε στρέφ' ἅρμα, τῇδε Eur. 779, 10. πᾶς προσκυνεῖ δὲ τὸν στρέφοντα (?) κύκλον ἡλίου Soph. 672. *ἔστρεψ' ἐκ δόμων ταχὺν πόδα Eur. 781, 43. στρέψον ἀνταυγεῖς κόρας adesp. 67. γλαυκῶπίς τε στρέφεται μήνη Eur. 1009. αἰαῖ, τί δράσω; πρὸς τίνας στρεφθῶ λόγους Eur. 139.

στρηνιῶ: ἐγὼ μὲν ὑμῖν, ὡς ὁρᾶτε, στρηνιῶ Lycophr. 1, 2 p. 817.

στρόβιλος: ἐχίνου - ὃς - στρόβιλος ἀμφ' ἄκανθαν εἰλίξας δέμας κεῖται δακεῖν τε καὶ θιγεῖν ἀμήχανος Ion. 38, 4 p. 739.

στροβῶ: νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορὸς λόγχῃ βιαίως Ἕκτορος στροβούμενοι Eur. 1109, 5.

στρόμβος: βορεάδας ἧξεις πρὸς πνοάς, ἵν' εὐλαβοῦ *στρόμβον (βρόμον Il.) καταιγίζοντα Aesch. 195, 3.

στροφή: ἐφηῦρε δ' ἄστρων μέτρα καὶ περιστροφὰς - ἄρκτου στροφάς τε Soph. 399, 11.

Στρόφιος — Agath. 17 p. 767.

στρώννυμι: στρώννυ τε κοίτας adesp. 90, 2. ἀνθηροῦ τέκνα ἔαρος πέριξ στρώσαντες Chaer. 9, 2 p. 784.

στυγερός: λάθα Πιερίδων στυγερὰ κἀνάρατος Soph. 145.

στυγνός: ὅστις δ' ἄμεικτον πατέρ' ἔχει νεανίας στυγνόν τ' ἐν οἴκοις Eur. 500, 2. ἀνάγκη, στυγνὸν ἢ κατ' αὐχένων ἡμῶν ἐρείδεις - ζυγόν Mosch. 2, 3 p. 812.

στυγῶ: στυγῶ μεταλλακτῆρα

πουλύπουν χροός Ion. 36, 2 p. 739. ὕδωρ δὲ πίνει, τὸν δὲ βίβλινον στυγεῖ adesp. 149. νεανίας - ὅστις ὢν Ἄρῃ στυγῇ Eur. 1052. στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν adesp. 41. οὐδεὶς ἐχθρὸς οὔτε φύεται πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν Soph. 85, 5. μητέρα δὲ τὴν σὴν οὔτις ἐστύγει βροτῶν Theod. 2 p. 801. ἐγάμησεν Ἑλένη τὸν θεοῖς στυγούμενον adesp. 194. ὡς ἡδὺ - παῖδας εἶναι πατρὶ μὴ στυγουμένους Eur. 950, 2.

στῦλος: κομῶντα κισσῷ στῦλον εὐίου θεοῦ Eur. 203. 2.

στωμύλλω: ἀλκυόνες, αἳ παρ' ἀενάοις θαλάσσας κύμασιν στωμύλλετε Eur. 856, 2.

σύ: οἷς ἔπειτα σὺ βαλὼν (συμβαλὼν ll.) διώσεις - Λίγυν στρατόν Aesch. 199, 8. τράγος γένειον ἆρα πενθήσεις σύ γε Aesch. 207. σὺ δ' ὁ σταθμοῦχος εὖ κατιλλώψας ἄθρει Aesch. 226. μόνος ⟨γὰρ⟩ εἶ σὺ τῶν ἀνηκέστων κακῶν ἰατρός Aesch. 255, 2. σύ τοί μ' ἔφυσας, σύ με καταίθειν δοκεῖς Aesch. 359. σὺ δὲ σπαθητοῖς τριμιτίνοις ὑφάσμασιν Aesch. 365. τοιαῦτα τοί σοι - λέγω· σὺ δ' αὐτὸς - τὰ μὲν δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου Soph. 25, 2. σὺ δ' ἐν θρόνοισι γραμμάτων πτυχὰς ἔχων νέμ' εἴ τις οὐ πάρεστιν Soph. 144. σὺ δ', ὦ Σύαγρε Soph. 158. ὦ πᾶν σὺ τολμήσασα καὶ πέρᾳ, γύναι Soph. 187. σὺ δ' ὦ μεγίστων τυγχάνουσα πενθερῶν Soph. 284. σὺ δ' αὖθι μίμνων τήνδ' ἀν' Ἰδαίαν χθόνα - θυηπόλει Soph. 479. ⟨κακὴ⟩ κακῶς σὺ πρὸς θεῶν ὀλουμένη Soph. 697. σὺ γὰρ γέροντα βουλεύεις Soph. 726. σὺ δ' ἄνδρα θνητὸν εἰ κατέρθιτο στένεις Soph. 761. σὺ δὲ σφαδάζεις πῶλος ὡς εὐφορβίᾳ Soph. 764. οὐ μὴν σύ γ' ἡμᾶς τοὺς τεκόντας ἡδέσω Eur. 109. σὺ δ' εἴ τίς ὅστις τοὐμὸν ὤκτιρας πάθος Eur. 127, 2. σὺ δ' ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως Eur. 136. τοῖς ἐρῶσιν εὐτυχῶς συνεκπόνει μοχθοῦσι μόχθους ὢν σὺ δημιουργὸς εἶ Eur. 136, 4. ἢ δ' ἐγγύς ἐστιν - ὃν χρὴ κολάζειν τ' οἶδεν· ἀλλ' οὐκ οἶσθα σύ Eur. 255, 4. οὔτε μήτηρ ἡδονὰς τοίας ἔχει, οὐ παῖδες ἀνθρώποισιν - οἵας σύ Eur. 324, 4. κακοῖς γὰρ οὐ σὺ πρόσκεισαι μόνη Eur. 418, 2. εἰ γάρ σ' ἔμελλεν, ὡς σὺ φῄς, κτείνειν πόσις Eur. 451. ὁρᾷς σὺ νῦν δή μ' ὡς ἐπράυνας, τύχη Eur. 535. σὺ δὲ τρέφοντά ⟨νιν⟩ τρέφεις Eur. 561. σὺ δ' ὠδ' ἔρημος ξυμμάχων ἀπόλλυσαι Eur. 565. τόλμα σὺ κἄν τι τραχὺ νείμωσιν θεοί Eur. 702. σὺ δ' εἰκ' ἀνάγκῃ Eur. 716. τί δ', ὦ τάλας; σὺ τῷδε πείθεσθαι μέλλεις Eur. 717. χώρει σύ Eur. 781, 32. οὐ γὰρ σὺ σώζῃ σεμνὰ θησαυρίσματα χρυσοῦ Eur. 781, 44. σὺ δ' ὡς πάρος δέσποινα Δήμητρος κόρη Ἥφαιστέ τ' ἔστε πρευμενεῖς Eur. 781, 59. σὺ δ', ὦ πατρῷα χθὼν ἐμῶν γεννητόρων, χαῖρε Eur. 817. λέληθεν οὐδὲν τῶνδέ μ' ὧν σὺ νουθετεῖς Eur. 840. σὺ δέ μοι θυσίαν - δέξαι - σὺ γὰρ ἓν τε θεοῖς τοῖς οὐρανίδαις σκῆπτρον τὸ Διὸς μεταχειρίζεις χθονίων θ' Ἁιδῃ μετέχεις ἀρχῆς Eur. 912, 3. 6. σὺ δ' ἀνδρί μ', ὡς φῄς, ἐκδίδως νῦν πλουσίῳ Eur. 953, 20. μέχρι πόσου τὴν τῆς τύχης, πάτερ,

σὺ λήψῃ πεῖραν Eur. 953, 33. σὺ μὲν βίᾳ πράξεις ἃ βούλει Eur. 953, 42. ὁρίζω τοῦτο, καὶ σὺ μὴ φθόνει Eur. 1064, 5. σὺ δ' εἰ κατ' οἴκους εὐνοῶν ἐτύγχανες, οὐκ ἂν ποτ' ἦλθες εἰς τόδε θράσους Eur. 1132, 64. ἥκω πεπραγὼς δεινά, σὺ δ' ὑγίαινέ μοι Ach. 44 p. 757. ἀπολεῖς μ' ἐρωτῶν καὶ σὺ χὠ νέος τρόπος Agath. 13 p. 766. μόνον σὺ θυμοῦ χωρὶς ἔνδεξαι λόγους Mosch. 5 p. 813. σὺ δ' ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους, ξαίνεις adesp. 9. πότνια σοφία, σύ μοι ἄνδανε adesp. 130. λέγε δὲ σὺ κατὰ πόδα νεόχυτα μέλεα adesp. 136. Ἴακχε θριάμβε, σὺ τῶνδε χοραγέ adesp. 140. σὺ μὲν βάδιζε τὰς ἐπ' Ἰνάχου ῥοάς, σὺ δ' ἀμφὶ Θήβας στεῖχε adesp. 177, 1. 2. μηδὲ σὺ ζήτει πυθέσθαι adesp. 329. ΑΛΚΜ. ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς. ΑΔΡ. σὺ δ' αὐτόχειρ γε μητρὸς adesp. 358, 2. ὦ τλῆμον ἀρετή - σὺ δ' ἄρ' ἐδούλευες τύχῃ adesp. 374, 2. καὶ τῷδε δηλώσαιμ' ἄν, εἰ βούλοιο σύ, τἀληθές adesp. 515. σὺ δ' ἐγγενὴς ὢν τήνδε δουλώσας ἔχεις adesp. 536. σὺ δ' ὦ τεκοῦσα μὴ τὴν σὴν λιβάσι κατάσπενδε παρηίδα adesp. 548. — κενὴν ἐτερπόμην σου τέρψιν εὐλογουμένου ὡς ζῶντος Soph. 519, 2. γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης Soph. 764, 2. τὸ ζῆν ἀφέντες τὸ κατὰ γῆς τιμῶσί σου Eur. 154. κάρα τε γάρ σου συγχέω κόμαις ὁμοῦ ῥανῶ τε πεδόσ' ἐγκέφαλον Eur. 384. ἐγὼ χάριν σὴν παῖδά σου κατακτάνω Eur. 466. πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου Eur. 604. ἡ παῖς νοσεῖ σου Eur. 682. τό γ' εἶδος αὐτὸ σοῦ κατηγορεῖ σιγῶντος Eur. 690. καὶ γάρ τιν' αὐτὸς ἦλυθον λύσιν μαθεῖν σοῦ Neophr. 1, 2 p. 730. ἐκμαθεῖν δέ σου ποθῶ Pyth. 1, 8 p. 811. ὦ Ζεῦ, τίς εἶναι φησὶ σοῦ σοφώτερος adesp. 351. Εἰρήνα βαθύπλουτε - ζῆλός μοι σέθεν ὡς χρονίζεις Eur. 453, 3. ‹ἀκούο›ντες σέθεν Eur. 495, 46. ἀπόμορξαι σέθεν τὰ δάκρυα Eur. 694. δεῖ πυνθάνεσθαι - ἡμᾶς σέθεν Eur. 1063. — σοὶ μὲν γαμεῖσθαι μόρσιμον, γαμεῖν δ' ἐμοί Aesch. 13. παλαιῶν τῶνδέ σοι σκωπευμάτων Aesch. 79. σοὶ δ' οὐκ ἔνεστι κῖκυς Aesch. 230. τί σοι ὁ Ἀπόλλων κεκιθάρικεν Soph. 14. τοιαῦτά τοι σοι πρὸς χάριν τε κοὐ βίᾳ λέγω Soph. 25. ὑφηρέθη σοι κάλαμος Soph. 33. τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἐστί σοι Soph. 79. ὡς ὁ Σίσυφος πολὺς ἔνδηλος ἐν σοί Soph. 142, 2. τάδ' οὐκ ἀκουστά ‹σοι› Soph. 330. μέγας σοι τοῦδ' ἐγὼ φόβου μοχλός Soph. 693. ἐγὼ δ' ἐρῶ σοι δεινὸν οὐδέν Soph. 731. εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά Eur. 5. σοφὸς μὲν οὖν εἶ, Πριάμ', ὅμως δέ σοι λέγω Eur. 48. ὡς σοὶ τὰς τύχας μὲν ἀσθενεῖς ἔδωχ' ὁ δαίμων Eur. 140. οὐδὲ γὰρ λάθρᾳ δοκῶ - σοὶ Ζῆν' ἐς εὐνὴν ὥσπερ ἄνθρωπον μολεῖν Eur. 210, 3. σοὶ δ' εἶπον, ὦ παῖ Eur. 233. ἓν δέ σοι μόνον προφωνῶ, μὴ ἐπὶ δουλείαν ποτὲ ζῶν ἑκὼν ἔλθῃς παρὸν σοὶ κατθανεῖν ἐλευθέρῳ Eur. 245, 1. 2. κοὐ μυσαρά σοι ταῦτ' ἐστίν Eur. 266, 3. ἀλλά σοι λέξαι θέλω Eur. 292, 6. συμμαρτυρῶ σοι Eur. 319. βούλομαι δὲ σοί, τέκνον - παραινέσαι Eur.

362. παραινῶ σοὶ τὸ λῷστον Eur. 440. τήνδ' ἐγὼ δίδωμί σοι πληγήν Eur. 456. μή σοι τύραννος λαμπρὸς ἐξ ἀστοῦ φανῇ Eur. 626, 5. πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον Eur. 687, 4. κακός τίς ἐστι προξένῳ σοὶ χρώμενος Eur. 721. πότνια, σοὶ τάδ' ἐγὼ νυμφεῖ' ἀείδω Eur. 781, 18. ὃ δ' αὐτὸς αὑτὸν ἐμφανιεῖ σοι λέγων Eur. 797, 4. πόνοι δὲ κἀν σοὶ καὶ φθοραὶ πολλαὶ βίου ἔνεισι Eur. 813, 2. οὔ σοι παραινῶ Eur. 874. σοὶ δ' ἕγωγε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι Eur. 909, 11. σοὶ τῷ πάντων μεδέοντι χοὴν πέλανόν τε φέρω Eur. 912. εὔξῃ τοιοῦτον ἄνδρα σοι παρεστάναι Eur. 956. πότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω ἢ σκληρ' ἀληθῆ Eur. 1036. σοὶ δ' εἰς λόγους μολών Neophr. 1, 4 p. 730. εἰ δ' ἀξιοῖς σοι μηδὲν ἀλγεινόν ποτε μηδὲν ἔσεσθαι Dionys. 2 p. 793. παρακελεύομαι δὲ σοὶ τεθηγμένῳ νῦν Theod. 9, 2 p. 804. θυμοῦ χωρὶς ἔνδεξαι λόγους οὓς σοὶ κομίζω Mosch. 5, 2 p. 813. νῦν σοι πρὸς ὄψιν θυμὸς ἡβάτω Sosiph. 2 p. 820. ἰδὼν δέ σοι λέγω Thesp. 2 p. 832. ἴδε σοὶ σπένδω κναξζβὶ τὸ λευκὸν - ἴδε σοὶ μέλιτι χθύπτην τυρὸν μίξας ἐρυθρῷ κατὰ τῶν σῶν - τίθεμαι βωμῶν ἁγίων. ἴδε σοὶ βρομίου [αἴθοπα] φλεγμὸν λείβω Thesp. 4, 1. 3. 6 p. 833. ἡ δεῦρ' ὁδός σοι τί δύναται adesp. 106. ἐπὶ γὰρ Ὀρφείαις μὲν ᾠδαῖς εἵπετο δένδρεα καὶ θηρῶν ἀνόητα γένη, σοὶ δὲ καὶ χθὼν πᾶσα καὶ πόντος adesp. 129, 9. σοὶ Φοῖβε μούσαις τε σύμβωμοι adesp. 143. οὐ μέτεστί σοι λόγου adesp. 304. — ὄρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ Aesch. 95. μητρός, ἥ σ' ἐγείνατο Aesch. 175, 2. εὐλαβοῦ στρόμβον καταιγίζοντα, μή σ' ἁναρπάσῃ Aesch. 195, 3. πέπρωται γάρ σε καὶ βέλη λιπεῖν ἐνταῦθα Aesch. 199, 3. ἰδὼν δ' ἀμηχανοῦντά σ' ὁ Ζεὺς οἰκτιρεῖ Aesch. 199, 6. ἐξευλαβοῦ δὲ μή σε προσβάλῃ στόμα πέμφιξ Aesch. 206. ὦ πούς, ἀφήσω σε Aesch. 254. ἐρωδιὸς γὰρ ὑψόθεν ποτώμενος ὄνθῳ σε πλήξει Aesch. 275, 2. πρὶν ἂν στάλαγμοῖς αἵματος χοιροκτόνου αὐτός σε χράνῃ Ζεὺς Aesch. 327, 2. εἶθ' εὖ φρονήσαντ' εἰσίδοιμί πως φρενῶν ἐπήβολον καλῶν σε Soph. 104, 2. ἐνήλατα ξύλα τρίγομφα διατορεῦσαί σε δεῖται Soph. 293, 2. διὰ ψήκτρας σ' ὁρῶ ξανθὴν καθαίρονθ' ἵππον αὐχμηρᾶς τριχός Soph. 434. χιτών σ' ἄπειρος ἐνδυτήριος κακῶν Soph. 483. τάχ' ἂν κεραυνία πέμφιξ *σε βροντῆς - βάλοι Soph. 495, 2. πολλά σε ζηλῶ βίου Soph. 525. Λιγυστικὴ τε γῆ σε δέξεται Soph. 541, 3. χρῆσται δέ σ' ἐνθένδ' αὖθις Soph. 542. πολλὰ καὶ μαθεῖν σε δεῖ καὶ πόλλ' ἀκοῦσαι Soph. 632. γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ Soph. 633. οὐ μέμφομαί σε Soph. 771. εἰ δεινὰ δεινὰ καὶ παθεῖν σε δεῖ Soph. 877. ἀποφανῶ *σε Soph. 919. ποίαν σε φῶμεν γαῖαν ἐκλελοιπότα πόλει ξενοῦσθαι τῇδε Eur. 1. τί σε μάτηρ - ὠνόμαζεν Eur. 2. ἆρ' ἔτυμον φάτιν ἔγνων, Αἴολε, σ' εὐνάζειν τέκνα Eur. 17, 2. ὅθεν δὲ νικᾶν χρῆν σε, δυστυχεῖς, ἄναξ· ὅθεν δέ σ' οὐ χρῆν, εὐτυχεῖς Eur. 47, 1. 2. χρόνος δὲ δείξει ‹σ'› ὡ τεκμηρίῳ

μαθὼν ἢ χρηστὸν ὄντα γνώσομαί σ' ἢ κακόν Eur. 60, 1. 2. προσαυδῶ σὲ τὰν ἐν ἄντροις Eur. 118. ἄνοικτος ὃς τεκὼν σὲ τὴν πολυπονωτάτην βροτῶν μεθῆκεν Ἅιδᾳ Eur. 120. ὦ παρθέν', οἰκτίρω σὲ κρεμαμένην ὁρῶν Eur. 127. ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσῃ μοι χάριν Eur. 129. ἀφαιρηθήσῃ χάριτας αἷς τιμῶσί σε Eur. 136, 7. ὅ σε φυλάξασθαι χρεών Eur. 141, 3. ἀμελεῖς ὢν σε ‹φροντίζειν ἐχρῆν› Eur. 185. ὁμολογῶ δέ σε ἀδικεῖν Eur. 265. τιμή σ' ἐπαίρει τῶν πέλας μεῖζον φρονεῖν Eur. 293. οὔτε μήτηρ ἡδονὰς τοίας ἔχει, οὐ παῖδες ἀνθρώποισιν - οἵας σὺ χοί σὲ δώμασιν κεκτημένοι Eur. 324, 4. ταῦτά σε σκοπεῖν χρεών Eur. 332, 8. καὶ τὴν τεκοῦσαν καὶ σὲ δύο θ' ὁμοσπόρω σώσει Eur. 360, 36. ὦ πατρίς, εἴθε πάντες οἳ ναίουσί σε οὕτω φιλοῖεν ὡς ἐγώ· καὶ ῥᾳδίως οἰκοῖμεν ἄν σε Eur. 360, 53. 55. νομίζειν χρή σε καὶ τοὐναντίον Eur. 396, 2. τί δ' ἦν λυθείς με διαβάλῃς, παθεῖν σε δεῖ Eur. 435. εἰ γάρ σ' ἔμελλεν, ὡς σὺ φῄς, κτείνειν πόσις, χρῆν καὶ σὲ μέλλειν Eur. 451, 1. 2. μισῶ γυναῖκα .. ἐκ πασῶν δὲ σέ Eur. 528. πάλαι πάλαι δή σ' ἐξερωτῆσαι θέλων Eur. 579. σὲ τὸν αὐτοφυᾶ Eur. 593. διδάξαι δ' ὦ τέκνον σε βούλομαι Eur. 603. πέπονθεν οἷα καὶ σὲ καὶ πάντας μένει Eur. 649. τί γὰρ λέγων μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν Eur. 666, 2. χαίρω σέ τ', ὦ βέλτιστον Ἀλκμήνης τέκος, .. τόν τε μιαρὸν ἐξολωλότα Eur. 673. σὲ δ' εἰσορῶν πᾶς τις δέδοικεν Eur. 689, 2. ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν Eur. 718. πέρᾳ γὰρ οὐ θέμις λαβεῖν σε Eur. 773, 3. πέποιθα γάρ σε μὴ ψευδῆ λέγειν Eur. 773, 9. τί δῆτα καὶ σὲ κωλύει ‹λαβεῖν› κέρδος Eur. 794, 3. τρεῖς εἰσὶν ἀρεταὶ τὰς χρεών σ' ἀσκεῖν Eur. 853. ἀλλ' αἰθὴρ τίκτει σε, κόρα Eur. 877. αὕτη τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς Eur. 898, 4. Ἑστίαν δέ σ' οἱ σοφοὶ βροτῶν καλοῦσιν Eur. 944. ἐχρῆν μὲν οὓς ἐγὼ λόγους λέγω, τούτους λέγειν σε· καὶ γὰρ ἁρμόζει φρονεῖν σὲ μᾶλλον ἢ ἐμέ Eur. 953, 2. 3. ὅτ' ἦν ἐγὼ παῖς, τότε σε χρῆν ζητεῖν ἐμοὶ ἄνδρ' ᾧ με δώσεις Eur. 953, 34. χάριν δικαίαν - αἰτῶ σε ταύτην Eur. 953, 42. μηδ' εὐτύχημα μηδὲν ὧδ' ἔστω μέγα, ὅ σ' ἐξεπαρεῖ μεῖζον ἢ χρεὼν φρονεῖν Eur. 963, 2. οὗτοι προσελθοῦσ' ἡ Δίκη σε, μὴ τρέσῃς, παίσει πρὸς ἦπαρ Eur. 979. τὸ μὴ εἰδέναι σὲ μηδὲν ὧν ἁμαρτάνεις ἔκκαυμα τόλμης ἱκανόν ἐστι Eur. 1031. εὖ γὰρ τόδ' ἴσθι, κεῖ σ' ἐλάνθανεν πάρος Eur. 1033. δεῖ πυνθάνεσθαι γάρ *σε νῷν χἠμᾶς σέθεν Eur. 1063. ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος, τὸ μὴ οὐ σὲ μᾶτερ προσφιλῆ νέμειν ἀεί Eur. 1064, 2. χρυσοῦ σὲ πλήθει, τούσδε δ' οὐ χαίρειν χρεών Eur. 1069. ἐλπίδ' ἡδονῆς ἔχεις, καὶ πᾶς τις εἰς σὲ βούλετ' ἀνθρώπων μολεῖν Eur. 1080, 2. τοία σε μοῖρα σῶν κακῶν ἔργων μένει Neophr. 3, 3 p. 731. θοίνῃ σε πρῶτον τέρψομεν - μύρῳ σε χρίσω Ach. 17, 1. 3 p. 750. σὲ τῶν πάντων δεσπότην λέγω Philocl. 1 p. 759. εἰ μὲν φράσω τἀληθές, οὐχί σ' εὐφρανῶ· εἰ δ' εὐφρανῶ τί σ', οὐχὶ τἀληθὲς φράσω

Agath. 12, 1. 2 p. 766. χαίρω σ' ὁρῶν φθονοῦντα Carc. 8 p. 800. τίς δ' ἄν σε νύμφη, τίς δὲ παρθένος νέα δέξαιτ' ἄν adesp. 10. πρὸς σὲ πελάζω adesp. 25. οὐκ ἀξιῶ μικρῶν σε, μεγάλα δ' οὐκ ἔχω adesp. 31. ὦ κλεινὸν ὄμμα, νῦν πανύστατόν σ' ἰδὼν λείπω φάος τόδε adesp. 45. ἄκων κτενῶ σε, τέκνον adesp. 73. ἐγώ σ' ἔθηκα δοῦλον ὄντ' ἐλεύθερον adesp. 74. κακός σε δαίμων καὶ κακὴ τύχη λάβοι adesp. 92. κακὸν κακῶς σέ γ' ἀπολέσειαν οἱ θεοί adesp. 123. εἰ μή σε Λητὼ καλλίπαις ἐγείνατο adesp. 178. πολλοί σε μισήσουσιν, ἢν σαυτὸν φιλῇς adesp. 180. ἀλλά σ' αἰδεσθεῖεν οἱ θεοί adesp. 217. οὔτ' εἶπον οὐδὲν πρὸς ⟨σὲ⟩ κῦρον, ὦ γύναι adesp. 226. ἔξεστ' ἐρωτᾶν πότνιά σ' ἢ σιγὴν ἔχω adesp. 282. τί δῆτα θύειν δεῖ σε κατθανούμενον adesp. 350. μητρὸς ἥ σ' ἐγείνατο adesp. 358, 2. ὦ τλῆμον ἀρετή, λόγος ἄρ' ἦσθ'· ἐγὼ δέ σε ὡς ἔργον ἤσκουν adesp. 374. πολλοῦ σε θνητοῖς ἄξιον τίκτει πατήρ adesp. 410. — ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας κύκλῳ περίστητε Aesch. 379. ὑμεῖς μὲν οὐκ ἄρ' ἦστε τὸν Προμηθέα Soph. 316. ἐξῆλθον ὑμῶν ἱκέτις ἡβώντων τροφὸς παίδων Ion. 54 p. 743. νοῦς ἄρ' ὑμῖν οὐκ ἔνι Eur. 710, 2. ἐγὼ μὲν ὑμῖν, ὡς ὁρᾶτε, στρηνιῶ Lycophr. 1, 2 p. 817. ὡς ἔστιν ὑμῖν τοῦτ' ἔαρ παντὸς βίου Pomp. 1, 5 p. 831. οὐ πώποθ' ὑμᾶς συμβαλεῖν ἐπίσταμαι Soph. 817. μηδ' ἀθυμία σχέθῃ τις ὑμᾶς Eur. 87, 2. οἶμαι δ' ἂν ὑμᾶς Eur. 286, 13. ὦ θεοί, μαρτύρομαι ἐγὼ τάδ' ὑμᾶς adesp. 458, 12.

σύαγρος: νυμφῶν ὑπὸ σπήλυγγα τὸν αὐτόστεγον σύαγρον ἐκβόλειον εὔθηρον κλύειν Dionys. 1, 2 p. 793.

Σύαγρος: σὺ δ', ὦ Σύαγρε, Ἡλιωτικὸν τρέφος Soph. 158.

σύγγαμος: οἰκτρῶς θανεῖν μ' ἄνωγε σύγγαμος πατήρ adesp. 8.

συγγελῶ: ἀκόλαστα δ' ἤθη λαμπρὰ συγγελᾶν μόνον μίσει Eur. 362, 22.

συγγένεια: οἳ μὲν ἢ παίδων πέρι ἢ συγγενείας εἵνεκ' οὐκ ἀπώλεσαν κακὴν λαβόντες Eur. 497, 3.

συγγένειος: Ζεὺς συγγένειος Eur. 1000.

συγγενής: τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίσταται Aesch. 305. κέρδους δ' ἔκατι καὶ τὸ συγγενὲς νοσεῖ Eur. 566, 2. ὁ Τυδεὺς ἀνδρὸς αἷμα συγγενὲς πράξας Soph. 731, 3. ἔνθεν αἷμα συγγενὲς φυγὼν Τυδεὺς – ᾤκησεν Ἄργος Eur. 558, 2. πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ συγγενές (al. δυστυχές) Eur. 641, 3.

συγγηράσκω: οἵσι συγγηράσομαι Eur. 1058, 2.

συγγιγνώσκω: σύγγνωτε κἀνάσχεσθε σιγῶσαι Soph. 618.

συγγνώμη: ὅστις δὲ πλεῖστον μισθὸν εἰς χεῖρας λαβὼν κακὸς γένηται, τῷδε συγγνώμη μὲν οὔ Eur. 297, 3.

συγγνώμων: συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δόκει, ὅταν τις ὅρκῳ θάνατον ἐκφυγεῖν θέλῃ Eur. 645.

συγγνωστός: συγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν Soph. 326, 3.

σύγγονος: ὦ γῆ Φεραία, χαῖρε,

σύγγονόν θ' ὕδωρ Ὑπέρεια κρήνη Soph. 825.

συγκεράννυμι: πενία δὲ συγκραθεῖσα δυσσεβεῖ τρόπῳ ἄρδην ἀνεῖλε καὶ κατέστρεψεν βίον Soph. 858.

συγκλινής: τὸ συγκλινές τ' ἐπ' Αἴαντι Aesch. 84.

συγκλῶ: ἴων τε μελανόφυλλα συγκλῶσαι πτερὰ κρόκον τε Chaer. 14, 13 p. 786.

(σύγκοινος v. σύγκωμος.)

σύγκοιτος: τήν τ' ἐναύλιον ὠθῶν τις ἐξέκλαγξε σύγκοιτον φίλην adesp. 418, 7.

σύγκολλος: εὖ γὰρ καὶ διχοστατῶν λόγος σύγκολλά τ' ἀμφοῖν ἐς μέσον τεκταίνεται Soph. 783, 2.

σύγκρασις: οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά, ἀλλ' ἔστι τις σύγκρασις Eur. 21, 4.

συγκρύπτω: σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας Eur. 683.

σύγκωμος: μιξοβόαν πρέπει διθύραμβον ὁμαρτεῖν σύγκωμον (σύγκοινον ll.) Διονύσῳ Aesch. 355, 3.

συγχέω: κάρα τε γάρ σου συγχέω κόμαις ὁμοῦ Eur. 384.

συγχορδία: πολὺς δὲ Φρὺξ τρίγωνος ἀντίσπαστά τε Λυδῆς ἐφυμνεῖ πηκτίδος συγχορδίᾳ Soph. 378, 2.

σύγχορτος: Οἰνόῃ σύγχορτα ναίω πεδία ταῖς τ' Ἐλευθεραῖς Eur. 179, 2.

σύγχυσις: οὐκ ἔστι τὰ θεῶν ἄδικ', ἐν ἀνθρώποισι δὲ κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει Eur. 606, 2.

συγχωρῶ: ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν βροτῶν Eur. 965.

συζυγία: ξανθᾶν πώλων συζυγίαι Eur. 773, 30.

συζυγῶ: ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη Aesch. 381.

συζῶ: ἀνθρωποειδὲς θηρίον ὕδατι συζῶν Aesch. 26.

σῦκον: κρέασι βοείοις χλωρὰ σῦκ' ἐπήσθιεν Eur. 907.

συλλαβή: ἄφωνα φωνήεντα συλλαβὰς τιθεὶς ἐξηῦρον ἀνθρώποισι γράμματ' εἰδέναι Eur. 578, 2.

συλλαμβάνω: τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει (al. ξυλλαμβάνει) Eur. 432, 2. εἶα συλλάβεσθ' ἄγρα‹ς› Eur. 495, 8. βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ Eur. 362, 5. τὸ θεῖον τὴν δίκην τε συλλαβών Eur. 584, 2. ἐν ‹αὐτὸς› αὑτῷ πάντα συλλαβὼν ἔχει Eur. 862, 2. ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει Chaer. 23 p. 788. cf. ξυλλαμβάνω.

συλλέγω: τί - τἀκχυθέντα συλλέγεις ἀλγήματα Eur. 507, 2. εἴ τις ἀργὸς ὢν θεοῖς εὔχοιτο καὶ μὴ χειρὶ συλλέγοι βίον Eur. 286, 14. συνέλεγον τὰ ξύλα Soph. 205.

σύλλογος: τῶνδ' ἕκατι σύλλογον ποιούμενοι Eur. 282, 14. ἐχρῆν γὰρ ἡμᾶς σύλλογον ποιουμένους τὸν φύντα θρηνεῖν Eur. 449. λαμπροὶ δ' ἐν αἰχμαῖς Ἄρεος ἔν τε συλλόγοις Eur. 16.

συλῶ: τοῦτον νομίζω κἂν θεῶν συλᾶν βρέτη Eur. 328, 3.

συμβαίνω: νομίζειν χρή σε - ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς Eur. 396, 3. ἤν τι συμβῇ δυσχερές Eur. 963, 3.

συμβάλλω: ἔχθραν μεγίστην σοῖσι συμβάλλων τέκνοις Eur. 338, 3. τοῖς μὴ δικαίοις δ' οὐδὲ συμβάλλειν χρεών Eur. 759, 4. οὐ πώποθ' ὑμᾶς

συμβαλεῖν ἐπίσταμαι Soph. 817. Πυθίαν γὰρ ὅσσαν - συμβαλεῖν ἀμηχανῶ Neophr. 1, 3 p. 730.

συμβολή: ἔνθα συμβολὰς τριῶν κελεύθων Ποτνιάδων ἠμείβομεν Aesch. 173, 2.

σύμβολος v. ξύμβολος.

συμβουλία: γονέων τὰ τέκνα σῴζουσιν αἱ συμβουλίαι Theod. 14 p. 806.

σύμβωμος: σοὶ Φοῖβε μούσαις τε σύμβωμοι adesp. 143.

συμμαρτυρῶ: συμμαρτυρῶ σοι Eur. 319.

σύμμαχος: οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη Soph. 374. ἡ γὰρ σιωπὴ τῷ λαλοῦντι σύμμαχος Soph. 842, 2. γυνὴ γυναικὶ σύμμαχος πέφυκέ πως Eur. 108. οὐδὲ συμμάχους ἄλλους γενέσθαι φήμ' ἂν ἐνδικωτέρους Eur. 345, 2. cf. ξύμμαχος.

συμμαχῶ: ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη Eur. 598, 3.

σύμμετρος: σχεδὸν χαμεύνῃ σύμμετρος Κορινθίας παιδός Eur. 676.

συμμιγής: ἐνῆν δὲ παγκάρπεια συμμιγὴς ὁλαῖς Soph. 366, 3.

συμμίγνυμι: ὅταν δὲ συμμιχθῆτον ἐς ταὐτὸν δύο Eur. 898, 11.

σύμμικτος: σύμμικτον εἶδος κἀποφώλιον τρέφος Eur. 996. σύμμικτον ὥστε γλεῦκος ὑλιστήριον adesp. 420. κτᾶσθε πλοῦτον πάντοθεν θηρώμενοι, σύμμικτα μὴ δίκαια καὶ δίκαι' ὁμοῦ Eur. 419, 3.

συμπαθής: ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή Eur. 164. προσίκτην θαλλὸν ἠγκαλισμένος ἔστειχεν εἰς γῆν, ὄμμα συμπαθὲς φέρων Mosch. 9, 4 p. 816.

συμπαραινῶ: ὁμορροθῶ, συνθέλω, συμπαραινέσας ἔχω Soph. 449, 2. καλῶς κακῶς πράσσοντι συμπαραινέσαι Soph. 666, 3.

σύμπας: Ἀσία μὲν ἡ σύμπασα κλῄζεται, ξένε Soph. 377. cf. ξύμπας.

συμπίπτω: φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως Eur. 572, 2.

συμπίτνω: ἵν' οὔτ' ἄγαν πῦρ οὔτε χεῖμα συμπίτνει Eur. 981, 3.

συμπλέκω: συμπλέκοντες σπέρμα καὶ γάμους τέκνων Eur. 326, 5. τῇ παντομόρφῳ Θέτιδι συμπλακείς ποτε Soph. 561, 2.

συμπολίτης Eur. 390.

συμπότης: θέρμος, πενήτων καὶ τρικλίνου συμπότης Lycophr. 2, 5 p. 817.

συμφέρω: οὗτος σοφὸς πέφυκε πρὸς τὸ συμφέρον Eur. 634, 2. κἂν σοφὸς ὑπάρχῃ κἂν λέγῃ τὸ συμφέρον adesp. 119, 2. cf. ξυμφέρω.

συμφλέγω: μή τιν' Ἥφαιστος χόλον δόμοις ἐπεισφρεὶς μέλαθρα συμφλέξῃ πυρί Eur. 781, 50.

συμφορά: εὔδουσα δ' Ἰνοῦς συμφορὰ χρόνον πολὺν νῦν ὄμμ' ἐγείρει Eur. 398. συμφορὰ δ' ὃς ἂν τύχῃ κακῆς γυναικός Eur. 1056, 2. δεινή τις ἀνδρὶ καὶ γυναικὶ συμφορὰ δούλοις γενέσθαι adesp. 376. καὶ πόλλ' ἀμιλληθέντα μαρτύρων ὕπο τἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι Eur. 812, 3. ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο δειναί Eur. 1038. Πενθεὺς ἐσομένης συμφορᾶς ἐπώνυμος Chaer. 4 p. 783. οὕτως πέπονθα καί με *συμφορᾶς ἀεὶ βαθεῖα κηλὶς ἐκ βυθῶν ἀναστρέφει adesp. 110, 3. ἴσην γὰρ

ἀνδρὶ συμφορὰν εἶναι λέγω τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων ἀλόχου τε κεδνῆς Eur. 543, 2. τὸ δ' ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν εἰς συμφορὰν καθῆκε πολλὰ δὴ βροτούς Eur. 1032, 2. τὰ θεῖα πυργοῦσιν αἱ κακαί τε συμφοραί Eur. 286, 15. χοὐτός γ' ἀνὴρ ἄριστος αἵ τε συμφοραὶ ἥσσον δάκνουσιν Eur. 572, 3. τοῖς δὲ συμφοραὶ σκληραὶ πάρεισιν εὐσεβοῦσιν εἰς θεούς Eur. 684, 2. ἀδημονοῦντα συμφοραῖς ἐλοιδόρουν Eur. 816, 3. χρήμασιν γὰρ εὐτυχῶ· ταῖς συμφοραῖσι δ', ὡς ὁρᾷς, οὐκ εὐτυχῶ Eur. 143, 2. ἀλλ' εὖ φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ Eur. 98. σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας πάντες διαθρεῖν ἢ τύχας τὰς οἴκοθεν Eur. 102. τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων οὐπώποθ' ὕβρισα Eur. 130. θάρσος δὲ πρὸς τὰς συμφορὰς μέγα σθένει Eur. 302. τῷ θράσει τὰς συμφορὰς ζητοῦσ' ἀμαυροῦν κἀποκρύπτεσθαι κακά Eur. 416. εἰς φροντίδας νοῦν συμφορᾶς τ' ἐβαλλόμην Eur. 964, 2. ἵνα τὰς συμφορὰς λάβωσιν ἐπιφανεστέρας adesp. 82, 3. ὅλοιο θνητῶν ἐκλέγων τὰς συμφορὰς adesp. 388. μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει adesp. 550. cf. ξυμφορά.

σύμφορος: οὔτ' ἐν χεροῖν τὸ πῆγμα σύμφορον μένειν Soph. 153, 7.

σύν: σὺν κόροις τε καὶ κόραις Aesch. 43, 3. σὺν δόρει στρατόν Aesch. 129. χειμῶνι σὺν παλινσκίῳ Soph. 267. σὺν θεῷ εἰπεῖν Soph. 438. σὺν σάκει δὲ κωδωνοκρότῳ παλαισταί Soph. 775, 2. ἔασον Ἀχοῖ με σὺν φίλαισιν γόου κόρον λαβεῖν Eur. 118, 3. οὐ γὰρ οἱ κακῶς πεπραγότες σὺν ταῖς τύχαισι τοὺς λόγους ἀπώλεσαν Eur. 165, 2. σὺν ὄχλῳ δ' ἀμαθίᾳ πλεῖστον κακόν Eur. 200, 4. σὺν (al. ἐν) μυρίοισι τὰ καλὰ γίγνεται πόνοις Eur. 236. ζῶσίν τε σὺν κακοῖσιν Eur. 330, 8. ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ στρατηλάτας χρή, τῶν θεῶν δὲ μὴ βίᾳ Eur. 352. τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ τῇ σῇ πονηροὺς κλῇθρον εἰργέτω στέγης Eur. 362, 19. σύν τοι θεῷ χρὴ τοὺς σοφοὺς ἀναστρέφειν βουλεύματ' ἀεὶ πρὸς τὸ χρησιμώτερον Eur. 490. ἐγὼ δὲ πατρὸς αἰμ' ἐτιμωρησάμην σὺν τοῖς ἐφηβήσασι τῶν ὁλωλότων Eur. 559, 2. τέρπεται σὺν ματρὶ φίλᾳ τυμπάνων ‹ἐπ'› ἰαχαῖς Eur. 586, 3. Διόνυσος - χορεύων παρθένοις σὺν Δελφίσιν Eur. 752, 3. ἔπειτα παῖδας σὺν πικραῖς ἀλγηδόσιν τίκτω Eur. 908, 2. σὺν τοῖσι δεινοῖς αὔξεται κλέος βροτοῖς Eur. 1051. Ἄρης ὁ λῃστὴς σὺν δόρει σὺν ἀσπίδι Ach. 29 p. 753. ἐν χειμῶνι δ' οἴχεται σὺν τῷ ἀνέμῳ κεκαρμένη Chaer. 41, 2 p. 791. σὺν αἴσι δόξῃ πρόσθε καὶ γένει μέγας Ἄργους δυνάστης - ἔστειχεν εἰς γῆν Mosch. 9 p. 816. οὐκ ἔστιν, ὦ μάταιε, σὺν ῥᾳθυμίᾳ τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν Philisc. 1 p. 819. σφάλλειν σὺν ἐχθροῖς καὶ φίλους κέρδος φέρει adesp. 301. ἐρρέτω φίλος σὺν ἐχθρῷ adesp. 362. cf. ξύν.

συνάγω: σὺ δ' αὖθι μίμνων τήνδ' ἀν' Ἰδαίαν χθόνα ποίμνας Ὀλύμπου συναγαγὼν θυπόλει Soph. 479, 2.

συναινῶ v. ξυναινῶ.

συναλγῶ: κανθούς τ' ἐξέτηξε

δακρύοις τύχαις συναλγῶν Mosch. 9, 10 p. 816. συνάλγησον, ὡς ὁ κάμνων δακρύων μεταδοὺς ἔχει κουφότητα μόχθων Eur. 119.

συνάορος v. ξυνάορος.

συναπορῶ: τοῦ συναπορηθῆναι δὲ μὴ λαβεῖν μέρος Eur. 953, 26.

συνάπτω: παῖδα δ' Ἀδράστου λαβὼν συνῆψε γένναν Eur. 558, 5. cf. ξυνάπτω.

συναρπάζω: συναρπασθεῖσα βουκόλων ὕπο Soph. 598, 2.

συναυλία v. ξυναυλία.

σύνδειπνος: σύνδειπνος ἢ ἐπίκωμος ἢ μαζαγρέτας Ἅιδου τραπεζεύς Aristiae 3 p. 727.

συνδέω: τούτους δὲ πλάγιος διαμέτρου συνδεῖ κανών Theod. 6, 3 p. 803.

συνδιόλλυμι: φθόνος δ' - ἀπώλεσ' αὐτὸν κἀμὲ συνδιώλεσεν Eur. 551, 2.

σύνειμι: τοῖς δ' ἀτελέστοις τῶν τοῦδε πόνων μήτε συνείην Eur. 897, 7. ὦ πότνι' αἰδώς, εἴθε τοῖς πᾶσιν βροτοῖς συνοῦσα τἀναίσχυντον ἐξῃροῦ φρενῶν Eur. 436, 2. cf. ξύνειμι.

συνεκπονῶ: τοῖς ἐρῶσιν εὐτυχῶς συνεκπόνει (al. εὐμενὴς παρίστασο) μοχθοῦσι μόχθους ὧν σὺ δημιουργὸς εἶ Eur. 136, 3.

συνεκφέρω: πατέρα τε παισὶν ἡδέως συνεκφέρειν φίλους ἔρωτας - παῖδάς τε πατρί Eur. 339.

συνέμπορος: ἄψυχον ἄνδρα λαμβάνειν συνέμπορον adesp. 337.

συνέρχομαι: εὐνῇ συνελθεῖν λάθρᾳ πως ἠβούλετο Eur. 1132, 28.

συνετός: τὸ φρόνιμον εὐγένεια καὶ τὸ συνετὸν ὁ θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος Eur. 52, 9. ἅπαν τὸ λίαν συνετὸν ἐστ' ἐπίφθονον adesp. 531. πότερα γενέσθαι δῆτα χρησιμώτερον συνετὸν ἄτολμον ἢ θρασύν τε κἀμαθῆ Eur. 552, 2. cf. ξυνετός.

συνηρετῶ: ὄλβος αὐτοῖς - τυφλὸς συνηρετεῖ Eur. 776, 3.

συνθέλω: ὁμορροθῶ, συνθέλω, συμπαραινέσας ἔχω Soph. 449. ὃν μὴ τὸ θεῖον ὡς τὰ πολλὰ συνθέλει Eur. 150, 2.

σύνθημα: σύνθημ' ἐρωτῶν, ἄλλο μαστεύων χρέος adesp. 365.

συνθηρεύω: γῆν δέλεαρ ἔχοντες ⟨τήνδε⟩ συνθηρεύομεν Eur. 981, 5.

συνθνήσκω: κακοῖσι δὲ ἅπαντα φροῦδα συνθανόνθ' ὑπὸ χθονός Eur. 734, 3. θανόντι κείνῳ συνθανεῖν ἔρως μ' ἔχει Soph. 867.

σύνθρονος: ἦν δ' ὁ μὲν νόμος ταπεινός, ἡ βία δὲ σύνθρονος Διί Mosch. 6, 16 p. 814.

συνθύτης: μή μοι γένοιτο μήτε συνθύτης τοῖς θεοῖς μήτε Eur. 852, 4.

συνίημι: ἐς μέσον συνίεσαν adesp. 211. — οὐ ζῶσιν οἵ τι μὴ συνιέντες σοφόν Chaer. 24 p. 789. (cf. γιγνώσκω.) v. ξυνίημι.

συνίστημι: ἀθανάτου καθορῶν φύσεως κόσμον ἀγήρων, πῇ τε συνέστη καὶ ὅπῃ καὶ ὅπως Eur. 910, 6.

συννεάζω: συννεάζων ἡδὺ παῖς νέῳ πατρί Eur. 317, 6.

συννέφω: οὕτω δὲ θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ λαμπρᾷ γαλήνῃ, τῶν δὲ συννέφει πάλιν Eur. 330, 7.

συννοσῶ: νέοι νέοισι συννοσοῦσι τάφανῆ Eur. 160. σοὶ δ' ἔγωγε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι καὶ

κακῶν τῶν σῶν ξυνοίσω Eur. 909, 11. τὰ μὴ νοσοῦντα συννοσεῖν ἀναγκάσ⟨εις⟩ Ach. 45 p. 757.

συννοῶ: πάντα συννοοῦμεν ἐκπράξειν χερί Patrocl. 1, 5 p. 830.

σύνοιδα: ἡνίκ' ἄν τις ἐσθλὸς ὢν αὐτῷ συνειδῇ Soph. 845, 2. cf. ξύνοιδα.

συνοικίζω: μή με - ἀποστερήσῃς ἀνδρὸς ᾧ συνῴκισας Eur. 953, 40. cf. ξυνοικίζω.

σύνοικος: σοφῆς δὲ πενίας σκαιότητα πλουσίαν κρεῖσσον σύνοικόν ἐστιν ἐν δόμοις ἔχειν Crit. 5, 2 p. 774. cf. ξύνοικος.

συνοικῶ: ᾧ δ' ἄν ἐν δόμοις χρόνον συνοικῇ πλεῖστον Eur. 22, 5. μετὰ δ' ἡσυχίας πολιῷ γήρᾳ συνοικοίην Eur. 369, 2. πλοῦτος - ἡδὺς συνοικεῖν Chaer. 36, 4 p. 790.

συνόμνυμι v. ξυνόμνυμι.

συνομώνυμος: σαραβάκων κοπίδων συνομώνυμε Ach. 13, 2 p. 749.

συνοπάζομαι: συνοπάζεται δὲ πλῆθος οὐχ ὅσον δοκεῖς Soph. 344, 5.

συνουσία v. ξυνουσία.

συντείνω: αὗται δὲ συντείνουσιν εἰς βάσιν μίαν Theod. 6, 7 p. 803.

συντέμνω: μῦθος γὰρ Ἀργολιστὶ συντέμνειν βραχύς Soph. 424, 2. ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους Eur. 28, 2. πάντα τοι συντέμνεται Κύπριδι τὰ θνητῶν καὶ θεῶν βουλεύματα Soph. 855, 16.

συντήκω: κακὸς κακῷ δὲ συντέτηκεν ἡδονῇ Eur. 296, 2. πᾶσα γὰρ ἀγαθὴ γυνὴ ἥτις ἀνδρὶ συντέτηκε σωφρονεῖν ἐπίσταται Eur. 909, 3. ἥλιος - συνέστρεψεν κόμας μορφαῖς ἀναυξήτοισι συντήξας πυρός Theod. 17, 4 p. 806.

συντίθημι: ὄγμον θερίζει, τῇ μιᾷ δ' ἐν ἡμέρᾳ † δαίνυσί τ' ἔμπης συντίθησιν εἰς τέλος Sosith. 2, 11 p. 822. χειμῶνά τ' αὔξει συντιθεὶς πυκνὸν νέφος Eur. 330, 4. ὅστις - πάσας συντιθεὶς ψέγει λόγῳ γυναῖκας ἐξῆς, σκαιός ἐστι Eur. 657.

συντρέχω: συντρέχει δ' εἰς ἓν τόδε Eur. 580, 2. αὗται δὲ συντρέχουσιν εἰς μίαν βάσιν Eur. 382, 12. εἰ μὴ τέρμα συντρέχοι βίου Aesch. 362, 2.

σύντροφος: τὸ δὲ σύντροφον ἀδύ τι θνητοῖς ἐν βίῳ χωρεῖ Eur. 1046, 3.

συντυχία: πρίν τινα συντυχίαν ἢ κτεάτεσσιν ἐμοῖς ἢ σώματι τῷδε γενέσθαι Eur. 791, 2.

συνωρίς: ἄλλη συνωρὶς adesp. 198. cf. ξυνωρίς.

συοφόνος: ⟨λό⟩γχῃ πλατείᾳ συοφόνῳ δι' ἵππατος ⟨παίσ⟩ας Eur. 495, 29.

σῦριγξ: ῥοθεῖ δέ τοι σῦριγξ Ἰδαῖος ἀλέκτωρ Ion. 45 p. 741. σύριγγας δ' οὐριβάται κινοῦσιν ποίμνας ἐλάται Eur. 773, 27.

Σύρος: Κόλχος τε Χαλδαῖός τε καὶ Σύρων ἔθνος Soph. 581. Κίλιξ δὲ χώρα καὶ Σύρων ἐπιστροφαί adesp. 162.

σῦς: συὸς μέγιστον χρῆμ' ἐπ' Οἰνέως γύας ἀνῆκε Λητοῦς παῖς Soph. 369. τυφλὸς γὰρ - οὐδ' ὁρῶν Ἄρης συὸς προσώπῳ πάντα τυρβάζει κακά Soph. 754, 2. ἐπ' ὦμοις ἢ συὸς φέρων βάρος ἢ τὴν ἄμορφον λύγκα Eur. 863. ὦ Ζεῦ, γένοιτο καταβαλεῖν τὸν σῦν ἐμέ adesp. 188. *σῦν

κόψαντες adesp. 458, 4. πεταλίδων δέ τοι συῶν Ach. 8 p. 748.

συσκυθρωπάζω: ἡδὺ δ', ἢν κακὸν πάθῃ τι, συσκυθρωπάζειν πόσει ἄλοχον Eur. 909, 9.

συσπεύδω: φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός Aesch. 395.

συστέλλω: τά τοι μέγιστα πολλάκις θεὸς ταπεὶν' ἔθηκε καὶ συνέστειλεν πάλιν Eur. 716, 4.

σύστημα: ὑπηρετεῖ δ' αὐτῷ θάλασσα καὶ πέτραι καὶ πᾶσα πηγὴ χὕδατος συστήματα Aesch. 464, 8.

συστρέφω: ἥλιος - συνέστρεψεν κόμας μορφαῖς ἀναυξήτοισι συντήξας πυρός Theod. 17, 3 p. 806. εὐλαβοῦ στρόμβον καταιγίζοντα, μή σ' ἀναρπάσῃ δυσχειμέρῳ πέμφιγι συστρέψας ἄφνω Aesch. 195, 4.

σφαγεύς: δεινὸς σοφιστής, τῶν ἀγυμνάστων σφαγεύς adesp. 323.

σφαγή: σφαγὰς σφαγὰς οἰκτρά τ' ἀρκέσαι σᾶς δειρᾶς Eur. 781, 73. 74. σφαγὰς δὲ Δαναοῦ παρθένων Λυγκεὺς φυγών adesp. 454.

σφαδάζω: σὺ δὲ σφαδάζεις πῶλος ὡς εὐφορβίᾳ Soph. 764. εἰκὸς σφαδάζειν ἥν ἂν ὡς νεόζυγα πῶλον Eur. 821, 3. ὃ δ' ἐσφάδαζεν οὐκ ἔχων ἀπαλλαγάς Eur. 1020.

σφάζω: ἔλαφον - σφάζοντες αὐχήσουσι σὴν σφάζειν θυγατέρα Eur. 857, 2. 3. χαλκῷ δὲ μαρμαίροντες ἀλλήλων χρόα *σφάξειαν ἀμφὶ κτήμασιν τυραννικοῖς adesp. 458, 15. τὸ μὲν σφαγῆναι δεινόν, εὔκλειαν δ' ἔχει Eur. 854.

σφακελισμός Eur. 751.

σφαλερός: προστάτης θ' ἁπλοῦς πόλει σφαλερός Eur. 774, 3. ὦ πολύμοχθος βιοτὴ θνητοῖς, ὡς ἐπὶ παντὶ σφαλερὰ κεῖσαι Eur. 916, 2.

σφάλλω: πλεῖστα γὰρ σφάλλει βροτούς Eur. 31, 2. σφάλλει δ' ἐκείνους οὓς ἂν ὑψώσῃ τύχη adesp. 547, 13. ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν Soph. 193, 3. αἱ γὰρ εὖ τεθραμμέναι πλέον σφάλλουσιν οἴκους τῶν παρημελημένων Eur. 111, 3. πόλλ', ὦ τέκνον, σφάλλουσιν ἀνθρώπους θεοί Eur. 254. πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων σφάλλουσιν ἡμᾶς Eur. 972, 2. ὁρᾷς - ὡς μικρὰ τὰ σφάλλοντα Eur. 420, 2. σφάλλειν σὺν ἐχθροῖς καὶ φίλους κέρδος φέρει adesp. 301. πᾶσιν γὰρ ἀνθρώποισιν - ἢ καὶ παραυτίκ' ἢ χρόνῳ δαίμων βίον ἔσφηλε Eur. 273, 3. ἔσφηλέ τ' εἰς γῆν Eur. 495, 26. οὐ τῇ φρονήσει, τῇ τύχῃ δ' ἐσφάλμεθα Agath. 20 p. 767. αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις αἶσχος γυναιξί Eur. 493, 2. λέγων τἀληθὲς οὐ σφαλῇ ποτε Soph. 529. ὦ παῖ, φυλάσσου μὴ σφαλῇς adesp. 120. ὃς γὰρ ἂν σφαλῇ εἰς ὀρθὸν ἔστη Eur. 262, 2. (cf. ἁμαρτάνω.) ἢν σφαλῶσι χρημάτων Eur. 201, 2. σφαλεὶς γὰρ οὐδεὶς εὖ βεβουλεῦσθαι δοκεῖ Chaer. 26 p. 789. τοῦ καλοῦ δὲ μὴ σφαλεὶς δίπλαζ' ἕκαστον κῶλον ἐν τάχει τάφου adesp. 166, 2.

σφάλμα: τὰ τῶν τεκόντων σφάλματ' εἰς τοὺς ἐκγόνους οἱ θεοὶ τρέπουσιν Eur. 980.

σφε: ἔπειτα γῆρας λαμβάνει σφ' (λαμβάνεις l.) Αἰγύπτιον Soph. 363, 3. εἰ θεόν σφε χρὴ καλεῖν Eur. 1073, 3. κοὔπω σφιν ἐξίτηλον αἷμα δαιμό-

νων Aesch. 162, 4. ἐπεὶ οὔ σφιν πονηρόν ἐστιν adesp. 489, 3.

σφηκιά: ἢ σφηκιὰν βλίσσουσιν εὑρόντες τινά Soph. 710.

σφηκός: τετράπτεροι γὰρ νῶτον ἐν δεσμώμασιν σφηκοὶ κελαινόρινες Soph. 26, 2.

σφηκῶ: σφηκῶσαι Phryn. 12 p. 723.

σφήκωμα: κρᾶτα φρίξας εὐλόφῳ *σφηκώματι Soph. 317, 2.

Σφίγξ: Σφίγγα δυσαμερίαν πρύτανιν κύνα Aesch. 236. cf. Eur. 178.

σφίν v. σφέ.

σφόδρα: ἦ που σφόδρα θυμοῖ Ach. 11, 2 p. 749.

σφοδρῶς: εἰς θαῦμ' ἐσῄει κἀξεπέπληκτο σφοδρῶς (σαφῶς l.) Eur. 1132, 36.

σφραγίζω: μόνη δὲ κλῄθρ' ἐγὼ σφραγίζομαι Eur. 781, 10.

σφραγίς: πατὴρ δέ μιν κλήσας ἐν παρθενῶσι σφραγῖσι δέμας φυλάσσει Eur. 1132, 59.

σφράγισμα: ὅστις δὲ μοχλοῖς καὶ διὰ σφραγισμάτων σῴζει δάμαρτα - μάταιός ἐστι Eur. 1063, 9.

σφριγῶ: ἥβῃ σφριγῶντες ἐμπορεύονται Ach. 4, 2 p. 747.

σφῦρα: σφύρας δέχεσθαι κἀπιχαλκεύειν μύδρους Aesch. 307.

σχάζω: ὅταν πυρὸς γέμοντα θησαυρὸν σχάσῃ χρυσωπὸς αἰθήρ Soph. 1027, 2.

σχεδόν: σχεδὸν παρ' αὐτοῖς κρασπέδοις Εὐρωπίας Eur. 381. σχεδὸν χαμεύνῃ σύμμετρος Κορινθίας παιδός Eur. 676.

σχεθεῖν v. ἔχω p. 264 sq.

σχελίς: σχελίδες Aesch. 443.

σχῆμα: γέροντες οὐδέν ἐσμεν ἄλλο πλὴν ψόφος καὶ σχῆμα Eur. 25, 3. Τευθράντιον δὲ σχῆμα Μυσίας χθονός Eur. 476. οὗτοι πρέπει τὸ σχῆμα· τοὺς αὐλοὺς μέθες adesp. 381. τὸ σχῆμα (πρόσχημα ll.) σεμνὸς κοὐ ταπεινός Eur. 688, 2. ἀλλ' ἔμοιγ' εἴη τέκνα ⟨ἃ⟩ καὶ μάχοιτο καὶ μετ' ἀνδράσιν πρέποι, μὴ σχήματ' ἄλλως ἐν πόλει πεφυκότα Eur. 360, 27. φωτὸς κακούργου σχήματ' ἐκμιμούμενον - Ζῆνα Eur. 210, 2.

σχιστός: ἐπῆμεν τῆς ὁδοῦ τροχήλατον σχιστῆς κελεύθου τρίοδον Aesch. 173, 2.

σχοίνινος: σχοινίνας γὰρ ἵπποισι φλοίνας ἡνίας πλέκει Eur. 284.

σχολαῖος: ὅταν τις ἄδῃ τὸν Βοιώτιον νόμον, τὰ πρῶτα μὲν σχολαῖον, εἶτα δ' εὔτονον Soph. 881, 2.

σχολή: τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαία σχολή Soph. 287. σχολὴ μὲν οὐχί, τῷ δὲ δυστυχοῦντί πως τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν Eur. 563. πάλαι πάλαι δή σ' ἐξερωτῆσαι θέλων, σχολή μ' ἀπεῖργε Eur. 579, 2. ἐπεὶ σχολὴ πάρεστι adesp. 138. μὴ πρὸς τὸ γῆρας ἀναβολὰς ποιουμένους σχολῇ τεκνοῦσθαι παῖδας Eur. 317, 3. σχολῇ βαδίζων ὁ χρόνος ἀφικνεῖται τὸ πᾶν Chaer. 20 p. 788. ὅταν σχολὴν ἄγουσα τυγχάνῃ Δίκη Eur. 835, 4.

σῴζω: οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ ἐσθλὴ παραζευχθεῖσα καὶ σῴζει δόμους Eur. 1055, 2. ὅστις δὲ μοχλοῖς καὶ διὰ σφραγισμάτων σῴζει δάμαρτα Eur. 1063, 10. αὕτη γὰρ ἡ προὶξ οἰκίαν σῴζει μόνη Hippoth. 6, 3 p. 828. τὰ ναυστολούμενα ἔσω

δόμων σῴζουσι Eur. 492, 7. γονέων τὰ τέκνα σῴζουσιν αἱ συμβουλίαι Theod. 14 p. 806. σοφοὶ σοφοὺς σῴζουσιν adesp. 422. εὐχαῖς δὲ σῴζοις δεσπότας παιωνίαις Aesch. 144, 2. γήρᾳ πρεπόντως σῷζε τὴν εὐφημίαν Soph. 194. τὴν σαυτοῦ φύσιν σῴζων βεβαίως ὥστε χρυσὸς ἐν πυρί Eur. 963, 5. τὰς γὰρ παρούσας οὐχὶ σῴζοντες τύχας ὤλοντο Eur. 1077, 2. ναῦν τοι μί' ἄγκυρ' οὐχ ὁμῶς σῴζειν φιλεῖ ὡς τρεῖς ἀφέντι Eur. 774. ἄρξουσιν ἄλλοι, τήνδ' ἐγὼ σώσω πόλιν Eur. 360, 42. ἀντὶ γὰρ ψυχῆς μιᾶς οὐκ ἔσθ' ὅπως οὐ τήνδ' ἐγὼ σώσω πόλιν Eur. 360, 52. κἄπειτα σώσει πάνθ' ἃ πρόσθ' ἀπώλεσεν Soph. 1027, 9. καὶ τὴν τεκοῦσαν καὶ σὲ δύο θ' ὁμοσπόρω *σώσει Eur. 360, 37. ἔσωσα δούλην οὖσαν Eur. 261. δήμους τ' ἔσωσα καὶ τύραννος ἰζόμην Eur. 861, 2. ἢ *ἔσωσαν ἀκέρδαναν ἢ διώλεσαν Soph. 511, 6. εἰ σώσαιμί σ', εἴση μοι χάριν Eur. 129. σῶσαι - ὁπόταν τῷ θεῷ δοκῇ Eur. 1089. οὐ - σὺ *σώζῃ σεμνὰ θησαυρίσματα χρυσοῦ Eur. 781, 44. κἂν σμικρὰ σῴζου, τοὔνδικον σέβουσ' ἀεί Eur. 417, 2. σῴζεσθε, νικᾶτε Eur. 360, 51. ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων, τὴν δ' οὖσαν ἐσθλὴν ἡδέως ἐσῴζετο Eur. 402, 5. ἣν μὲν ἄφρονας τέκω, στένω ματαίως, εἰσορῶσα ⟨μὲν⟩ κακούς, χρηστοὺς δ' ἀπολλῦσ'· ἣν δὲ καὶ σεσωσμένους, τήκω - καρδίαν ὀρρωδίᾳ Eur. 908, 5. καλῶς τεθνάναι κάλλιον ἂν μᾶλλον ἢ σεσῶσθαι Aesch. 453. ἅπαντα τοὑπ' ἐμοὶ σωθήσεται Eur. 360, 41. ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων Eur. 133.

σῶμα: ἀκόλαστον σῶμα Soph. 678. εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος Soph. 854. ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν ἔφυ Eur. 799. τὸ μὲν τέθνηκε σῶμα, τοῦτο δ' ἀναβλέπει Eur. 1013. τὸ σῶμα κωφοῦ τάξιν εἴληφεν πέτρου Mosch. 7, 5 p. 815. (cf. αἷμα.) τὸ δ' ἀσθενές μου καὶ τὸ θῆλυ σώματος κακῶς ἐμέμφθης Eur. 199. ποῦ καί ποτ' οἰκεῖ σώματος λαχὼν μέρος Eur. 403, 3. πτώχ' ἀμφίβληστρα σώματος λαβὼν ῥάκη ἁλκτήρια τύχης Eur. 697. ἀρετὴ δὲ κἂν θάνῃ τις οὐκ ἀπόλλυται, ζῇ δ' οὐκέτ' ὄντος σώματος Eur. 734, 2. πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς γένοιτ' ἄν Eur. 1067, 3. γυνή τοι *σώματος δι' ἀργίαν ψυχῆς φρόνησιν ἐντὸς οὐκ ἀργὸν φορεῖ Agath. 14 p. 766. καὶ σώματος μὲν † ὄψεις κατειργάζετο Chaer. 1 p. 781. τοῦ σώματος γὰρ εἵνεχ' οἱ πολλοὶ πόνοι adesp. 115. πρίν τινα συντυχίαν ἢ κτεάτεσσιν ἐμοῖς ἢ σώματι τῷδε γενέσθαι Eur. 791, 3. δυσειδὲς σῶμα καὶ δυσώνυμον γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν Soph. 85, 9. τὴν ἀξίωσιν τῶν καλῶν τὸ σῶμ' ἔχειν Eur. 15, 4. γαστρὸς δ' ἀφαιρῶν σῶμα δύστηνος κακοῖ Eur. 328, 2. κείνῳ μελήσει σῶμα μὴ βλάπτειν τὸ σόν Eur. 773, 6. δοῦλός ἐστι τοῦ λέχους, πεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχων Eur. 775, 2. σῶμα δ' ἀθαμβὲς γυιοδόντητον τείρει Phryn. 2 p. 720. ὅ γε σῶμα τυπεὶς διφυεῖς τε κόρας Ion. 53 p. 743. ὕδωρ τε ποταμοῦ σῶμα

διεπεράσαμεν Chaer. 17, 2 p. 787. βάυζε τοὐμὸν σῶμα βάλλουσα ψόγῳ adesp. 66. χειμῶνί τ' ἀσκεῖν σῶμα adesp. 546, 7. καλὸς δέ τις κἂν ἐκ πενήτων σωμάτων γένοιτο παῖς Eur. 527, 3. κόμαισιν ὡρῶν σώματ' εὐανθῆ ῥόδα εἶχον Chaer. 13 p. 786. ἥλιος - σκοτεινὸν ἄνθος ἐξέχρωσε λιγνύος εἰς σώματ' ἀνδρῶν Theod. 17, 3 p. 806. δεινόν γε τὴν μὲν μυῖαν ἀλκίμῳ σθένει πηδᾶν ἐπ' ἀνδρῶν σώματα adesp. 295, 2.

σῶς: οὐδεὶς στρατεύσας ἄδικα σῶς ἦλθεν πάλιν Eur. 353. εὔφημα καὶ σᾶ καὶ κατεσφραγισμένα Eur. 762.

σωτήρ: γαμβρὸς νομίζῃ καὶ πατὴρ σωτήρ τ' ἐμός Eur. 72, 2. τρίτον Διὸς σωτῆρος εὐκταίαν λίβα Aesch. 55, 4. σωτῆρες ἔνθα κἀγαθοὶ παραστάται adesp. 14. σωτῆρες εὐσέλμων νεῶν adesp. 463. ὦ Ζηνὸς καὶ Λήδας κάλλιστοι σωτῆρες adesp. 139.

σωτηρία: θανοῦμαι διὰ τὸ χρήσιμον φρενῶν, ἢ τοῖσιν ἄλλοις γίγνεται σωτηρία Eur. 58, 2. σωτηρίας γὰρ φάρμακ' οὐχὶ πανταχοῦ βλέψαι πάρεστιν Soph. 281. κἂν μικρὰ θύῃ, τυγχάνει σωτηρίας Eur. 946, 2. ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν Soph. 193, 3. τὰ γὰρ κακῶς οἴκους ἐσελθόντ' οὐκ ἔχει σωτηρίαν Eur. 362, 13. εἰκὸς δὲ παντὶ καὶ λόγῳ καὶ μηχανῇ πατρίδος ἐρῶντας ἐκπονεῖν σωτηρίαν Eur. 729, 2. πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν Eur. 1089, 2. ὅθεν λαβόντες οἱ κακῶς πεπραγότες σωτηρίαν ἀπῆλθον ἐκ δυσπραξίας adesp. 481, 4.

σωτήριος: Ζεῦ παυσίλυπε καὶ Διὸς σωτηρίου σπονδὴ τρίτου κρατῆρος Soph. 392.

σωφρονίζω: οὐ σωφρονίζειν ἔμαθον Eur. 209.

σωφρόνισμα: ὦ θάνατε, σωφρόνισμα τῶν ἀγνωμόνων Aristarch. 3 p. 728.

σωφρονιστής: τράγημα δὲ ὁ σωφρονιστὴς τοῖς φιληκόοις λόγος Lycophr. 3, 3 p. 818.

σωφρονῶ: τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι Eur. 1067. ἄριστος εἶναι σωφρονεῖν τ' ἐμοὶ δοκεῖ Eur. 505, 2. τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν Eur. 524, 2. ὅστις σωφρονεῖν ἐπίσταται Eur. 799, 3. πᾶσα γὰρ ἀγαθὴ γυνὴ - σωφρονεῖν ἐπίσταται Eur. 909, 3.

σωφροσύνη: μετρίων δὲ γάμων μετὰ σωφροσύνης κῦρσαι θνητοῖσιν ἄριστον Eur. 503, 2. ἐγὼ δ' οὐδὲν πρεσβύτερον νομίζω τᾶς σωφροσύνας Eur. 959, 3. οἵας ἔλαχες τιμάς, Ἱππόλυθ' ἥρως, διὰ σωφροσύνην Eur. 446, 2.

σώφρων: εἰθ' ἦσθα σώφρων ἔργα τοῖς λόγοις ἴσα Soph. 810. σώφρων καὶ δίκαιος ὢν ἀνήρ Eur. 282, 25. Ἑστίας θ' ἕδος, ἀφ' ἧς γε σώφρων πᾶς ἂν ἄρχεσθαι θέλοι εὐχὰς ποιεῖσθαι> Eur. 781, 36. πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή, ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ Eur. 545, 1. 2. πολλῶν - φάρμακον κακῶν σιγή, μάλιστα δ' ἐστὶ σώφρονος τρόπου Carc. 7, 2 p. 800. οὗτοι γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν κακῆς ἀνὴρ κτήσαιτ' ἂν οὐδὲ σώφρονος κρεῖσσον Soph. 621, 2. ψυχῆς δικαίας σώφρο-

νός τε κἀγαθῆς Eur. 388, 2. ἀρκεῖ μετρία βιοτά μοι σώφρονος τραπέζης Eur. 893, 2. πολλοῦ γὰρ χρυσοῦ καὶ πλούτου κρείσσων πάτρα σώφρονι Eur. 1046, 2. γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι τρόπον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν Hippoth. 6 p. 828. σώφρον' ἣν λάβῃ (γυναῖκα) Eur. 543, 5. ὕβρις δέ τοι οὐπώποθ' ἥβης εἰς τὸ σῶφρον ἵκετο Soph. 718, 2. ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως ζηλωτὸς ἀνθρώποισιν Eur. 672. τῶν εὐσεβούντων οἵτινές τε σώφρονες ἐρᾶν Eur. 388, 4. κἂν αὖ γένωνται σώφρονες - λυποῦσι τὸν φύσαντα μὴ πάθωσί τι Eur. 571, 7. τὰ μὲν δίκαια καὶ τὰ σώφρονα λάγδην πατεῖται Soph. 622, 2. οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις Soph. 850, 2. κρείσσω γὰρ οὔτε δοῦλον οὔτ' ἐλεύθερον τρέφειν ἐν οἴκοις ἀσφαλὲς τοῖς σώφροσιν Eur. 251, 2. πειθὼ δὲ τοῖς μὲν σώφροσιν πολλὴν ἔχειν Eur. 759, 3. φόβος τὰ θεῖα τοῖσι σώφροσιν βροτῶν adesp. 356. ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα πρὸς τοὺς τεκόντας - πρέπει Soph. 61.

T.

ταλαίπωρος: (v. l. Eur. 915.) ὅθεν περ ἔγνω τοὺς φόβους ὄντας βροτοῖς καὶ τὰς ὀνήσεις τῷ ταλαιπώρῳ βίῳ Crit. 1, 30 p. 771. ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος Soph. 859. ἧ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν Soph. 511. τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος Eur. 196.

Ταλαός v. Καλαός.

ταλαπείριος adesp. 599.

τάλας: τί δ', ὦ τάλας; σὺ τῷδε πείθεσθαι μέλλεις Eur. 717. ποῖ ποτ' ἐξῆξας τάλας Neophr. 2, 3 p. 730. εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας adesp. 10, 2. φίλων ἔρημος, ὦ τάλας, ἀπόλλυμαι adesp. 347. οὐδ' ἡ τάλαινα δοῦσα ταριχηροῦ γάρου Soph. 549. τάλαιν' ἐγώ, τάλαινα, ποῖ πόδα πτερόεντα καταστάσω Eur. 781, 61. βασίλεια τάλαινα παῖς τ' ἔσω κρυφαῖος νέκυς Eur. 781, 66. φεῦ τάλαινα τόλμης Neophr. 2, 14 p. 731. τήκω τάλαιναν καρδίαν ὀρρωδίᾳ Eur. 908, 6. ὦ τάλαν Θυέστα Theod. 9 p. 804.

Τάλως — Soph. 163. 164.

ταμίας: πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων ταμίας ὅτι χρὴ τετελέσθαι Soph. 531, 4.

Τάναϊς — Aesch. 197. Soph. 504.

Τάνταλος — Aesch. 158.

τανύφλοιος: τανυφλοίου - αἰγείρου Soph. 535, 2.

ταξιάρχης: καὶ ταξιάρχας καὶ στρατάρχας καὶ ἑκατοντάρχας ἔταξα Aesch. 182.

τάξις: τὸ σῶμα κωφοῦ τάξιν εἵληφεν πέτρου Mosch. 7, 5 p. 815. οὗτος δ' ἐφηῦρε - τάξεις τε ταύτας οὐρανιά τε σήματα Soph. 399, 3.

ταπεινός: ἐνδεέστερος γὰρ ὢν

ταπεινὸς ἔσται Eur. 249, 2. τὸ σχῆμα σεμνὸς κοὐ ταπεινὸς οὐδ' ἄγαν εὔογκος ὡς ἂν δοῦλος Eur. 688, 2. ἦν δ' ὁ μὲν νόμος ταπεινός, ἡ βία δὲ σύνθρονος Διί Mosch. 6, 16 p. 814. τὸ μήτε λίαν ἐν ταπεινῷ τῆς τύχης μέρει φέρεσθαι μήτ' ἐν ὑψηλῷ πάλιν adesp. 547, 7. ἡ γὰρ τύχη - καὶ τοὺς ταπεινοὺς ⟨ἦρεν εἰς ὕψος μέγα⟩ adesp. 102, 3. ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας λέγειν Eur. 81. τά τοι μέγιστα πολλάκις θεὸς ταπεί' ἔθηκε καὶ συνέστειλεν πάλιν Eur. 716, 4.

Ταραντῖνος: Ταραντῖναι βαφαί Ach. 40 p. 756.

ταράσσω: (cf. χαράσσω.) μέθη ταράσσει καὶ γαληνίζει φρένα Eur. 1079, 4. λέγοιμί τι σοφόν, ταράσσων μηδὲν ὢν πόλις νοσεῖ Eur. 202, 2. (cf. σπαράσσω.)

τάρβος: θυμῷ δ' οὔ τις φαιδρὰ χορεύει τάρβους θυγάτηρ Soph. 699, 2.

ταρβῶ: ἄνδρας δ' ὁπλίτας πολέμιον ταρβεῖν δόρυ adesp. 295, 3.

ταριχηρός: ταριχηροῦ γάρου Soph. 549.

τάριχος: νεκρὸς τάριχος εἰσορᾶν Αἰγύπτιος Soph. 646.

Ταρτάρειος Eur. 380.

τάσσω: οὐ χρὴ τάδ' οὕτω δαίμονας θνητῶν πέρι τάσσειν (πράσσειν ll.) Soph. 103, 6. τάσσειν δὲ μᾶλλον ἢ ἐπιτάσσεισθαι θέλοις Eur. 690, 3. καὶ ταξιάρχας καὶ στρατάρχας καὶ ἑκατοντάρχας ἔταξα Aesch. 182, 2. κἀφ' ὅτῳ τεταγμένος εἴη τις, ἀνδάνοντα δεσπόταις ποεῖν Eur. 93, 2. τὸν βαλόντα δὲ στέφειν ἐγὼ ἐτετάγμην Eur. 562, 3.

ταύρειος: ἐμοὶ δὲ λῷστον αἷμα ταύρειον πιεῖν Soph. 663.

Ταύρειος: Ταύρειον πῶμα Soph. 18.

ταυρόδετος: ταυροδέτῳ κόλλῃ Eur. 472, 7.

ταῦρος: ὁ ταῦρος δ' ἔοικεν κυρίξειν τιν' ἀρχάν Aesch. 23. ἐτονθόρυζε ταῦρος ⟨ὡς⟩ νεοσφαγής Aesch. 298. ὄμμα γὰρ πυρὸς γέμει, ταῦρος λέοντος ὡς βλέπων πρὸς ἐμβολήν Eur. 689, 4. ταῦρος ἀργιμήτης Phryn. 16 p. 724. ταύρου μεμῖχθαι καὶ βροτοῦ διπλῇ φύσει Eur. 997. ταύρῳ τε λειμὼν ξένια πάμβοτος παρῆν Aesch. 99. ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονάς Aesch. 194. — Ταῦρος cf. Eur. 820.

ταυροφάγος: Διονύσου τοῦ ταυροφάγου Soph. 607.

ταυρόφθογγος: ταυρόφθογγοι δ' ὑπομυκῶνται - φοβεροὶ μῖμοι Aesch. 57, 8.

ταύτῃ: πολλάκις ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν Soph. 524, 2. τὰ πολλὰ ταύτῃ γίγνεται τέκνων πέρι Eur. 167, 2.

† ταυτηρίαις Eur. 815.

τάφος: μικρόν γ' ἔλεξας βασιλικοῦ σηκὸν τάφου - δίπλαζ' ἕκαστον κῶλον ἐν τάχει τάφου adesp. 166, 1. 3. τὸν ἐν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν Soph. 513, 5. ἐφημένη τάφον τέκνοις ἐπῷζε τοῖς τεθνηκόσιν Aesch. 157, 2. τὸ δ' ἄρσεν ἕστηκ' ἐν δόμοις ἀεὶ γένος θεῶν πατρῴων καὶ τάφων τιμάορον Eur. 318, 4.

τάφρος: Τεῦκρος - ὑπὲρ τάφρου πηδῶντας ἕστησεν Φρύγας adesp. 569, 2. cf. Aesch. 380.

τάχα: καὶ τάχ' ἂν κεραυνία πέμφιξ σε βροντῆς καὶ δυσοσμίας βάλοι Soph. 495. θάρσει, τάχ' ἂν γένοιτο Eur. 100. τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς πηδῶν ἀθύροι καὶ φιλημάτων ὄχλῳ ψυχὴν ἐμὴν κτήσαιτο Eur. 323. τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι Agath. 9 p. 765.

ταχέως: τὸν δ' ἡμίοπον - ταχέως ὁ μέγας καταπίνει Aesch. 91, 2. θήλεια δ' ἦβη θᾶσσον ἐκλείπει δέμας Eur. 24, 3. οὐ *θᾶσσον; οὐ σταλαγμὸν ἐξομόρξετε Eur. 781, 6. θᾶσσον μὲν οἰστοῦ καὶ πτεροῦ χαρίζεται Eur. 1063, 13. θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα ἢ τοῖς ἀνάγκης ἐν γένει πεφυκόσιν Dicaeog. 1, 2 p. 775. στέλλειν ὅπως τάχιστα Aesch. 86. παραινῶ πᾶσι τοῖς νεωτέροις μὴ - σχολῇ τεκνοῦσθαι παῖδας - ἀλλ' ὡς τάχιστα Eur. 317, 5. φεῦ, τὰ τῶν εὐδαιμονούντων ὡς τάχιστα στρέφει θεός Eur. 536. ὧν δέ γ' ἐστάλην - ἀφίξομαι τάχιστα σημανῶν Eur. 1132, 46. ὡς τάχιστα μέλανα δεῦρ' ἀμνὸν φέρειν Ach. 14 p. 749. μετὰ τὴν σκιὰν τάχιστα γηράσκει χρόνος adesp. 508.

τάχος: ὡς νῦν τάχος στείχωμεν Soph. 236. σάλπιγγι δ' ἄλλος ὡς τάχος σημαινέτω Ach. 37, 3 p. 755. ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς ἐν χειρὶ θήγει, ἐν τάχει δ' ἀμβλύνεται Soph. 808, 2. δίπλαζ' ἕκαστον κῶλον ἐν τάχει τάφου adesp. 166, 3. ἀπτέρῳ τάχει adesp. 429.

ταχύνω: ὥρα ταχύνειν Ach. 37, 4 p. 755.

ταχύπους: ταχύπουν κέλευθον ἕρπων σκοτίαν adesp. 127, 6.

ταχύς: ταχὺς δὲ βαθμοῖς νυμφικοῖς ἐπεστάθη Soph. 1026, 5. ὅστις ὠφελεῖν πάτραν βραδὺς φανεῖται, μεγάλα δὲ βλάπτειν ταχύς Eur. 886, 2. ἡλίσκετ' ἄρα καὶ πρὸς ἀσθενῶν ταχύς Ach. 34 p. 755. ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ Soph. 786. ταχὺ δ' αὐτὸ δείξει τοὔργον ὡς ἐγὼ σαφῶς Soph. 356. τίν' εἰς γῆν βαρβάρων ἀφίγμεθα ταχεῖ πεδίλῳ Eur. 124, 2. ἔστρεψ' ἐκ δόμων ταχὺν πόδα Eur. 781, 43. τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα Eur. 1040, 4. ταχεῖ Ion. 67 p. 745. ἢ μὲν ὡς ἵ Θάσσονα, ἢ δ' ὡς ἵ τέτοκε παῖδα Soph. 430.

ταχύχειρ Crit. 8 p. 775.

τε passim. a) λοιβὰς Διὸς μὲν πρῶτον ὡραίου γάμου Ἥρας τε Aesch. 55, 2. χιτῶνας βασσάρας τε Λυδίας ἔχει ποδήρεις Aesch. 59. ἰὼ Κάικε Μύσιαί τ' ἐπιρροαί Aesch. 143. ἄριστα, δεῖπνα δόρπα θ' αἱρεῖσθαι τρίτα Aesch 182, 3. Σπερχειὲ ποταμὲ βούνομοί τ' ἐπιστροφαί Aesch. 249. τοὺς σοὺς ἄθλους τούσδε - δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι Aesch. 190, 3. χρῶτ' ἀθάνατον κάματόν θ' ἵππων Aesch. 192, 6. ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονάς Aesch. 194. καὶ σκευοθηκῶν ναυτικῶν τ' ἐρειπίων Aesch. 274. Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον Aesch. 463. ἀνέμῳ νεφέλῃ τε κἀστραπῇ, βροντῇ, βροχῇ Aesch. 464, 6. λέων δράκων τε, πῦρ, ὕδωρ Soph. 154, 2. πηκταὶ δὲ λύραι καὶ μαγάδιδες τά τ' ἐν Ἕλλησιν ξόαν' ἡδυμελῆ Soph. 217, 2. ῥεῖ γὰρ ἀπ' ἄκρας Πίνδου Λάκμου τε Soph. 249, 2. ὦ Λῆμνε Χρύσης

τ' ἀγχιτέρμονες πάγοι Soph. 353. ὕπνου φύλαξι - νεῶν τε ποιμαντῆρσιν Soph. 399, 10. πεσσοὺς κύβους τε Soph. 438, 4. κυνὸς πελλῆς τε μηκάδος βοός Soph. 468. θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο Soph. 524, 8. καρύαι μελίαι τε Soph. 692. πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα Soph. 785. ἐν αἰχμαῖς Ἄρεος ἔν τε συλλόγοις Eur. 16. γαμβρὸς νομίζῃ καὶ πατὴρ σωτήρ τ' ἐμός Eur. 72, 2. τίν' ὄχθον τόνδ' ὁρῶ - παρθένου τ' εἰκώ τινα Eur. 125, 2. βροτείων πημάτων ὅσαι τύχαι ὅσαι τε (al. δὲ) μορφαί Eur. 211, 2. τυραννίδι - ὀλίγῃ τ' ἐν πόλει μοναρχίᾳ Eur. 275, 2. νομίζω πατρὶ φίλτατον τέκνα παισίν τε τοὺς τεκόντας Eur. 345, 2. εἷς γάρ τις ἔστι κοινὸς ἀνθρώποις νόμος καὶ θεοῖσι τοῦτο δόξαν - θηρσίν τε πᾶσι Eur. 346, 3. καὶ τὴν τεκοῦσαν καὶ σὲ δύο θ' ὁμοσπόρω σώσει Eur. 360, 36. ἀντ' ἐλαίας χρυσέας τε Γοργόνος Eur. 360, 46. σίδηρον ἀγχόνας τ' ἐφέλκεται Eur. 362, 26. τὴν εὐγένειαν - τό τ' ἀξίωμα Eur. 405, 3. ὦ λαμπρὸς αἰθὴρ ἡμέρας θ' ἁγνὸν φάος Eur. 443. καλλιχόρους ἀοιδὰς φιλοστεφάνους τε κώμους Eur. 453, 8. τὰν δ' ἐχθρὰν στάσιν εἶργ' ἀπ' οἴκων τὰν μαινομέναν τ' ἔριν Eur. 453, 11. δώμασιν καλόν τι θησαύρισμα τοῖς τεκοῦσί τε ἀνάθημα βιότου Eur. 518, 4. πολλάς γε τοῦ βίου μεταστάσεις - μεταβολάς τε τῆς τύχης Eur. 554, 2. τὸ θεῖον τὴν δίκην τε Eur. 584, 2. εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων Eur. 672. ὅσην ἔχει φρόνησιν ἀξίωμά τε Eur. 739, 2. καλοῦσι δ' αὐτὴν - Ἕω φαεννὰς Ἡλίου θ' ἱπποστάσεις Eur. 771, 5. ἀνάγονται ὑπ' εἰρεσίας ἀνέμων τ' εὐαέσσιν ῥοθίοις Eur. 773, 36. παῖδ' ὑμεναίοις - θέλων ζεῦξαι νύμφης τε λεπάδνοις Eur. 773, 65. αἰτῶ δ' αὐδὰν εὐτεκνίαν τε γάμοις Eur. 773, 72. παιδὸς πατρός τε - λέχη κρᾶναι θελόντων Eur. 773, 74. σοὶ - τῷ τε νεόζυγι σῷ πώλῳ Eur. 781, 20. βασίλεια τάλαινα παῖς τ' ἔσω κρυφαῖος νέκυς Eur. 781, 66. σφαγὰς οἰκτρά τ' ἀρκέσαι σᾶς δειρᾶς Eur. 781, 74. εἰς ἀνδρὸς φύσιν σκοπῶν δίαιτάν τε Eur. 812, 6. τίκτει βοτάνην φῦλά τε θηρῶν Eur. 839, 5. Δήμητρος ἀκτῆς πώματός θ' ὑδρηχόου Eur. 892, 2. τὸ δ' ἄκαιρον ἅπαν ὑπερβάλλον τε μὴ προσείμαν Eur. 893, 4. τὸ Νεστόρειον εὔγλωσσον μέλος Ἀντήνορός τε τοῦ Φρυγός Eur. 899, 2. χοὴν πέλανόν τε Eur. 912, 2. τίνος θεῶν βροτῶν τε πρευμενοῦς τυχών Eur. 1132, 9. σῶμα τυπεὶς διφυεῖς τε κόρας Ion. 53 p. 743. ἀμνὸν φέρειν κοινόν τε χρὴ κρατῆρα καὶ κυλιχνίδας Ach. 14, 2 p. 749. κτυπήματα βροντῆς τό τ' ἀστεροπὸν οὐρανοῦ σέλας Crit. 1, 33 p. 771. θεῶν ὑμνῳδὸν ἰατρόν θ' ἅμα Diog. Ath. 1, 5 p. 776. ἀστοῖς Ἀθάνας τῇ τε Θησέως πόλει Mosch. 4, 3 p. 813. Παλλάδος κλεινὸν πέδον χώραν τε πᾶσαν Κέκροπος adesp. 62, 3. σοὶ Φοῖβε μούσαις τε adesp. 143. θαλέθοντι βίῳ βλάσταις τε τέκνων βριθομένα adesp. 373, 2. ἀξίως Ἡρακλέους ἡμῶν τε adesp. 399, 2. τὸν - Ὀρφέα λαβὼν αὐτῶν τε μουσῶν ἐννεάφθογγον μέλος adesp. 546, 11. Ἴστρος τοιαύτας παρθένους ἐξεύχε-

ται τρέφειν ὅ θ' ἁγνὸς Φᾶσις Aesch. 155, 2. Ἀδραστείας ἕδος Ἴδη τε μυκηθμοῖσι - ἕρπουσι (?) μήλων Aesch. 158, 3. ἐνῆν δὲ παγκάρπεια - λίπος τ' ἐλαίας καὶ τὸ ποικιλώτατον - μελίσσης κηρόπλαστον ὄργανον Soph. 366, 4. τρίγωνος ἀντίσπαστά τε Λυδῆς ἐφυμνεῖ πηκτίδος συγχορδίᾳ Soph. 378. ἀκοσμία φαίνοιτ' ἂν εἶναι σῶν τε μαργότης φρενῶν Soph. 762, 2. ὦ γῆ Φεραία, χαῖρε, σύγγονόν θ' ὕδωρ Ὑπέρεια κρήνη Soph. 825. κακόν τι παίδευμ' ἦν ἄρ' - ὁ πλοῦτος - αἵ τ' ἄγαν τρυφαί Eur. 54, 2. σκαιόν τι χρῆμα πλοῦτος ἥ τ' ἀπειρία Eur. 96. ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀνανδρία οὔτ' οἶκον οὔτε πόλιν ἀνορθώσειεν ἄν Eur. 239. 364, 2. πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν ἥ τ' ἀξυνεσία Eur. 257, 2. πάρεισι δὲ μόσχων τέρειναι σάρκες ἀρνεία τε δαὶς καὶ πεπτὰ καὶ κροτητά Eur. 467, 3. ὡς δ' ἥ⟨κει μάχη⟩ σιγή τ' ἀφ' ἡμῶν Eur. 495, 14. ἔστι - κἀν κακοῖσιν ἡδονὴ θνητοῖς ὀδυρμοὶ δακρύων τ' ἐπιρροαί Eur. 573, 2. ὦ γαῖα πατρίς - χαῖρ', ὅς τε πέτρον Ἀρκάδων δυσχείμερον ⟨Πὰν⟩ ἐμβατεύεις Eur. 696, 2. βασιλεὺς πρὸ δόμων κῆρύξ θ' ἱερὸς καὶ παῖς Φαέθων βαίνουσι Eur. 773, 60. Δήμητρος κόρη Ἥφαιστέ τ' ἔστε πρευμενεῖς Eur. 781, 60. νικᾷ δὲ χρεία μ' ἡ κακῶς τ' ὀλουμένη γαστήρ Eur. 915. ἃ δ' Ἑλλὰς Ἀσία τ' ἐκτρέφει κάλλιστα Eur. 981, 4. δόμοι μὲν οἵδ' εὔπυργά τ' ἐρύματα χθονὸς οὐκ ἐν πολυχρύσοισιν ἤσκηται χλιδαῖς Eur. 1132. δρυός μ' ἱδρὼς καὶ θαμνομήκης ῥάβδος ἥ τ' Αἰγυπτία βόσκει - θήραγρος πέδη Ion. 40, 2 p. 740. δέλτ' ἰῶτα καὶ τρίτον Ω νῦ τό τ' Υ πάρεστι, κοὐκ ἀπουσίαν - σὰν τό τ' Ο κηρύσσετον Ach. 33, 3. 4 p. 754. λύπη γὰρ ὀργή τ' εἰς ἕνα ψυχῆς τόπον ἐλθόντα μανία τοῖς ἔχουσι γίγνεται Cleaen. 2 p. 807. πήρα δύναμιν ἡλίκην ἔχει θέρμων τε χοΐνιξ καὶ τὸ μηδενὸς μέλειν Crat. 2, 2 p. 810. ἤβη δὲ λῦπαι φροντίδες θ' ἡβῶσ' ὁμοῦ Pomp. 1, 6 p. 831. λήγει δὲ Κύπρις θαλίαι τε νέων adesp. 397. σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν Soph. 85, 10. θνητὸς ἐκ θνητῆς τε φύς Soph. 481, 6. περιστερὰν οἰκέτιν ἐφέστιόν τε Soph. 782, 2. ὡς ἔφυς μέγας θεός - θνητοῖς τ' οὐδαμῶς ὑποστατός Eur. 177, 2. εὐγενὴς ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ' ἔχων φάτιν Eur. 242, 2. γαῦρον σπέρμα γενναῖόν τ' ἔχων Eur. 285, 11. ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς Eur. 388, 2. ἄμεικτον πατέρ' ἔχει - στυγνόν τε Eur. 500, 2. καλλίκαρπον .. κατάρρυτόν τε μυρίοισι νάμασιν Eur. 1083, 5. ἦν ἄτακτος ἀνθρώπων βίος καὶ θηριώδης ἰσχύος θ' ὑπηρέτης Crit. 1, 2 p. 771. Λυδὰς Βακτρίας τε παρθένους Diog. Ath. 1, 6 p. 777. ὅστις ἂν δίκαιος ᾖ τρόπους τ' ἄριστος Astyd. 8, 3 p. 780. βίον διῴκησ' ὄντα πρὶν πεφυρμένον θηρσὶν θ' ὅμοιον adesp. 470, 3. τοὺς δ' ὄντας ἐσθλοὺς ἔκ τε γενναίων ἅμα γεγῶτας Soph. 103, 3. Ζαγρέως - τοὺς ὠμοφάγους δαίτας τελέσας μητρί τ' ὀρείῳ δᾷδας ἀνασχών Eur. 472, 13. γένει γαυρούμενον ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα Eur. 1040, 3. πατρὶ πείθεσθαι χρεὼν παῖδας νομί-

ζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην Eur. 110, 3. τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διὸς ἐγγύς τε ναίειν τῆς βροτῶν ἁμαρτίας Eur. 151, 2. ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων Eur. 285, 17. τοῦτον νομίζω κἂν θεῶν συλᾶν βρέτη τοῖς φιλτάτοις τε πολέμιον πεφυκέναι Eur. 328, 4. τὰ Δαιδάλεια - κινεῖσθαι δοκεῖ λέγειν τ' ἀγάλματα Eur. 372, 3. ἄριστος εἶναι σωφρονεῖν τ' ἐμοὶ δοκεῖ Eur. 505, 2. ὥστ' οὐ παρόντα ποντίας ὑπὲρ πλακὸς τἀκεῖ κατ' οἴκους - ἐπίστασθαι καλῶς, παισίν τ' ἀποθνήσκοντα χρημάτων μέτρον γράψαντας εἰπεῖν (?) Eur. 578, 6. ἡδὺ δέ - συσκυθρωπάζειν πόσει ἄλοχον ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν μέρος Eur. 909, 10. λέγουσι Δήμητρός ποτε - κόρην Πλούτωνα - ἁρπάσαι - δῦναί τε γαίας εἰς μελαμφαεῖς μυχούς Carc. 5, 3 p. 799. ἐγὼ δ' ἐμαυτοῦ καὶ κλύειν ἐπίσταμαι ἄρχειν θ' ὁμοίως adesp. 327, 2. δεινή τις ἀνδρὶ καὶ γυναικὶ συμφορὰ δούλοις γενέσθαι δεσπότας τε δυσχερεῖς λαβεῖν adesp. 376, 2. βοῦς ἤλασ' ἀπ' ἐσχάτων γαίας - βοτῆράς τ' ἀδίκους κατέκτα δεσπότην τε τρίπτυχον Aesch. 74, 4. ὑμεῖς δὲ βωμὸν τόνδε - κύκλῳ περίστητ' ἐν λόχῳ τ' ἀπείρονι εὔξασθε Aesch. 379, 2. λιμὸν - ἔπαυσε - χρόνου τε διατριβὰς - ἐφηῦρε Soph. 438, 2. βομβεῖ δὲ νεκρῶν σμῆνος ἔρχεταί τ' ἄνω Soph. 795. χαῖρ', ὦ γεραιέ· τήν τε παῖδ' ἐκδοὺς ἐμοὶ γαμβρὸς νομίζῃ (?) Eur. 72. ἅπαντα τίκτει χθὼν πάλιν τε λαμβάνει Eur. 195. ὁρᾷ ὃν χρὴ κολάζειν τ' οἶδεν Eur. 255, 4. ἥσθ' εἰς θεοὺς μὲν εὐσεβής - ἀεὶ ξένοις τ' ἐπήρκεις Eur. 311, 2. Κύπρις γὰρ οὐδὲ νουθετουμένη χαλᾷ, ἢν τ' αὖ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ Eur. 340, 2. ἀείδοιμι - δέλτων τ' ἀναπτύσσοιμι γῆρυν Eur. 369, 6. ἥσθησαν, εἶπόν τε Eur. 495, 8. χερμ⟨άδ' αἴρουσιν χεροῖν,⟩ λέγουσί θ' ὡς Eur. 495, 19. εὐφαμεῖτ', ὦ, ἐκτόπιοί τε δόμων ἀπαείρετε Eur. 773, 68. τοὺς γὰρ περισσοὺς - τιμῶμεν ἄνδρας τ' ἐν πόλει νομίζομεν Eur. 788, 3. ἵνα δίκη τύραννος ᾖ . . τὴν θ' ὕβριν δούλην ἔχῃ Crit. 1, 7 p. 771. ἔπιπτον ἐλενίων ἔπι, ἴων τε μελανόφυλλα συγκλῶσαι πτερὰ κρόκον τε - λειμῶσι μαλακοῖς ἐξέτεινον αὐχένας Chaer. 14, 13 p. 786. ἐπεὶ δὲ σηκῶν περιβολὰς ἠμείψαμεν ὕδωρ τε - διεπεράσαμεν Chaer. 17, 2 p. 787. ἅπας δὲ χεῖρα - ὤρεξε κανθούς τ' ἐξέτηξε δακρύοις Mosch. 9, 9 p. 816. ῥᾶνον δόμους στρώννυ τε κοίτας καὶ πυρὸς φλέξον μένος, κρατῆρά τ' αἴρου καὶ τὸν ἥδιστον κέρα adesp. 90, 2. 3. εἴτ' ἔνυπνον φάντασμα φοβῇ χθονίας θ' Ἑκάτης κῶμον ἐδέξω adesp. 375, 2. πάντα βλαστάνει - φθίνει τε adesp. 452, 3. ἔγνω ἐπαφήσας εἶπέ τ' ἐκ θυμοῦ τάδε adesp. 458, 7. πάντῃ πάρεστι πάντα τε βλέπει θεός adesp. 480. ἀλλ' οὐκ ἐν αὐγαῖς ταῖς ἐμαῖς ζόας ἔχει, τὸ μὴ παρόν τε τέρψιν οὐκ ἔχει φίλοις Aesch. 99, 14. ὃ δ' ἐνδατεῖται τὰς ἐμὰς εὐπαιδίας - ξύμπαντά τ' εἰπὼν θεοφιλεῖς ἐμὰς τύχας παιᾶν' ἐπηυφήμησεν Aesch. 350, 3. ἱδρυσάμεσθα - θεῶν ἀγάλματα - θυσίας τε τούτοις καὶ κενὰς πανηγύρεις στέφοντες οὕτως εὐσεβεῖν νομίζομεν Soph. 1025, 8. τὸ

γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ, ἥ τ' Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται Eur. 23, 2. γνώμαις γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα Eur. 200, 2. ἐν τοῖς τέκνοις γὰρ ἀρετὴ τῶν εὐγενῶν ἔλαμψε, κρεῖσσόν τ' ἐστὶ πλουσίου γάμου ‹γένος› Eur. 232, 2. φήμ' ἐγὼ τυραννίδα κτείνειν τε πλείστους - ὅρκους τε παραβαίνοντας ἐκπορθεῖν πόλεις· καὶ ταῦτα δρῶντες μᾶλλόν εἰσ' εὐδαίμονες τῶν εὐσεβούντων - πόλεις τε μικρὰς οἶδα τιμώσας θεούς, αἳ μειζόνων κλύουσι δυσσεβεστέρων Eur. 286, 6. 7. 10. καλὸν - γῆ τ' ἠρινὸν θάλλουσα πλούσιόν θ' ὕδωρ, πολλῶν τ' ἔπαινον ἔστι μοι λέξαι καλῶν Eur. 316, 4. παραινῶ - μὴ πρὸς τὸ γῆρας ἀναβολὰς ποιουμένους σχολῇ τεκνοῦσθαι παῖδας· οὐ γὰρ ἡδονή, γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ Eur. 317, 4. θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ - τῶν δὲ συννέφει πάλιν, ζῶσίν τε σὺν κακοῖσιν Eur. 330, 8. οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν, αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν Eur. 461, 2. χοὐτός γ' ἀνὴρ ἄριστος αἵ τε συμφοραὶ ἧσσον δάκνουσιν Eur. 572, 3. ὃν πέρι μὲν φῶς, πέρι δ' ὀρφναία νὺξ - ἄκριτός τ' ἄστρων ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει Eur. 593, 4. τὸ γῆρας - τῶν νεωτέρων φρενῶν σοφώτερον πέφυκε - ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ Eur. 619, 3. ἤδη δ' εἰς ἔργα κυναγοὶ στείχουσιν θηροφόνοι, παγαῖς τ' ἐπ' Ὠκεανοῦ - κύκνος ἀχεῖ Eur. 773, 33. ναῦν τοι μί' ἄγκυρ' οὐχ ὁμῶς σῴζειν φιλεῖ ὡς τρεῖς ἀφέντι· προστάτης θ' ἁπλοῦς πόλει σφαλερός Eur. 774, 2. χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ - βάσομαί τ' εἰς αἰθέριον πόλον ἀρθείς Eur. 911. 3. γέγονεν ἐκεῖνος εἰς ἔμ' οἷον ἠξίουν, ἐμοί τ' ἀρέσκει πάνθ' ἃ κἀκείνῳ Eur. 953, 18. ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο δειναί, πλάνος τε καρδίᾳ προσίσταται Eur. 1038, 2. ἐρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς - τό τ' ἄρσεν ἀεὶ τοῦ κεκρυμμένου λίχνον Eur. 1063, 8. τοία σε μοῖρα σῶν κακῶν ἔργων μένει, διδάξεις τ' ἄλλους μυρίους ἐφημέρους Neophr. 3, 4 p. 731. ἔπειτα τριόδους - ἣν προσκείμενος· ἐφ' ἑνός τε κανόνος ἦσαν [ἐζυγωμένοι δύο] Agath. 4, 5 p. 764. ἵν' ἀστραπὰς κατεῖδεν οὖσας - ὅθεν τε λαμπρὸς - στίλβει μύδρος ὅ θ' ὑγρὸς - ὄμβρος ἐκπορεύεται Crit. 1, 35. 36 p. 772. εἰς μυρίους ὄρνιθας αἰετὸς σοβεῖ λαῶν τε δειλῶν πλῆθος εὖ τραφεὶς ἀνήρ Sosith. 1, 2 p. 821. ἐς Οἰδίπου δὲ παῖδε - Ἄρης κατέσκηψ', ἔς τε μονομάχου πάλης ἀγῶνα νῦν ἑστᾶσιν adesp. 72, 2. γυναικὶ πρόσφορον γυνή, νοσῶν τ' ἀνὴρ νοσοῦντι adesp. 364, 3. ὑμνεῖτο - ὁ Φοῖβος οὐ προσῳδά· τήν τ' ἐναύλιον ὠθῶν τις ἐξέκλαγξε σύγκοιτον φίλην adesp. 418, 6. — ἐφηῦρε - σταθμῶν ἀριθμῶν καὶ μέτρων εὑρήματα τάξεις τε ταύτας οὐράνιά τε σήματα Soph. 399, 3. Σίσυφος Ἀθάμας τε Κρηθεύς θ' ὅς τε - ἔρριψε Σαλμωνεὺς φλόγα Eur. 14, 3. δεινὰ μὲν φῦλα πόντου χθονίων τ' ἀερίων τε δάμναται παιδεύματα Eur. 27, 4. χρόνος θεῶν τε πνεῦμ' ἔρως θ' ὑμνῳδίας Eur. 192. δένδρη, πετεινά, θῆρας οὓς θ' ἅλμη τρέφει γένος τε

θνητῶν Eur. 484, 5. 6. σωφρονοῦντα - χρηστοῖς θ' ὁμιλοῦντ' εὐσεβεῖν τ' ἠσκηκότα Eur. 1067, 2. κοίλη γὰρ ὄρεσι περίδρομος τραχεῖά τε δυσείσβολός τε πολεμίοις Eur. 1083, 2. 3. καλὸν μὲν φέγγος ἡλίου τόδε, καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον, γῆ τ' ἠρινὸν θάλλουσα πλούσιόν θ' ὕδωρ Eur. 316, 3. τοῦδ' εἵνεκ' οἶκον - ἐξηυρήκαμεν λευκόν τ' ὀρύσσειν ἄργυρον σπείρειν τε γῆν, τά τ' ἄλλα adesp. 115, 3. 4. εὔογκος εἶναι γαστρὶ μὴ πληρουμένῃ στέργειν θ' ὑδρηλοῖς - ποτοῖς, χειμῶνί τ' ἀσκεῖν σῶμα θερμά θ' ἡλίου τοξεύματ' αἰνεῖν adesp. 546, 6. 7. τοίους πέριξ ἔστησεν ἀνθρώποις φόβους - καλῶς τε τῷ λόγῳ κατῴκισεν τὸν δαίμονα - τὴν ἀνομίαν τε - κατέσβεσεν Crit. 1, 38. 40 p. 772. γραφῆς ὁ πρῶτος ἦν μεσόμφαλος κύκλος· ὀρθοί τε κανόνες ἐζυγωμένοι δύο, Σκυθικῷ τε τόξῳ ⟨τὸ⟩ τρίτον ἦν προσεμφερές Agath. 4, 2. 3 p. 764. — φοινικόπεδόν τ' ἐρυθρᾶς ἱερὸν χεῦμα θαλάσσης, χαλκοκέραυνόν τε - λίμναν Aesch. 192, 1. 3. Μύνου τ' Ἐπιστρόφου τε Soph. 40. ἔκ τε λύρας ἔκ τε νόμων Soph. 224, 2. μέγα πρεσβεύων Ἄργους τε γύαις Ἥρας τε πάγοις καὶ Τυρσηνοῖσι Πελασγοῖς Soph. 248, 3. πέπλους τε νῆσαι λινογενεῖς τ' ἐπενδύτας Soph. 406. Κόλχος τε Χαλδαῖός τε καὶ Σύρων ἔθνος Soph. 581. ὑπέρ τε πόντον πάντ' ἐπ' ἔσχατα χθονὸς νυκτός τε πηγὰς οὐρανοῦ τ' ἀναπτυχὰς Φοίβου τε παλαιὸν κῆπον Soph. 870. ὁ δ' ἥσυχος φίλοισί τ' ἀσφαλὴς φίλος πόλει τ' ἄριστος Eur. 194, 1. 2. ὅστις ἔστ' ἀνὴρ γνάθου τε δοῦλος νηδύος θ' ἡσσημένος Eur. 282, 5. πόλει τε πάσῃ πᾶσί θ' Ἕλλησιν Eur. 282, 28. πατέρα τε παισὶν ἡδέως συνεκφέρειν φίλους ἔρωτας - παῖδάς τε πατρί Eur. 339, 1. 3. ὡς θεῶν τε βωμοὺς πατρίδα τε ῥυώμεθα Eur. 360, 15. τύμβον τε κοινὸν ἔλαχον εὔκλειάν τ' ἴσην Eur. 360, 33. τῷ πλουσίῳ τε τῷ τε μή Eur. 362, 7. κύκλος γὰρ αὐτὸς καρπίμοις τε γῆς φυτοῖς θνητῶν τε γενεᾷ (al. γένει βροτῶν τε) Eur. 415, 3. 4. οἵ τε μουσικῆς φίλοι ὅσοι τε χωρὶς ζῶσι Eur. 580, 3. 4. χαίρω σέ *τ', ὦ - Ἀλκμήνης τέκος .. τόν τε μιαρὸν ἐξολωλότα Eur. 673, 1. 2. κεραύνιαί τ' ἐκ Διὸς πυρίβολοι πλαγαὶ λέχεά θ' Ἁλίου Eur. 781, 68. 69. θεούς τε τιμᾶν τούς τε φύσαντας γονῆς νόμους τε κοινοὺς Ἑλλάδος Eur. 853, 2. 3. φυγάς τ' ἐμαυτῷ προστιθεὶς πάτρας ἐμῆς θανάτους τ' ἀώρους καὶ κακῶν ἄλλας ὁδούς Eur. 964, 3. 4. φίλης τ' ὀπώρας διπτύχους ἥρός τ' ἴσους Eur. 990. ἰσαργύρου τε - Κυπρίου λίθου - κόσμον χριμάτων τ' Αἰγυπτίων Ach. 5, 1. 2 p. 747. κισσῷ τε ναρκίσσῳ τε Chaer. 7 p. 784. ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία - ἥ τ' ἀτιμία βίου Eur. 362, 16. 17. οὐρανός τε γαῖά τ' ἦν μορφὴ μία Eur. 484, 2. πέτροι τ' ἐχώρουν χερμάδες θ' ἡ⟨μῶν πάρα⟩ Eur. 495, 12. φήμ' ἐγὼ τυραννίδα κτείνειν τε πλείστους κτημάτων τ' ἀποστερεῖν ὅρκους τε παραβαίνοντας ἐκπορθεῖν πόλεις Eur. 286, 6. 7. τό τε στόμ' εἰς ἔκπληξιν - ἄγει τὸν νοῦν τ' ἀπείργει Eur. 67, 3. 4. θέρους τε λαμπρὸν ἐκπέμπει σέλας, χειμῶνά τ' αὔξει

Eur. 330, 3. 4. κάρα τε γάρ σου συγχέω κόμαις ὁμοῦ, ῥανῶ τε πεδόσ' ἐγκέφαλον Eur. 384, 1. 2. θάπτει τε τέκνα χἀτερ' αὖ κτᾶται νέα, αὐτός τε θνήσκει Eur. 757, 3. 4. σὺ γὰρ ἔν τε θεοῖς τοῖς οὐρανίδαις σκῆπτρον τὸ Διὸς μεταχειρίζεις χθονίων θ' Ἀιδῃ μετέχεις ἀρχῆς Eur. 912, 6. 8. εἰ λογίζεσθαι θέλοις ὅσοι τε δεσμοῖς ἐκμεμόχθηνται βροτῶν ὅσοι τε γηράσκουσιν ὀρφανοὶ τέκνων Eur. 332, 5. 6. ἀκάμας τε χρόνος - φοιτᾷ - δίδυμοί τ' ἄρκτοι - τὸν Ἀτλάντειον τηροῦσι πόλον Eur. 594, 1. 3. φίλων δ' ὅ τ' ἐλθὼν λυπρὸς ὅ τ' ἀπιὼν βαρύς Ion. 56 p. 743. ἃς ἔν τ' ἔδωκε φέγγος ἔν τ' ἀφείλετο Sosiph. 3, 3 p. 820.

b) τὰς σὰς βακκάρεις τε καὶ μύρα Aesch 14. μήλων τε βοσκὰς καὶ βίον Δημήτριον Aesch. 44, 5. δύο - μορφὰς φανεῖ παιδός τε χαὐτοῦ Aesch. 304, 6. Βοῦράν θ' ἱερὰν καὶ κεραυνίας Ῥύπας Aesch. 403. Κίλλαν τε καὶ Χρύσην Soph. 37. ἄρκτου στροφάς τε καὶ κυνὸς ψυχρὰν δύσιν Soph. 399, 11. κρημνούς τε καὶ σήραγγας ἠδ' ἐπακτίας αὐλῶνας Soph. 505. ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακρὰν πόντου τε - οἴδμα κἀνέμων βίας Soph. 1025, 2. μάχας τ' ἀφαιρῶν καὶ στάσεις Eur. 282, 27. φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει Eur. 425, 3. τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων ἁλόχου τε κεδνῆς Eur. 543, 3. 4. ἐκλιπὼν ἤθη τε καὶ νομὸν βίου Eur. 636, 7. λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον Eur. 1040, 2. χρυσοῦ τε καλέφαντος Ach. 25, 2 p. 752. τοῦτο γὰρ τό τ' εὐγενὲς καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν Eur. 362, 14. τὰς διαίτας τῶν κακῶν τε κἀγαθῶν Eur. 759, 2. αἷς κόσμος ἡ σιγή τε καὶ τὰ παῦρ' ἔπη Soph. 61, 4. ἦν δ' ἀμπέλου σπονδή τε καὶ ῥᾳξ εὖ τεθησαυρισμένη Soph. 366, 2. Οἰνωτρία τε πᾶσα καὶ Τυρσηνικὸς κόλπος Λιγυστική τε γῆ σε δέξεται Soph. 541, 2. γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης Soph. 764, 2. τί μέλλετ' Ἀρτακῆς τε καὶ Περκώσιοι Soph. 831. μία δὲ γονὰ τό τ' εὐγενὲς καὶ τὸ δυσγενές Eur. 52, 7. νεανίας τε καὶ πένης σοφός θ' ἅμα Eur. 246. ἐξῆλθον Ἕκτορές τε καὶ Σαρπηδόνες adesp. 289. δισσὰ γὰρ φυλάσσεται, φίλων τε μέμψιν κεἰς θεοὺς ἁμαρτάνειν Soph. 431, 3. σήμαιν' ὅτου τ' εἶ χὠπόθεν Soph. 100, 2. ἔς τε τἄβατα καὶ πρὸς τὰ βατά, χὠπόθεν πένης ἀνὴρ μηδ' ἐντυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν Soph. 85, 6. ἔν τε τοῖσι γὰρ καλοῖς πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον Eur. 401, 3. ταὐτὸ πρὸς τύμβον τε κλαίειν καὶ πρὸς ἄνδρα νήπιον adesp. 440. σὺν κόροις τε καὶ κόραις Aesch. 43, 3. πρὸς χάριν τε κοὐ βίᾳ Soph. 25. παρά τ' ἐλπίδα καὶ παρὰ δίκαν Eur. 901, 3. ἄνω τε καὶ κάτω Eur. 597, 3. ἔμοιγε νῦν τε καὶ πάλαι δοκεῖ adesp. 111. πῇ τε συνέστη καὶ ὅπῃ καὶ ὅπως Eur. 910, 6. ῥῆσις βραχεῖα - πρὸς τοὺς τεκόντας - πρέπει ἄλλως τε καὶ κόρῃ τε κἀργείᾳ γένος Soph. 61, 3. λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις καὶ μιλτοπρέπτοις βρίθεται ταὐτοῦ χρόνου Aesch. 116. ὃ δ' ἐνδατεῖται τὰς ἐμὰς εὐπαιδίας

νόσων τ' ἀπείρους καὶ μακραίωνας βίου Aesch. 350, 2. ὡς ὧν ἅπαις τε κἀγύναιξ κἀνέστιος Soph. 4. ἀκτὰς ἀπαίωνάς τε καὶ μελαμβαθεῖς λιποῦσα Soph. 480. τρέφει μοχθεῖν τ' ἀμείνω τέκνα καὶ δραστήρια Eur. 54, 4. ἄνδρας χρὴ σοφούς τε κἀγαθοὺς φύλλοις στέφεσθαι Eur. 282, 23. πότερα γενέσθαι - χρησιμώτερον συνετὸν ἄτολμον ἢ θρασύν τε κἀμαθῆ Eur. 552, 2. ἀνδρῶν - ἐνδίκων τε καὶ σοφῶν Eur. 1078. μακάριός θ' ἅμα κεκλημένος ζῆν κἀγαθὸς δυνήσεται Carc. 4, 2 p. 799. τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν Eur. 444, 2. τοῖς τε πράσσουσιν καλῶς καὶ τοῖσι δυστυχοῦσιν Eur. 443, 2. λέγων τά τ' ὄντα καὶ μή Eur. 978, 5. σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια Aesch. 208. ὀργήν τε πραΰνουσα καὶ δυσθυμίας ψυχὴν μεθιστᾶσα Eur. 822, 3. βλέπουσά τ' εἰς πᾶν καὶ παροῦσα πανταχοῦ Eur. 1063, 6. πολλ' ἰδόν τε καὶ παθόν Antiph. 3, 2 p. 793. κακὸς δ' ἀνὴρ σιγηλὸν ἔσχε ζῶν τε καὶ θανὼν βίον Zenod. 1, 2 p. 831. θάλλειν τε καὶ μή, ζῆν τε καὶ φθίνειν ποεῖ Eur. 330, 5. ἐπίσταμαι - σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλές, ὁρᾶν θ' ἃ δεῖ με κοὐχ ὁρᾶν ἃ μὴ πρέπει Eur. 413, 2. 3. δεῖν δ' ἀγχονῶν τε καὶ πετρῶν ῥίπτειν ἄπο Eur. 1070, 2. δακεῖν τε καὶ θιγεῖν ἀμήχανος Ion. 38, 5 p. 739. μή τι - ὑπέρτατον δράσῃ τε καὶ πάθῃ κακόν Aesch. 99, 21. ἀπώλεσέν τε καὐτὸς ἐξαπώλετο Soph. 215, 2. μύω τε καὶ δέδορκα κἀξανίσταμαι Soph. 706. ἀνθεῖ τε καὶ πάλιν φθίνει Soph. 718, 3. τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς Eur. 26, 2. εὐδαιμονεῖ τε καὖθις οὐκ εὐδαιμονεῖ Eur. 196, 3. τῶν μὲν αὔξεται βίος, τῶν δὲ φθίνει τε καὶ θερίζεται πάλιν Eur. 415, 5. χερῶν ὑπερβολαῖς ἁλίσκεταί τε πάντα καὶ θηρεύεται Eur. 434, 3. δήμους τ' ἔσωσα καὶ τύραννος ἰζόμην Eur. 861, 2. δι' ὧν βρότειον ζῇ τε καὶ θάλλει γένος Eur. 898, 13. τόν τε παρελθόντ' ἀπόλωλε χρόνον καὶ τὸν μέλλοντα τέθνηκεν Eur. 1028, 2. φαγεῖν τ' ἔδωκεν εὖ κἀπεχόρτασεν καὶ τοῦ ποτοῦ προύτεινεν Sosith. 2, 13 p. 822. κακοῖς τε χαίρει κἀγαθοῖς ἀλγύνεται Hippoth. 2, 2 p. 827. ὅς με ῥάκη τ' ἤμπισχε κἀξηνάγκασεν πτωχὸν γενέσθαι adesp. 394. ἀνήρ τ' ἄχρεῖος χἡ γυνὴ διοίχεται Eur. 1063, 16. τρισσῶν δὲ μοιρῶν ἐγκρινῶ νικᾶν μίαν, πλούτου τε χὤτῳ σπέρμα γενναῖον προσῇ πενίας τε Eur. 285, 4.

c) κεῖνοί τ' ἂν οὐδὲν εἶεν οὔθ' ἡμεῖς ἔτι Eur. 522, 4. — οὐδεὶς ἐχθρὸς οὔτε φύεται πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν Soph. 85, 5. — μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα κακῶς τε πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου Eur. 409, 2. τοῖς δ' ἀτελέστοις - μήτε συνείην χωρὶς τ' ἀγρίων ναίοιμι τρόπων Eur. 897, 8. — οἷός τε v. οἷος.

τέγγω: ἀλκυόνες - τέγγουσαι νοτίοις πτερῶν ῥανίσι χρόα δροσιζόμεναι Eur. 856, 3. αἱματοσταγῆ κηλῖδα τέγγῃ Eur. 871, 2.

Τεγεάς Soph. 995.

τέθριππον: οὔτ' ἐν πνοαῖσι χείματος δυσχείμερον οὔτ' αὖ τεθρίπ-

ποις ἡλίου θερμὴν ἄγαν Eur. 1083, 8. *τέθριππ' ἄγοντος ἡλίου κατ' αἰθέρα Eur. 228, 5.

τέθριππος: ζεῦγος τέθριππον (τεθρίππων ll.) Aesch. 346. ἐκ τεθρίππων ἁρμάτων Eur. 771, 2.

τείνω: οὗτος μὲν οὖν μοι δεῦρ' ἀεὶ τείνει λόγος adesp. 183. ἀγνὸν δὲ βίον τείνων (τείνομεν ll.) Eur. 472, 9. τιμᾶν τὰν † τέτασθε Eur. 960.

Τειρεσίας: ξανθὸς Φαμενὸς Τειρεσίου παῖς Soph. 361. cf. Soph. 1025.

τείρω: σῶμα δ' ἀθαμβὲς γυιοδόνητον τείρει Phryn. 2, 2 p. 720.

Τεισιφόνη — Eur. Ἀλκμέων β' p. 380.

τεῖχος: οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή Eur. 320. οὗτος δ' ἐφηῦρε τεῖχος Ἀργείων στρατῷ Soph. 399. *τειχέων καὶ δὴ τοὺς Ποσιδείους . . θριγκοὺς ἀποσεισαμένη Soph. 465.

τεκμαίρομαι: τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι Soph. 307. τεκμαιρόμεσθα τοῖς παροῦσι τἀφανῆ Eur. 574. ἀφροσύνᾳ πρόσω βιοτὰν τεκμαιρόμενοι adesp. 127, 5.

τεκμήριον: ἓν δέ μοι τεκμήριον Eur. 322, 3. τεκμήριον δέ Eur. 898, 5. ᾧ τεκμηρίῳ μαθὼν ἢ χρηστὸν ὄντα γνώσομαί σ' ἢ κακόν Eur. 60. τἀφανῆ τεκμηρίοισιν εἰκότως ἁλίσκεται Eur. 811. μορφὰς δὲ λέξω καὶ σαφῆ τεκμήρια Eur. 382, 2.

τέκνον: ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον Aesch. 201. ὃ μὲν Νηρηίδος τέκνον ἄρτι βλάστεσκεν Soph. 503, 2. ἰὼ τέκνον Eur. 781, 77. ἔαρος ἡ νύμφη τέκνον (?) τι μετὰ θέρους ἐς ὕστερον Chaer. 41 p. 791. ὦ τέκνον Soph. 519. 879, 2. Eur. 254. 271. 362, 32. 504. 603. 756. τέκνον Soph. 301. Eur. 362, 1. 24. 457. 853. 930, 2. adesp. 32. 73. τέκνον Εὐρώπης καὶ τοῦ μεγάλου Ζηνός Eur. 472. ἀλλ' ἔμοιγ' εἴη τέκνα ⟨ἃ⟩ καὶ μάχοιτο καὶ μετ' ἀνδράσιν πρέποι Eur. 360, 25. δὶς ἑπτ' αὐτῆς τέκνα Νιόβης Eur. 455. μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή Eur. 543. ἀκόλασθ' ὁμιλεῖν γίγνεται δούλων τέκνα Eur. 976. τῆς δειλίας γὰρ αἰσχρὰ γίγνεται τέκνα adesp. 357. ὅπου - οἱ φύσαντες ἡσσῶνται τέκνων Soph. 850. δεινόν τι τέκνων φίλτρον ἐνῆκεν θεὸς ἀνθρώποις Eur. 103. τὰ πολλὰ ταύτῃ γίγνεται τέκνων πέρι Eur. 167, 2. καὶ συμπλέκοντες σπέρμα καὶ γάμους τέκνων Eur. 326, 5. ὅσοι τε γηράσκουσιν ὀρφανοὶ τέκνων Eur. 332, 6. τὴν εὐγένειαν - τιμῶσι πολλοὶ προσλαβεῖν τέκνων χάριν Eur. 405, 2. τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων ἀλόχου τε κεδνῆς Eur. 543, 3. ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο πλὴν τέκνων Eur. 566. εἰ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον Eur. 806, 4. ἠπίως τὴν τῶν τέκνων οἴσουσι κύπριν Eur. 951, 2. νοσσιὰν τέκνων adesp. 189. φιλίας μέγιστος δεσμὸς αἱ τέκνων γοναί adesp. 321. θαλέθοντι βίῳ βλάσταις τε τέκνων βριθομένα adesp. 373, 2. ἐφημένη τάφον τέκνοις ἐπῴζε τοῖς τεθνηκόσιν Aesch. 157, 2. ἐν τοῖς τέκνοις γὰρ ἀρετὴ τῶν εὐγενῶν ἔλαμψε Eur. 232. ἔχθραν μεγίστην σοῖσι συμβάλλων τέκνοις Eur. 338,

3. οὐκ ἔστι μητρὸς οὐδὲν ἥδιον τέκνοις Eur. 358. ἆρ' ἔτυμον φάτιν ἔγνων - σ' εὐνάζειν τέκνα φίλτατα Eur. 17, 2. πενία δὲ - τρέφει μοχθεῖν τ' ἀμείνω τέκνα καὶ δραστήρια Eur. 54, 4. ὡς ἀληθὲς ἦν ἄρα, ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα Eur. 75, 2. ἐσθλῶν ἀπ' ἀλόχων εὐγενῆ σπείρειν τέκνα Eur. 215, 2. ἐγὼ νομίζω πατρὶ φίλτατον τέκνα παισίν τε τοὺς τεκόντας Eur. 345. κοινὸς ἀνθρώποις νόμος - θηρσίν τε πᾶσι, τέκνα τίκτουσιν φιλεῖν Eur. 346, 3. ἔπειτα τέκνα τοῦδ' ἕκατι τίκτομεν, ὡς Eur. 360, 14. τὰ μητέρων δὲ δάκρυ' ὅταν πέμπῃ τέκνα, πολλοὺς ἐθήλυν' εἰς μάχην ὁρμωμένους Eur. 360, 28. χρηστῶν πενήτων ἦν τις αἰσχύνῃ τέκνα Eur. 362, 27. ᾧ - θεοὶ διδῶσι μὴ φῦναι τέκνα Eur. 491, 4. τῶν ἐν δόμοισιν ἡμερευουσῶν ἀεὶ βελτίον' ἂν τέκοιμι λήμασιν τέκνα Eur. 525, 3. εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα θνητοῖσιν εἴτ' ἄπαιδα καρποῦσθαι βίον Eur. 571, 2. θάπτει τε τέκνα χἄτερ' αὖ κτᾶται νέα Eur. 757, 3. μοχθηρόν ἐστιν ἀνδρὶ πρεσβύτῃ τέκνα (?) Eur. 804. ὡς ἡδὺ τῷ φύσαντι πείθεσθαι τέκνα Agath. 28 p. 768. ἀνθηροῦ τέκνα ἔαρος πέριξ στρώσαντες Chaer. 9 p. 784. λειμώνων τέκνα Chaer. 10, 3 p. 784. γονέων τὰ τέκνα σῴζουσιν αἱ συμβουλίαι Theod. 14 p. 806. τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα Biot. 1, 2 p. 825. Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα adesp. 378. φιλῶ τέκνα adesp. 411. ἀλλ' ὦ Κρῆτες, Ἴδης τέκνα Eur. 471. ὦ τέκν', ὦ στερχθέντ' ὅσον πλεῖστον θέμις Pomp. 1 p. 831. ἄγ' ὦ μεγαλώνυμα τέκνα τοῦ θαλασσίου ⟨θεοῦ⟩ adesp. 69. cf. adesp. 156.

τεκνῶ: σχολῇ τεκνοῦσθαι παῖδας Eur. 317, 3. ἡ μία τίκτει τὴν ἑτέραν, αὐτὴ δὲ τεκοῦσ' ὑπὸ τῆσδε τεκνοῦται Theod. 4, 2 p. 802.

τέκνωμα: τῷ πονοῦντι δ' ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος Aesch. 315, 2.

τέκος: ἐλευθερία Διὸς ὄλβιον τέκος adesp. 555. ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον τέκος Eur. 727. ὦ βέλτιστον Ἀλκμήνης τέκος Eur. 673. ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος Παλλάς Eur. 1109.

τεκταίνομαι: εὖ γὰρ καὶ διχοστατῶν λόγος σύγκολλά τ' ἀμφοῖν ἐς μέσον τεκταίνεται Soph. 783, 2. πρὸς ταῦθ' ὅτι χρὴ καὶ παλαμᾶσθων καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθων Eur. 918, 2.

τεκτόναρχος: τεκτόναρχος μοῦσα Soph. 162.

τέκτων: τέκτων γὰρ ὢν ἔπρασσες οὐ ξυλουργικά Eur. 988. ὁ γὰρ χρόνος μ' ἔκαμψε, τέκτων μὲν σοφός, ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα Crat. 4 p. 810. ὥστε τέκτονος παρὰ στάθμην ἰόντος ὀρθοῦται κανών Soph. 433, 4. χρόνου καλὸν ποίκιλμα τέκτονος σοφοῦ Crit. 1, 34 p. 771. ὑψηλὸν - τεκτόνων πόνον Aesch. 357. οἶκος τεκτόνων πλασθεὶς ὕπο Eur. 1130.

Τελαμών: Τελαμὼν - Σαλαμῖνα κοσμῶν πατρίδα Eur. 530. cf. Soph. Τεῦκρος p. 256. Soph. 666.

τέλειος: δένδρων ὁπώρα δ' ἐκ νο-

τίζοντος γάνους τέλειός ἐστι Aesch. 44, 7. Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ Aesch. 383. ἴτω τελεία γάμων ἀοιδά Eur. 773, 58. τέλειος κρατήρ — Eur. 148.

τελευταῖος: ὅπερ δὲ τὸ τρίτον ἦν, καὶ τελευταῖον πάλιν Agath. 4, 6 p. 764.

τελευτή: ὅταν ἔλθῃ κρυερὰ Διόθεν θανάτου πεμφθεῖσα τελευτή Eur. 916, 7. πρὸς τελευτὴν ἔρχεται τὰ τοῦ χρόνου Theod. 12, 2 p. 805. ἔργου δὲ παντὸς ἦν τις ἄρχηται καλῶς, καὶ τὰς τελευτὰς εἰκός ἐσθ' οὕτως ἔχειν Soph. 747, 2.

τελευτῶ: ὀργῇ γὰρ ὅστις εὐθέως χαρίζεται, κακῶς τελευτᾷ Eur. 31, 2. ὁ γὰρ ἐν καιρῷ μόχθος πολλὴν εὐδαιμονίαν τίκτει θνητοῖσι τελευτῶν Eur. 745, 3. ὡς πάντα πράγματ', ἢν καλὰς ἀρχὰς λάβῃ, καλῶς τελευτᾶν καὶ μεσοῦν φιλεῖ βροτοῖς adesp. 433, 2. πρὶν αὐτῷ παντελῶς ἤδη βίος διεκπεραθῇ καὶ τελευτήσῃ βίον Soph. 588, 3. μήπω μέγ' εἴπῃς, πρὶν τελευτήσαντ' ἴδῃς Soph. 601. πρὶν αὐτὸν εὖ τελευτήσαντ' ἰδῇ Dionys. 3, 2 p. 794.

τέλος: οὐ γάρ τι βουλῆς ταὐτὸ καὶ δρόμου τέλος Soph. 772. κακῆς ‹ἀπ'› ἀρχῆς γίγνεται τέλος κακόν Eur. 32. θεοὺς ἀρέσκου· πᾶν γὰρ ἐκ θεῶν τέλος Eur. 948. κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ Eur. 273, 3. ὁ δ' οὐδὲν οὐδείς, διὰ τέλους δὲ δυστυχῶν τοσῷδε νικᾷ Eur. 285, 15. ἔστ' ἀνδρὶ καὶ γυναικὶ κείμενος νόμος, τῷ μὲν διὰ τέλους ἣν ἔχει στέργειν Eur. 953, 15. ὃς διὰ τέλους ζῶν ὁμαλὸν ἤσκησεν βίον Mosch. 10, 2 p. 816. τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποταινίους· τέλος δ' ὁ χυμὸς οὔθ' ὅπως ἀφῇ θέλει Soph. 153, 6. κεῖνος γὰρ ἔχει τέλος ἠδὲ καὶ ἀρχήν Soph. 1028, 2. θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος ἔχει Eur. 176. ὁρίζεται δὲ τόδε φάος γάμων τέλος Eur. 773, 51. Ζεὺς ἐν θεοῖσι μάντις ἀψευδέστατος καὶ τέλος αὐτὸς ἔχει Eur. 1110, 2. τέλος γὰρ αὐτὸς αἰσχίστῳ μόρῳ φέρεις (?) Neophr. 3 p. 731. τῇ μιᾷ δ' ἐν ἡμέρᾳ † δαίνυσί τ' ἔμπης συντίθησιν εἰς τέλος Sosith. 2, 11 p. 822. — ἔφριξ' ἔρως δὲ τοῦδε μυστικοῦ τέλους Aesch. 387. τέλος ἀθανάτων ἀπολείψει Aesch. 151, 2. οἳ ταῦτα δερχθέντες τέλη μόλωσ' ἐς Ἅιδου Soph. 753, 2. — εἰσορῶ - ‹τοὺς› θεοῖσι μικρὰ θύοντας τέλη τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους Eur. 327, 6. μάτην γὰρ οἴκῳ σὸν τόδ' ἐκβαίη τέλος Eur. 639.

τελῶ: πολλά τοι θεὸς κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις τελεῖ (πέλει ll.) Eur. 100, 2. μήποτ' εἴην ἄλλο πλὴν θεοῖς φίλος ὡς πᾶν τελοῦσι (πάντ' ἔχωσι l.), κἂν βραδύνωσιν χρόνῳ Eur. 800, 2. νυκτιπόλου Ζαγρέως βροντὰς τοὺς ὠμοφάγους δαίτας τελέσας Eur. 472, 12. (cf. κέλλω.) ἀρετὴ δ' ὅσῳ περ μᾶλλον ἂν χρῆσθαι θέλῃς, τοσῷδε μείζων αὔξεται τελουμένη Eur. 1029, 5. οὐκ ἔστιν πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων ταμίας ὅτι χρὴ τετελέσθαι Soph. 531, 4. — κἀκπονεῖν ἂν τῷ ξυνόντι πρὸς χάριν μέλλῃ τελεῖν Eur. 909, 8. — κεἰς ἀνδρῶν μὲν οὐ τελοῦσιν ἀριθμόν Eur. 492, 5.

τέμενος: θεᾶς προσελθεῖν τέμενος Eur. 781, 42.

τέμνω: οὔτ' ἄροτρον οὔτε γατόμος τέμνει δίκελλ' ἄρουραν Aesch. 196, 4. πάντα βροτοῖς Ζεὺς ἐπικάρσια τέμνει adesp. 482, 3. διὰ μέσου - αἰθέρος τέμνων κέλευθον Eur. 124, 3. ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον ἰάσατ' ἤδη μᾶλλον ἢ τεμὼν χρόα Eur. 1072, 2. στεφάνους τεμόντες ἀγγέλους εὐφημίας Chaer. 6 p. 783. δείλῃ δὲ πᾶσα τέμνεται βλαστουμένη ὁπώρα καλῶς Soph. 234, 7. οὐ μὴν ἀρότροις ἀγκύλοις ἐτέμνετο μέλαινα - βῶλος Mosch. 6, 9 p. 813. αὐθιγενὴς τμηθεῖσα δοκός Eur. 472, 5. cf. διατέμνω.

τέρας: δίφρου τέτυκται βλῶσις εὔζυγον τέρας adesp. 150. (cf. τρέφος.)

τέρην: μόσχων τέρειναι σάρκες Eur. 467, 3.

τέρθριος: τερθρία πνοή Soph. 310.

τέρθρον: καί μοι τὸ τέρθρον δῆλον εἰσπορεύομαι Eur. 371, 2.

τέρμα: εἰ μὴ τέρμα συντρέχοι βίου Aesch. 362, 2. τέρμα δ' οὐκ εἴποι τις ἄν Eur. 211, 2.

(τερματίζομαι cf. ἑρματίζομαι.)

(τερμοσύνη cf. χρημοσύνη.)

τέρμων: δίδυμον χθονὸς Εὐρώπης μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν Aesch. 191, 2.

τερπνός: (cf. τέρπω.) τερπνὸν τὸ φῶς τόδε Eur. 533. τῷ δὲ δυστυχοῦντί πως τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν Eur. 563, 2. ἐρῆρε - πεσσοὺς κύβους τε τερπνὸν ἀργίας ἄκος Soph. 438, 4.

τερπνῶς: τερπνῶς γὰρ ἀεὶ παῖδας ἀνοία τρέφει Soph. 524, 5.

τέρπω: τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς Eur. 26, 2. χῶρος - ἀνθρώπου φρενῶν, ὅπου τὸ τέρπον (τερπνὸν ll.) καὶ τὸ πημαῖνον φύει Soph. 824, 2. οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας τέρπειν, ὅπου γε μὴ δίκαια τέρψεται Soph. 616, 2. θοίνῃ σε πρῶτον τέρψομεν Ach. 17 p. 750. διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς Soph. 696, 2. ὦ τέκν' - ὦ πολλὰ τέρψαντ' οὐδὲ λυπήσαντά τι μητέρα Pomp. 1, 2 p. 831. Διονύσου - ὃς ἀν' Ἴδαν τέρπεται σὺν ματρὶ φίλᾳ τυμπάνων ⟨ἐπ'⟩ ἰαχαῖς Eur. 586, 3. τὰν μαινομέναν τ' ἔριν θηκτῷ τερπομέναν σιδάρῳ Eur. 453, 12. κενὴν ἑτερπόμην σου τέρψιν εὐλογουμένου ὡς ζῶντος Soph. 519, 2.

τέρψις: βραχεῖα τέρψις ἡδονῆς κακῆς Eur. 362, 23. τὸ μὴ παρόν τε τέρψιν οὐκ ἔχει φίλοις Aesch. 99, 14. κενὴν ἑτερπόμην σου τέρψιν εὐλογουμένου ὡς ζῶντος Soph. 519, 2. ἄλυπον τέρψιν τιν' ἔχων εἰς ἐλπίδ' ἄγει Eur. 897, 5.

τέσσαρες: αἳ δὲ κἀπὶ τεσσάρων φοιτῶσιν ἵππων ἀργυρῶν Eur. 675, 2. ὃς εἶχε πώλους τέσσαρας ζυγηφόρους Aesch. 326. βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέσσαρα Eur. 888.

τέταρτος: τὸ δ' αὖ τέταρτον ἢ μὲν εἰς ὀρθὸν μία Eur. 382, 8.

τετραέλικτος: τετραέλικτον ἅλμαν adesp. 266.

τετράμορφος: πυριγενὴς δὲ δράκων ὁδὸν ἡγεῖται [ταῖς] τετραμόρφοις ὥραις Eur. 943.

τετράορος: *τετραόρῳ δίφρῳ Soph. 873, 2.

τετράπτερος: τετράπτεροι γὰρ

νῶτον ἐν δεσμώμασιν σφηκοὶ κελαινόρινες Soph. 26.

τετρασκελής: χέρσου δ' ἔνεστιν ἐν τετρασκελεῖ γονῇ Soph. 855, 10.

Τευθράντιος: Τευθράντιον δὲ σχῆμα Μυσίας χθονός Eur. 476.

Τεύθρας — Eur. 696.

Τεῦκρος: Τεῦκρος δὲ τόξου χρώμενος φειδωλίᾳ ὑπὲρ τάφρου πηδῶντας ἔστησεν Φρύγας adesp. 569.

(τεύχημα cf. τέχνημα.)

τεῦχος: στενόστομον τὸ τεῦχος Aesch. 108. κατάγνυται τὸ τεῦχος οὐ μύρου πνέον Soph. 140, 3. καὶ νῦν τὰ δεινὰ ταῦτα καὶ τὰ πόλλ' ἔπη εἰς ὠδε μικρὸν τεῦχος ἤθροισεν τύχη Patrocl. 1, 2 p. 830. χωρὶς μυρηρῶν τευχέων Aesch. 180, 5.

τεύχω: (cf. στέφω.) κἀκεῖν' ἔτευξε πρῶτος ἐξ ἑνὸς δέκα Soph. 399, 4. θεός, ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακράν Soph. 1025, 2. ἄστη δ' ἐπυργώσαντο καὶ περισκεπεῖς ἔτευξαν οἴκους Mosch. 6, 28 p. 814. πόρνης ὁ κλεινὸς ναός, ὃν δὴ Παλλίδης τεύξας κατέγνω - αὐτοῦ φυγήν Pyth. 1, 4 p. 811. δίφρου τέτυκται βλῶσις εὔζυγον τέρας adesp. 150.

τέχνη: ἥτις εὐφυᾶ λαβοῦσα τέχνη φῶτ' ἔθηκε χείρονα Eur. 186, 2. τέχνη τύχην ἔστερξε καὶ τύχη τέχνην Agath. 6 p. 764. τέχνης γὰρ οὐχ ἥμαρτες adesp. 267. κἀγὼ τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα ἤλπιζον εἶναι μαντικῇ βρύον τέχνῃ Aesch. 350, 6. ὅπλοις ἀρρῶξιν Ἡφαίστου *τέχνῃ Soph. 160. καὶ μὴν τὰ μέν γε τῇ τέχνῃ πράσσειν, τὰ δὲ ἡμῖν ἀνάγκῃ καὶ τύχῃ προσγίγνεται Agath. 8 p. 765. τέχνῃ κρατοῦμεν ὧν φύσει νικώμεθα Antiph. 4 p. 793. ταῦτα γὰρ σκεθρῶς ὁρᾶν ἡμᾶς ἀνάγκη τοὺς νομίζοντας τέχνην Eur. 87, 3. γυναιξὶ μὲν τέχναι μέλουσι, λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι Eur. 321. οἱ τὰς τέχνας δ' ἔχοντες ἀθλιώτεροι τῆς φαυλότητος Eur. 635. τὰς λέοντος ἦνεσα ἢ τὰς ἐχίνου μᾶλλον οἰζυρὰς τέχνας Ion. 38, 2 p. 739.

τέχνημα: ἀμήχανον τέχνημα (τεύχημα ll.) καὶ δυσέκδυτον Aesch. 375. κάπηλα προσφέρων τεχνήματα Aesch. 322.

τέως Soph. 996.

τῇδε: τῇδε βάκχειος βότρυς ἐπ' ἦμαρ ἕρπει Soph. 234, 2. ἐκεῖσ' ἔλα, τῇδε στρέφ' ἅρμα, τῇδε Eur. 779, 10.

τήκω: τήκω τάλαιναν καρδίαν ὀρρωδίᾳ Eur. 908, 6. φέγγος ἐκλάμψαν φλόγα τήκει πετραίαν χιόνα Aesch. 300, 5. ἡνίκ' ἂν τακῇ χιών Eur. 228, 4.

τηλέσκοπος: *τηλέσκοπον πέμφιγα χρυσέαν Soph. 314, 2.

Τήλεφος: Τήλεφος γνωρίζεται Eur. 704, 3. Τηλέφῳ δ' ἀγὼ φρονῶ Eur. 707. οἶδ' ἄνδρα Μυσὸν Τήλεφον Eur. 704. τὸν δὲ Τήλεφον οὐκ οἰόμεσθα Eur. 710. cf. adesp. 13.

τηλικόσδε: γεγῶσα τηλικήδ' ὅμως - οὔποτ' εὔχομαι θανεῖν Eur. 533, 3.

τηλόθεν: Λυδία λίθος σίδηρον τηλόθεν προσηγάγου Soph. 732.

τηλοῦ: τηλοῦ γὰρ οἰκῶν βίοτον ἐξιδρυσάμην Eur. 884. μόχθος οἱ τηλοῦ φίλοι adesp. 77. τηλοῦ φίλοι ναίοντες οὐκ εἰσὶν φίλοι adesp. 94.

τημελῶ: οὐδ' ἐργάτης σίδηρος

εὐιώτιδος θάλλοντας οἴνης ὀρχάτους ἐτημέλει Mosch. 6, 12 p. 814.

τήμερον: δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον (?) Eur. 698.

τηνικαῦτα: ἐπειδὴ - λάθρᾳ - ἔπρασσον, τηνικαῦτά μοι δοκεῖ - σοφὸς γνώμην ἀνὴρ γνῶναι θεοὺς θνητοῖσιν ἐξευρεῖν Crit. 1, 11 p. 771.

τήρησις: ἀνδρὸς δ' ὁρῶντος εἰς Κύπριν νεανίου ἀφύλακτος ἡ τήρησις Eur. 162, 2.

τηρῶ: δίδυμοί τ' ἄρκτοι τὸν Ἀτλάντειον τηροῦσι πόλον Eur. 594, 5.

τῆτος: μισῶ γελοίους, οἵτινες *τήτει σοφῶν ἀχάλιν' ἔχουσι στόματα Eur. 492, 3.

τητῶμαι: τοῦ γὰρ εὖ τητώμενος οὐκ οἶδεν Eur. 285, 16.

τιάρα: ψαλίδας, τιάρας καὶ σισυρνώδη στολήν Soph. 379.

τιθασός: τιθασὸν χῆνα Soph. 782.

τίθημι: τῷ καλλικοσσαβοῦντι νικητήρια τίθημι Soph. 494, 3. ἐξαίρετον τίθημι τὴν ἀκουσίαν Soph. 680. διὰ μέσου γὰρ αἰθέρος τέμνων κέλευθον πόδα τίθημ' ὑπόπτερον Eur. 124, 3. δυσειδὲς σῶμα καὶ δυσώνυμον γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν Soph. 85, 10. σιαγόνας τε δὴ μαλθακὰς τίθησι Soph. 108. νοσεῖν τίθησι τὰς ἀμεινόνων φρένας Eur. 644, 2. πατρὶς καλῶς πράσσουσα τὸν τυχόντ' ἀεὶ μείζω τίθησι, δυστυχοῦσα δ' ἀσθενῆ Eur. 798, 2. οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν τίθησι καὶ τὸν ἄπορον εὑρίσκειν πόρον Aristarch. 2, 5 p. 728. αὐτόν ‹τε› πράσσων εὖ τίθησιν εἰς μέσον adesp. 366. ἱκέται .. θαλλούς τε θεῶν γέρας .. τίθεμεν πρὸ ποδῶν τῶν σῶν Ach. 2, 3 p. 746. οὐντυγχάνων τὰ πράγματ' ὀρθῶς ἦν τιθῇ Eur. 287, 3. ἄφωνα φωνήεντα συλλαβὰς τιθεὶς Eur. 578, 2. πλοῦτον ἔντιμον τιθεὶς Eur. 626, 2. ἐγὼ δὲ χοῖρον - τόνδ' ἐν ῥοθοῦντι κριβάνῳ θήσω Aesch. 309, 2. νιφάδι γογγύλων πέτρων ὑπόσκιον θήσει χθόνα Aesch. 199, 8. ἐγώ σ' ἔθηκα δοῦλον ὄντ' ἐλεύθερον adesp. 74. ἥτις εὐφυᾶ λαβοῦσα τέχνη φῶτ' ἔθηκε χείρονα Eur. 186, 2. (cf. ἐνίημι.) Πελασγιώτας δ' ὠνομασμένους τὸ πρὶν Δαναοὺς καλεῖσθαι νόμον ἔθηκ' ἀν' Ἑλλάδα Eur. 228, 8. τά τοι μέγιστα πολλάκις θεὸς ταπεῖν' ἔθηκε Eur. 716, 4. τῶν ἀμηχάνων δ' ἔρως πολλοὺς ἔθηκε τοῦ παρόντος ἁμπλακεῖν Eur. 1076, 3. ἄκραντα γάρ μ' ἔθηκε θεσπίζειν θεός adesp. 414. αἱ τύχαι δέ με - σοφὴν ἔθηκαν Eur. 458, 3. μὴ πλούσιον θῇς· ἐνδεέστερος γὰρ ὢν ταπεινὸς ἔσται Eur. 249. τίς δή ποτ' ὄλβον ἢ μέγαν θείη βροτῶν ἢ σμικρὸν ἢ τὸν μηδαμοῦ τιμώμενον Soph. 102. τὸ γὰρ κακὸν οὐδεὶς τρέφων εὖ χρηστὸν ἂν θείη ποτέ Eur. 810, 2. θὲς δ' ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους Soph. 540. πρευμενεῖς τοὺς νυμφίους νόμοισι θέντων (?) σὺν κόροις τε καὶ κόραις Aesch. 43, 3. ἴδε σοί - χθύπτην τυρὸν - κατὰ τῶν σῶν, Πὰν δίκερως, τίθεμαι βωμῶν ἁγίων Thesp. 4, 5 p. 833. μὴ νεῖκος, ὦ γεραιέ, κοιράνοις τίθου Eur. 337. (cf. κεῖμαι.) φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ σοφοὺς τίθεσθαι (ἡγεῖσθαι Il.) τοὺς λόγους Eur. 327, 2. τί δῆτ' ἐπ'

αὐτοῖς ὄνομα θήσονται βροτοί Aesch. 6. ὠνὴν ἔθου καὶ πρᾶσιν ὡς Φοῖνιξ ἀνὴρ Σιδώνιος κάπηλος Soph. 823. ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων ἀγῶνα θεῖτ' ἄν Eur. 189, 2. ἦν παρὸν θέσθαι καλῶς αὐτός τις αὐτῷ τὴν βλάβην προσθῇ φέρων Soph. 324. στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει σοφὸν κυβευτήν Soph. 861. πρὶν ἐξαμαρτεῖν καὶ τὰ προσφιλέστατα ἔχθιστα θέσθαι Neophr. 2, 3 p. 730. κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους θέσθαι κολαστάς Crit. 1, 6 p. 771.

τιθήνη: ἀγαθὴν τιθήνην καὶ τροφὸν γνώμης νέας adesp. 305.

τιθήνημα: κόμαισιν - ῥόδα εἶχον, τιθήνημ' ἔαρος ἐκπρεπέστατον Chaer. 13, 2 p. 786.

